This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

Plutarch's

1795.
NSPL

ΠΛΟΥΤΑΡΧΟΥ
ΤΟΥ ΧΑΙΡΩΝΕΩΣ
ΤΑ ΗΘΙΚΑ.

PLUTARCHI
CHÆRONENSIS
MORALIA,
ID EST
OPERA, EXCEPTIS VITIS, RELIQUA.

GRÆCA EMENDAVIT,
NOTATIONEM EMENDATIONUM, ET LATINAM XYLANDRI INTERPRETATIONEM CASTIGATAM, SUBJUNXIT, ANIMADVERSIONES EXPLICANDIS REBUS AC VERBIS, ITEM INDICES COPIOSOS, ADJECIT,

DANIEL WYTTENBACH,
HIST. ELOQ. LITT. GR. ET LAT.
IN ILLUSTRI ATHEN. AMSTELOD. PROFESSOR.

TOMI II. PARS II.

OXONII,
E TYPOGRAPHEO CLARENDONIANO.
MDCCXCVI.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΟΥ ΕΙ ΕΝ ΔΕΛΦΟΙΣ.

ΠΡΟΣΩΠΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ.

ΑΜΜΩΝΙΟΣ. ΘΕΩΝ.
ΛΑΜΠΡΙΑΣ. ΕΥΣΤΟΦΟΣ.
ΠΛΟΥΤΑΡΧΟΣ. ΝΙΚΑΝΔΡΟΣ.

DIALOGI PERSONÆ.

AMMONIUS. THEON.
LAMPRIAS. EUSTROPHUS.
PLUTARCHUS. NICANDER.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΟΥ ΕΙ ΕΝ ΔΕΛΦΟΙΣ.

PLUTARCHI

DE

EI DELPHICO.

D ΣΤΙΧΙΔΙΟΙΣ τισὶν οὐ φαύλως ἔχουσιν, ὦ φίλε Σαραπίων, ἐνέτυχον πρώην, ἃ Δικαίαρχος Εὐριπίδην οἴεται πρὸς Ἀρχέλαον εἰπεῖν,

Οὐ βούλομαι πλουτοῦντι δωρεῖσθαι πένης,
Μή μ' ἄφρονα κρίνῃς, ἢ διδοὺς αἰτεῖν δοκῶ.

χαρίζεται μὲν γὰρ οὐδὲν ὁ διδοὺς ἀπ' ὀλίγων μικρὰ τοῖς πολλὰ κεκτημένοις· ἀπιστούμενος δὲ ἀντὶ μηδενὸς διδόναι, κακοηθείας καὶ ἀνελευθερίας προσλαμβάνει δόξαν.

INCIDI nuper, mi Sarapio, in verſiculos quoſdam nequaquam inelegantes: quibus Dicæarchus exiſtimat Archelaum fuiſſe ab Euripide compellatum:

Nolo tibi dare dona pauper diviti:
Deſipere ne putes me, vel dando petere.

Nullam enim gratiam init, qui de exiguis opibus parvum aliquid multa poſſidenti dat: et cum fidem non facit ſe gratis dare, in malitiæ ſimul ac illiberalitatis venit ſuſpicionem.

Ἄρα δὴ ὅσον ἐλευθεριότητι καὶ κάλλει τὰ χρηματικὰ E
δῶρα λείπεται τῶν ἀπὸ λόγου καὶ σοφίας, καὶ διδόναι
καλόν ἐστι, καὶ διδόντας ἀνταιτεῖν ὅμοια παρὰ τῶν λαμβανόντων. Ἐγὼ γοῦν πρός σε, καὶ διὰ σέ, τοῖς αὐτόθι
φίλοις τῶν Πυθικῶν λόγων ἐνίους, ὥσπερ ἀπαρχὰς ἀποστέλλων, ὁμολογῶ προσδοκᾶν ἑτέρους καὶ πλείονας καὶ
βελτίονας παρ' ὑμῶν, ἅτε δὴ καὶ πόλει χρωμένων μεγάλῃ, καὶ σχολῆς μᾶλλον ἐν βιβλίοις πολλοῖς καὶ παντο- F
δαπαῖς διατριβαῖς εὐπορούντων. Ὁ δ' οὖν φίλος
Ἀπόλλων ἔοικε τὰς μὲν περὶ τὸν βίον ἀπορίας ἰᾶσθαι
καὶ διαλύειν, θεμιστεύων τοῖς χρωμένοις, τὰς δὲ περὶ τὸν
λόγον αὐτὸς ἐνιέναι καὶ προβάλλειν τῷ φύσει φιλοσόφῳ
τῆς ψυχῆς, ὄρεξιν ἐμποιῶν ἀγωγὸν ἐπὶ τὴν ἀλήθειαν· ὡς
ἄλλοις τε πολλοῖς δῆλόν ἐστι, καὶ τῇ περὶ τοῦ ΕΙ καθιερώσει. Τοῦτο γὰρ εἰκὸς οὐ κατὰ τύχην, οὐδ' οἷον
ἀπὸ κλήρου τῶν γραμμάτων, μόνον ἐν προεδρίᾳ παρὰ

F. 5. αὐτὸς ἐνιέναι] Vulgo αὐτὰς ἀνιέναι. Ven. Mez. αὐτός. B. D. Ven. ἐνιέναι.
F. 7. περὶ τοῦ ΕΙ] περὶ forte delendum cum R.

At enim, quanto liberalitate ac pulchritudine munera pecuniaria donis doctrinæ et ſapientiæ ſunt inferiora, tanto honeſtius eſt cum dare hæc, tum ab iis quibus dantur ſimilia repoſcere. Itaque ego ad te, et propter te ad amicos iſthic degentes Pythicis de rebus quoſdam commentarios mittens, fateor alios me a vobis, et plures et meliores exſpectare; quippe cum et magna vos in urbe verſemini, et otio inter multos libros atque omnis generis diſputationes fruamini. Enimvero Apollo noſter, ut apparet, cum difficultates vitæ incidentes ſublevet atque diſſolvat edendis oraculorum reſponſis, eas quæ in doctrina verſantur, ipſe profert et proponit excutiendas ei animi facultati quæ ſtudio ſapientiam ſectatur, appetitum ingenerans qui ad veritatem ducat: id cum aliis multis rebus manifeſtum ſit, tum inſcriptionis EI dedicatione. Conſentaneum enim eſt eam literam non forte fortuna, neque veluti ſorte inter literas

385 τῷ θεῷ γενέσθαι, καὶ λαβεῖν ἀναθήματος τάξιν ἱεροῦ καὶ θεάματος· ἀλλ' ἢ δύναμιν αὐτοῦ κατιδόντας ἰδίαν καὶ περιττὴν, ἢ συμβόλῳ χρωμένους πρὸς ἕτερόν τι τῶν ἀξίων σπουδῆς τοὺς ἐν ἀρχῇ περὶ τὸν θεὸν φιλοσοφήσαντας, οὕτως προσέσθαι. Πολλάκις οὖν ἄλλοτε τὸν λόγον ἐν τῇ σχολῇ προβαλλόμενον ἐκκλίνας ἀτρέμα καὶ παρελθὼν, ἔναγχος ὑπὸ τῶν υἱῶν ἐλήφθην ξένοις τισὶ συμφιλοτιμούμενος, οὓς εὐθὺς ἐκ Δελφῶν ἀπαίρειν μέλλοντας, οὐκ ἦν εὐπρεπὲς παράγειν, οὐδὲ παραιτεῖσθαι, πάντως ἀκοῦσαί τι προθυμουμένους. Ὡς δὲ καθίσας περὶ

B τὸν νεὼν, τὰ μὲν αὐτὸς ἠρξάμην ζητεῖν, τὰ δ' ἐκείνους ἐρωτᾷν, ὑπὸ τοῦ τόπου καὶ τῶν λόγων αὐτῶν, ἃ πάλαι ποτὲ καθ' ὃν καιρὸν ἐπεδήμει Νέρων, ἠκούσαμεν Ἀμμωνίου καί τινων ἄλλων διεξιόντων, ἐνταῦθα τῆς αὐτῆς ἀπορίας ὁμοίως ἐμπεσούσης.

A. 6. προβαλλόμενον] Sic B. Mez. Vulgo παραβαλλόμενον.
B. 2. λόγων αὐτῶν] Videtur excidiſſe ἀνεμνήσθην, aut ſimile: et ita ſupplent Xyl. Amiot. Mez. R.

comparata ſolam a Deo prima in ſede collocatam, ac donarii ſacri et ſpectaculi conditione ornatam fuiſſe: ſed eos, qui primi de hoc deo philoſophati ſunt, ita hoc dictum recepiſſe ac probaſſe, quod aut ejus vim quandam peculiarem et inſignem perſpicerent, aut hac nota et teſſera feriæ alicujus rei uti vellent. Qua de re quæſtionem cum ſæpenumero in ſchola propoſitam ſenſim declinando evitaviſſem, nuper deprehenſus ſum a filiis cum hoſpitibus quibuſdam concertans, quos ſtatim Delphis abituros decorum non erat aut differre, aut excuſando repudiare aliquid omnino audire cupientes. Cum ergo apud templum conſediſſemus, et alia ipſe inquirere, alia ex iſtis interrogare cœpiſſem: ipſe locus, ipſaque diſputatio eorum memoriam mihi renovavit, quæ quo tempore Nero apud Delphos eſt peregrinatus, eodem in loco eademque quæſtione oborta Ammonium diſſerere audiveramus.

β'. Ὅτι μὲν γὰρ οὐχ ἧττον ὁ θεὸς φιλόσοφος ἢ μάντις, ἐδόκει πᾶσιν ὀρθῶς πρὸς τοῦτο τῶν ὀνομάτων ἕκαστον Ἀμμώνιος τίθεσθαι, καὶ διδάσκειν ὡς Πύθιος μὲν ἐστὶ τοῖς ἀρχομένοις μανθάνειν καὶ διαπυνθάνεσθαι· Δήλιος δὲ καὶ Φαναῖος, οἷς ἤδη τι δηλοῦται καὶ ὑποφαίνεται τῆς ἀληθείας· Ἰσμήνιος δὲ, τοῖς ἔχουσι τὴν ἐπιστήμην· καὶ C Λεσχηνόριος δὲ, ὅταν ἐνεργῶσι καὶ ἀπολαύωσι, χρώμενοι τῷ διαλέγεσθαι καὶ φιλοσοφεῖν πρὸς ἀλλήλους. Ἐπεὶ δὲ τοῦ φιλοσοφεῖν, ἔφη, τὸ ζητεῖν, τὸ θαυμάζειν καὶ ἀπορεῖν, εἰκότως τὰ πολλὰ τῶν περὶ τὸν θεὸν ἔοικεν αἰνίγμασι κατακεκρύφθαι, καὶ λόγον τινὰ ποθοῦντα διὰ τί, καὶ διδασκαλίαν τῆς αἰτίας· οἷον ἐπὶ τοῦ πυρὸς τοῦ ἀθανάτου, τὸ καίεσθαι μόνον αὐτόθι τῶν ξύλων ἐλάτην, καὶ δάφνην ἐπιθυμιᾶσθαι, καὶ τὸ δύο Μοίρας ἱδρύσθαι, πανταχοῦ τριῶν νομιζομένων· καὶ τὸ μηδεμιᾷ γυναικὶ

B. 7. ἐδόκει] Sic, loco vulgati δοκεῖ Xyl. Anon. T. V.

C. 2. Λεσχηνόριος δὲ] Re ipſa jubente recepi cum Baſ. Xyl. Amiot. Mez. R: loco vitioſi λέσχην ἔχεις δεῖ.

C. 6. ποθοῦντα] Legendum ποθεῖν τοῦ: quorum prius eſt in Ven. a ſecunda manu.

II. Jam primum omnibus Ammonius recte videbatur eo Dei iſtius nomina accommodaſſe, ut non minus philoſophum eum quam vatem eſſe oſtenderet: ac docuiſſe, Pythium vocari iis, qui diſcere incipiunt et percunctantur: Delium autem et Phaneum iis, quibus jam aperitur et elucescit veritatis aliquid: Iſmenium ſcientibus: Leſchenorium, iis qui jam utuntur ac fruuntur ſcientia, et inter ſe diſputant ac philoſophantur. Quoniam autem philoſophiæ eſt inquirere, mirari, dubitare: aiebat non abs re pleraque de Diis occultata eſſe ænigmatis, rationemque aliquam et cauſæ explicationem deſiderare: verbi gratia, cur ad ignem ſempiternum de omnibus lignis ſola uratur abies; cur ſola laurus ſuffiatur: cur duæ ſint poſitæ Parcæ, cum ubique tres cenſeantur: cur nulli mulieri liceat ad cortinam acce-

πρὸς τὸ χρηστήριον ἐστὶ προσελθεῖν· καὶ τὸ τοῦ τρίποδος· D καὶ ὅσα τοιαῦτα, τοῖς μὴ παντάπασιν ἀλόγοις καὶ ἀψύχοις ὑφειμένα δελεάζει καὶ παρακαλεῖ πρὸς τὸ σκοπεῖν τι καὶ ἀκούειν καὶ διαλέγεσθαι περὶ αὐτῶν. Ὅρα δὲ καὶ ταυτὶ τὰ προγράμματα, τὸ ΓΝΩΘΙ ΣΑΥΤΟΝ, καὶ τὸ ΜΗΔΕΝ ΑΓΑΝ, ὅσας ζητήσεις κεκίνηκε φιλοσόφους, καὶ ὅσων λόγων πλῆθος ἀφ᾽ ἑκάστου, καθάπερ ἀπὸ σπέρματος ἀναπέφυκεν· ὧν οὐδενὸς ἧττον οἶμαι γόνιμον λόγον εἶναι τὸν νῦν ζητούμενον.

γ΄. Εἰπόντος δὲ ταῦτα τοῦ Ἀμμωνίου, Λαμπρίας ὁ ἀδελφὸς εἶπεν, Καὶ μὴν ὃν ἡμεῖς ἀκηκόαμεν λόγον ἁπλοῦς τις ἐστὶ καὶ κομιδῇ βραχύς· λέγουσι γὰρ ἐκείνους E τοὺς σοφούς, ὑπ᾽ ἐνίων δὲ σοφιστὰς προσαγορευθέντας, αὐτοὺς μὲν εἶναι πέντε, Χίλωνα καὶ Θαλῆν καὶ Σόλωνα καὶ Βίαντα καὶ Πιττακόν· ἐπεὶ δὲ Κλεόβουλος ὁ Λινδίων τύραννος, εἶτα Περίανδρος ὁ Κορίνθιος, οὐδὲν αὐτοῖς

D. 6. ὅσων] P. ὅσον.
D. 7. τὸν] A. B. P. Vulgo τό.
D. 10. ἀδελφὸς] Ven. Baſ. Xyl. Mez. Vulgo Δελφός.

dere: quæ tripodis ratio: atque alia, quæ non plane brutis et dementibus ſubmiſſa, alliciunt eos, et ad conſiderandum audiendumque et diſſerendum aliquid de iis incitant. Iſta quoque vide veſtibulo præſcripta, *Noris teipſum*, ac, *Ne quid nimis*, quantas philoſophorum excitarint diſputationes, quantaque de ſingulis ſermonum multitudo tanquam e ſemine pullularit. Quarum equidem nulli præſentem quæſtionem fœcunditate cedere exiſtimo.

III. Hæc locuto Ammonio, Lamprias frater meus: Atqui, inquit, ratio quam nos adduci audivimus ea de re, perbrevis eſt ac ſimplex. Dicunt enim ſapientes iſtos, qui a nonnullis ſophiſtæ appellantur, numero fuiſſe quinque, Chilonem, Thaletem, Solonem, Biantem, Pittacum. Poſtquam vero Cleobulus Lindiorum tyrannus, et Periander Corin-

καὶ προεξηγητικὴν δόξαν εἰς τὸ μέσον προσῆγον, οὔτε τὴν ὄψιν ἀξιοῦντες, οὔτε τὸν φθόγγον, ἀλλὰ τοὔνομα μόνον τοῦ γράμματος ἔχειν τι σύμβολον.

έ. Ἔστι γὰρ ὡς ὑπολαμβάνουσι Δελφοὶ, καί τε C προηγορῶν ἔλεγε Νίκανδρος ὁ ἱερεὺς, ὄχημα καὶ μορφὴ τῆς πρὸς τὸν θεὸν ἐντεύξεως, καὶ τάξιν ἡγεμονικὴν ἐν τοῖς ἐρωτήμασιν ἔχει τῶν χρωμένων ἑκάστοτε, καὶ διαπυνθανομένων Εἰ νικώσουσιν, Εἰ γαμήσουσιν, Εἰ συμφέρει πλεῖν, Εἰ γεωργεῖν, Εἰ ἀποδημεῖν. Τοῖς δὲ διαλεκτικοῖς χαίρειν ἔλεγε σοφὸς ὢν ὁ θεὸς, οὐδὲν οἰομένοις ἐκ τοῦ εἰ μορίου, καὶ τοῦ μετ' αὐτοῦ ἀξιώματος πρᾶγμα γίνεσθαι, πάσας τὰς ἐρωτήσεις ὑποτεταγμένας τούτῳ καὶ νοῶν ὡς πράγματα καὶ προσιέμενος. Ἐπεὶ δὲ ἴδιον τὸ ἐρωτᾶν ὡς πρὸς μάντιν ἐστὶν ἡμῖν, καὶ τὸ εὔχεσθαι κοινὸν ὡς πρὸς D

C. 1. καί τε προηγορῶν] Ita fere libri omnes. Forte καὶ τότε προηγορῶν; καὶ τότε παρὼν, ut verti, et jam Amiotus reddidit.
C. 2. ὄχημα] Forte σχῆμα Mez.
C. 7. οἰομένοις] Xyl. Am. Mez. Vulgo οἰόμενος.
C. 8. μορίου] Forte μόνου.
C. 10. ἐρωτᾶν ὡς] Ita D. ὡς vulgo deeſt.

interpretum opinionem in medium producebant, contendentes neque formam, neque ſonum, ſed ſolum nomen literæ notare aliquid.

V. Eſt enim, ut Delphi opinantur, et Nicander ſacerdos tum præſens dicebat, quaſi vehiculum et forma ſermonis quo deum compellant homines, ſyllaba Ei, (quod Latine *Si* dixeris) principemque locum obtinet in interrogationibus: dum conſultores identidem quærunt ac ſcitantur, *Si victoria ſint potituri*, *Si ducenda uxor*, *Si expediat navigare*, *Si agriculturam exercere*, *Si peregrinari*. Dialecticis autem valere juſſis Apollo ſapiens Deus, qui ex particula Si et pronunciato ei adjuncto nullam cenſent confici rem, omnes interrogationes huic ſubjunctas particulæ pro rebus accipit et admittit. Quoniam autem nobis proprium eſt interrogare ut vatem, commune autem invocare ut deum; exiſtimant literam illam

θεὸν, οὐχ ἧττον οἴονται τῆς πευστικῆς τὴν εὐκτικὴν τὸ γράμμα περιέχειν δύναμιν. Εἰ γὰρ ὄφελον, φησὶν ἕκαστος τῶν εὐχομένων· καὶ Ἀρχίλοχος,

Εἰ γὰρ ὡς ἐμοὶ γένοιτο χεῖρα Νεοβούλης θίγειν.

Καὶ τοῦ εἴθε τὴν δευτέραν συλλαβὴν παρέλκεσθαί φησιν, οἷον τὸ Σώφρονος, Ὅμα τέκνων θὴν δευομένα· καὶ τὸ Ὁμηρικὸν,

Ὡς θὴν καὶ σὸν ἐγὼ λύσω μένος ——

ἐν δὲ τῷ ΕΙ τὸ εὐκτικὸν καὶ ἀποχρώντως δηλοῦσθαι.

ϛʹ. Ταῦτα τοῦ Νικάνδρου διελθόντος, οἶσθα γὰρ δὴ
E Θέωνα τὸν ἑταῖρον, ἤρετο τὸν Ἀμμώνιον εἰ διαλεκτικῇ παῤῥησίας μέτεστιν οὕτω περιυβρισμένῃ· τοῦ δ᾽ Ἀμμωνίου λέγειν παρακελευομένου καὶ βοηθεῖν, Ἀλλ᾽ ὅτι μὲν, ἔφη, διαλεκτικώτατος ὁ θεός ἐστιν, οἱ πολλοὶ τῶν χρησμῶν δηλοῦσι· τοῦ γὰρ αὐτοῦ δήπουθεν ἐστὶ καὶ λύειν καὶ ποιεῖν ἀμφιβολίας. Ἔτι δ᾽, ὥσπερ Πλάτων ἔλεγε, χρησμοῦ δοθέντος, ὅπως τὸν ἐν Δήλῳ βωμὸν διπλασιάσωσιν, ὃ

D. 5. ὡς ἐμοὶ] Forte ἐξ ἐμοί. R.
D. 6. φησιν] Forte φασιν Mez.
D 7. Ὅμα] Ἅμα A. B. D. Baſ.

EI, ſive SI, non minus optandi quam interrogandi ſignificationem habere. Optantes enim dicimus, *Si mihi contingeret:* et Archilochus,

—— *Si mihi*
Manum liceret Neobules tangere meæ.

Et in ΕΙΘΕ poſterior ſyllaba ΘΕ, ut aiunt, locum implet, nihil ſignificat, ut et particula ΘΗΝ, apud Sophronem et Homerum: ſed EI optandi vim habet ſufficientem.

VI. Hæc cum dixiſſet Nicander, Theo ſocius noſter, notus (opinor) tibi, ex Ammonio quæſivit, libertaſne relicta eſſet dicendi dialecticæ, tanta affectæ ignominia. Et Ammonio dicere, opemque ei ferre jubente: At vero, inquit, artis hujus peritiſſimum eſſe Apollinem, pleraque oracula oſtendunt: eſt enim ejuſdem nimirum ſolvere et texere ambiguitatem. Jam ſicut Plato dicebat oraculo dato, quod aram Delphicam duplam prioris facere juberet,

τῆς ἄκρας ἕξεως περὶ γεωμετρίαν ἔργον ἐστὶν, οὐ τοῦτο
προστάττειν τὸν θεὸν, ἀλλὰ καὶ γεωμετρεῖν διακελεύεσθαι
τοῖς Ἕλλησιν· οὕτως ἄρα χρησμοὺς ἀμφιβόλους ἐκφέρων F
ὁ θεὸς, αὔξει καὶ συνίστησι διαλεκτικὴν, ὡς ἀναγκαίαν
τοῖς μέλλουσιν ὀρθῶς αὐτοῦ συνήσειν. Ἐν δὲ διαλεκτι-
κῇ δήπου μεγίστην ἔχει δύναμιν ὁ συναπτικὸς οὑτοσὶ σύν-
δεσμος, ἅτε δὴ τὸ λογικώτατον σχηματίζων ἀξίωμα·
πῶς γὰρ οὐ τοιοῦτο τὸ συνημμένον, εἴ γε τὴν μὲν ὑπάρξεως
τῶν πραγμάτων ἔχει καὶ τὰ θηρία γνῶσιν, ἀκολούθου
δὲ θεωρίαν καὶ κρίσιν ἀνθρώπῳ μόνον παρέδωκεν ἡ φύσις.
Ὅτι γὰρ ἡμέρα ἐστὶ καὶ φῶς ἐστὶν, αἰσθάνονται δή που
καὶ λύκοι καὶ κύνες καὶ ὄρνιθες· ὅτι δὲ εἰ ἡμέρα, φῶς 387
ἐστὶν, οὐδὲν ἄλλο συνίησι, πλὴν ἄνθρωπος, ἡγουμένου καὶ
λήγοντος, ἐμφάσεώς τε καὶ συναρτήσεως τούτων πρὸς
ἄλληλα καὶ σχέσεως καὶ διαφορᾶς μόνος ἔχων ἔννοιαν,
ἐξ ὧν αἱ ἀποδείξεις τὴν κυριωτάτην ἀρχὴν λαμβά-

A. 4. μόνος] Sic A. B. D. Ven. Mez. Vulgo μόνον.

(quod ſummæ eſt rerum geometricarum peritiæ opus) non de ara Deum fuiſſe locutum, ſed Græcis hoc modo mandaviſſe ut geometriæ darent operam: ita ſane ambigua edens oracula Apollo, auget commendatque dialecticam, qua ſcilicet opus habeant qui ipſum velint intelligere. In dialectica autem maximam vim habet conjunctio SI, eam componens enunciationem, quæ omnium maxime rationi humanæ congruit. Quidni enim eam vim habet Syllogiſmus Connexus? cum etiam bruta rerum ſubſtantiæ habeant notitiam: conſiderationem autem et judicium conſequentiæ ſoli homini natura dederit. *Eſſe enim diem, eſſe lucem*, ſentiunt nimirum et lupi, et canes, et aves: quod autem *Si lux eſt, dies ſit*, nullum excepto homine animal intelligit: ſolus enim homo antecedentis et conſequentis, et ſignificationis horum atque connexionis, mutuique reſpectus et diſcriminis notionem percipit, ex qua demonſtrationum principium

νουσιν. Ἐπεὶ τοίνυν φιλοσοφία μὲν περὶ ἀλήθειάν ἐστιν, ἀληθείας δὲ φῶς ἀπόδειξις, ἀποδείξεως ἀρχὴ τὸ συνημμένον, εἰκότως ἡ τοῦτο συνέχουσα καὶ ποιοῦσα δύναμις ὑπὸ σοφῶν ἀνδρῶν τῷ μάλιστα τὴν ἀλήθειαν ἠγαπη-
B κότι θεῷ καθιερώθη· καὶ μάντις μὲν ὁ θεός, μαντικὴ δὲ τέχνη περὶ τὸ μέλλον, ἐκ τῶν παρόντων ἢ παρῳχημένων. Οὐδενὸς γὰρ οὐδ᾽ ἀναίτιος ἡ γένεσις, οὔτ᾽ ἄλογος ἡ πρόγνωσις· ἀλλ᾽ ἐπεὶ πάντα τοῖς γεγονόσι τὰ γιγνόμενα, τά τε γενησόμενα τοῖς γιγνομένοις ἕπεται καὶ συνήρτηται, κατὰ διέξοδον ἀπ᾽ ἀρχῆς εἰς τέλος περαίνουσαν, ὁ τὰς αἰτίας εἰς ταὐτὸ συνδεῖν τε πρὸς ἄλληλα καὶ συμπλέκειν φυσικῶς ἐπιστάμενος, οἶδε καὶ προλέγειν

— τά τε ὄντα τά τ᾽ ἐσσόμενα πρό τ᾽ ἐόντα.

Καὶ καλῶς Ὅμηρος πρῶτον ἔταξε τὰ παρόντα, εἶτα τὸ μέλλον καὶ τὸ παρῳχημένον. Ἀπὸ γὰρ τοῦ ὄντος ὁ

B. 7. συνδεῖν] A. B. D. Mez. Vulgo συνιδεῖν.
B. 8. προλέγειν] D. Mez. Vulgo προλέγει.

petitur præcipuum. Quoniam autem philoſophia verſatur circa veritatem, lux veritatis eſt demonſtratio, hujus principium eſt Syllogiſmus Connexus; convenienter ea particula quæ vim habet hanc conficiendi et continendi, a ſapientibus hominibus ei Deo conſecrata fuit, qui maxime diligit veritatem. Vates ergo eſt Deus, ars Vatis autem circa futura verſatur, quæ colliguntur ex præſentibus aut præteritis. Nullius enim rei vel ſine cauſa eſt ortus, vel ſine ratione prænotio: ſed cum omnia præſentia præteritis, omnia futura præſentibus connexa ſint et alterum ex altero ſequatur progreſſu ab initio ad finem pertendente; is qui cauſas naturalibus rationibus colligare inter ſe et contexere poteſt, is novit etiam prædicere

Quæ ſunt, quæ venient poſthæc, quæ præterierunt.

Et præclare Homerus primo loco poſuit præſentia, deinde futura et præterita. Nam e connexi natura ducitur ratio-

συλλογισμὸς κατὰ τὴν τοῦ συνημμένου δύναμιν· ὡς, εἰ C τόδ' ἐστὶ, τόδε προηγεῖται· καὶ πάλιν, εἰ τόδε ἐστὶ, τόδε γενήσεται· τὸ γὰρ τεχνικὸν καὶ λογικὸν, ὥσπερ εἴρηται, γνῶσις ἀκολουθίας· τὴν δὲ πρόσληψιν ἡ αἴσθησις τῷ λόγῳ δίδωσιν· ὅθεν, εἰ καὶ αἰσχρὸν εἰπεῖν, οὐκ ἀποστρέψομαι τοῦτον εἶναι τὸν τῆς ἀληθείας τρίποδα τὸν λόγον, ὃς τὴν τοῦ λήγοντος πρὸς τὸ προηγούμενον ἀκολουθίαν θέμενος, εἶτα προσλαβὼν τὴν ὕπαρξιν, ἐπάγει τὸ συμπέρασμα τῆς ἀποδείξεως. Τὸν οὖν Πύθιον, εἰ δὴ μουσικῇ τε ἥδεται, καὶ κύκνων φωναῖς καὶ κιθάρας ψόφοις, τί θαυμαστὸν ἐστὶ διαλεκτικῆς φιλίᾳ τοῦτο ἀσπά- D ζεσθαι τοῦ λόγου τὸ μέρος καὶ ἀγαπᾷν, ᾧ μάλιστα καὶ πλεῖστα προσχρωμένους ὁρᾷ τοὺς φιλοσόφους; Ὁ δ' Ἡρακλῆς οὔπω τὸν Προμηθέα λελυκὼς, οὐδὲ τοῖς περὶ τὸν Χείρωνα καὶ Ἄτλαντα σοφισταῖς διειλεγμένος, ἀλλὰ νέος ὢν καὶ κομιδῇ Βοιώτιος, ἀναιρῶν τὴν διαλεκτικὴν καὶ

C. 5. αἰσχρὸν] Lege γλίσχρον.
C. 6. ἀποστρέψομαι] Sic B. D. ἀπουστρέφομαι Ven. Vulgo ἀποτρέψομαι. Proxime τοῦτον A. B. Ven. Vulgo τοῦτο.
C. 7. ὃς τὴν] Sic A. B. D. Ven. Ald. Vulgo ἢ τήν.

cinatio: *Si hoc eſt, iſtud præceſſit*, et *Si hoc eſt, iſtud fiet.* Artificioſa enim, ut dixi, res eſt, et ab humana proficiſcitur ratione cognitio conſequentiæ: aſſumptionem autem ſenſus rationi præbet. Itaque etſi jejunum videtur, tamen non verebor dicere, tripodem nihil eſſe aliud quam rationem veritatis: quæ, poſita ejus quod eſt ad antecedens conſecutione, deinde aſſumens rem exſtantem, concluſionem demonſtrationis infert. Quid mirum autem, ſi Apollo, qui Muſica delectatur, et olorum cantu, citharæque ſono, ob amorem dialecticæ hanc particulam amplectitur et diligit, qua maxime et crebro uti videt philoſophos? Hercules autem, cum nondum ſolviſſet Prometheum, neque cum Chirone et Atlante ſophiſtis collocutus fuiſſet, juvenis etiamnum ac plane Bœotius, dialecticam abolens, et illud

καταγελῶν τοῦ Ε τὸ πρῶτον, τὸ δεύτερον ὑποσπᾶν ἔδοξε βίᾳ τὸν τρίποδα καὶ διαμάχεσθαι πρὸς τὸν θεὸν ὑπὲρ τῆς τέχνης· ἐπεὶ προϊὼν γε τῷ χρόνῳ καὶ
E οὗτος ἔοικε μαντικώτατος ὁμοῦ γενέσθαι καὶ διαλεκτικώτατος.

ζ. Παυσαμένου δὲ τοῦ Θέωνος, Εὔστροφον Ἀθηναῖον οἶμαι τὸν εἰπόντα εἶναι πρὸς ἡμᾶς, Ὁρᾷς ὡς ἀμύνει τῇ διαλεκτικῇ Θέων προθύμως, μονονοὺ τὴν λεοντῆν ἐπενδυσάμενος· οὔπω οὐδ' ἡμᾶς τοὺς πάντα συλλήβδην πράγματα καὶ φύσεις καὶ ἀρχὰς θείων ὁμοῦ καὶ ἀνθρωπείων ἐν ἀριθμῷ τιθεμένους, καὶ πολὺ μάλιστα τῶν καλῶν καὶ τιμίων, τοῦτον ἡγεμόνα ποιουμένους καὶ κύριον, εἰδὼς ἡσυχίαν ἄγειν, ἀλλ' ἀπάρξασθαι τῷ θεῷ τῆς φίλης
F μαθηματικῆς, αὐτὸ μὲν ἐφ' ἑαυτοῦ μήτε δυνάμει, μήτε μορφῇ, μήτε τῷ ῥήματι τὸ Ε τῶν ἄλλων στοιχείων διαφέ-

E. 5. μονονοὺ] Sic A. μονονουχὶ T. V. B. Vulgo μονοχὶ.
E. 6. οὔπω] Forte ὅπως, vel οὐκοῦν ut R.
E. 10. εἰδὼς] Forte legendum εἰκὸς, ut Exempl. Turn. Anon. V. Amiot.
F. 1. μαθηματικῆς, αὐτὸ] Inter has duas voces vulgo eſt βουλομένους: quod delevi cum B. Ven. Xyl. Amiot.
F. 2. τὸ E] Ita D. Mez. Vulgo τῷ E.

SI, ac deridens primum, creditus eſt vi abſtuliſſe iterum tripodem, et de arte cum deo dimicaſſe. Nam aucta quidem ætate, ipſe quoque et divinationis et dialecticæ factus eſt peritiſſimus.

VII. Ut finem dicendi fecit Theo, Euſtrophus Athenienſis fuit, ut puto, qui ad nos dixit: Viden' quam alacriter Theo dialecticam tueatur, tantum non leonis indutus exuvium? ne nos quidem porro, qui omnes in una ſumma res, naturas, principia divinarum juxta humanarumque rerum, numeris adſignamus, numerumque multo maxime omnium pulchrarum bonarumque rerum facimus principem ac dominum, convenit quieſcere, ſed primitias charæ mathematices deo offerre; quippe qui ſtatuamus EI illud neque virium, neque formæ, neque ſignificationis gratia quicquam ab aliis differre

ρειν ἡγούμενοις, ὡς δὲ μεγάλου πρὸς τὰ ὅλα καὶ κυρίου σημεῖον ἀριθμοῦ προτετιμῆσθαι τῆς πεμπάδος, ἀφ' οὗ τὸ ἀριθμεῖν οἱ σοφοὶ πεμπάζειν ὠνόμαζον. Ταῦτα δὲ πρὸς ἡμᾶς ἔλεγεν οὐ παίζων ὁ Εὔστροφος, ἀλλ' ἐπεὶ τηνικαῦτα προσεκείμην τοῖς μαθήμασιν ἐμπαθῶς, τάχα δὲ μέλλων εἰς πάντα τιμήσειν τὸ Μηδὲν ἄγαν, ἐν Ἀκαδημίᾳ γενόμενος.

η'. Εἶπον οὖν, κάλλιστα τὸν Εὔστροφον τῷ ἀριθμῷ λύειν τὴν ἀπορίαν. Ἐπεὶ γὰρ, ἔφην, εἰς τὸ ἄρτιον νενεμημένου παντὸς ἀριθμοῦ καὶ τὸ περιττὸν, ἡ μὲν μονὰς ἀμφοτέρων ἐπί- 388
κοινός ἐστι τῇ δυνάμει· διὸ καὶ προστιθεμένη τὸν μὲν περιττὸν ἀριθμὸν ἄρτιον ποιεῖ, τὸν δὲ ἄρτιον περιττόν· ἀρχὴν δὲ τοῦ μὲν ἀρτίου τὰ δύο, τοῦ δὲ περιττοῦ τὰ τρία ποιοῦνται· τὰ δὲ πέντε γεννᾶται τούτων πρὸς ἀλλήλους μιγνυμένων· εἰκότως ἔσχηκε τιμὴν, πρῶτος ἐκ

F. 3. καὶ κυρίου] καὶ addidi ex Ven.
F. 4. προτετιμῆσθαι] Forte τετιμῆσθαι ut B. Ven.
F. 8. δὲ μέλλων] Forte δὴ μέλλων.
A. 5. ποιοῦνται] A. P. Xyl. Vulgo ποιοῦντα.

literis: ſed judicemus hoc honore eximio ornatum eſſe, ut notam quinarii, cujus numeri magna eſt in univerſam naturam vis: quem nos *pemptada*, et ab eo ſapientes *pempazein* numerare appellant. Hæc ille ad nos dicebat, non joco, ſed quia tum mathematibus ego ardenti ſtudio animi operam navabam: mox, ut verſans in Academia, ubique magni factūrus vocem illam, *Ne quid nimis*.

VIII. Ad hæc itaque ego ſic reſpondi: Dubitationem Euſtrophus optime numero ſolvit. Cum enim numerus in parem ac imparem dividatur, et unitas facultate utrique generi ſit communis, quippe quæ pari addita imparem, impari adjecta parem conficit numerum: principium autem paris numeri duo, ternio imparis ſtatuatur; Quinarius ex his duobus compoſitis conflatus, merito in honore eſt, utpote primus ex primis confectus, nominatur-

πρώτων ἀποτελούμενος, καὶ ΓΑΜΟΣ ἐπωνόμαςαι τῇ τοῦ
ἀρτίου πρὸς τὸ θῆλυ, περιττοῦ δὲ αὖ πρὸς τὸ ἄῤῥεν
ὁμοιότητι· ταῖς γὰρ εἰς ἴσα τομαῖς τῶν ἀριθμῶν, ὁ
μὲν ἄρτιος πάντη διϊςάμενος ὑπολείπει τινὰ δεκ-
τικὴν ἀρχὴν οἷον ἐν ἑαυτῷ καὶ χώραν· ἐν δὲ τῷ
B περιττῷ τὸ αὐτὸ παθόντι, μέσον ἀεὶ περίεςι τῆς νεμή-
σεως γόνιμον· ᾗ γονιμώτερός ἐςι τοῦ ἑτέρου, καὶ μιγνύμε-
νος ἀεὶ κρατεῖ, κρατεῖται δὲ οὐδέποτε· γίνεται γὰρ ἐξ
ἀμφοῖν κατ' οὐδεμίαν μίξιν ἄρτιος, ἀλλὰ κατὰ πάσας
περιττός. Ἔπι δὲ μᾶλλον αὐτὸς ἐπιβάλλων αὑτῷ καὶ
συντιθέμενος, δείκνυσι τὴν διαφορὰν ἑκάτερος· ἄρτιος μὲν
γὰρ οὐδεὶς ἀρτίῳ συνελθὼν περιττὸν παρέσχεν, οὐδ' ἐξέ-
βη τὸ οἰκεῖον ὑπ' ἀσθενείας, ἄγονος ὢν ἑτέρου καὶ ἀτε-
λής· περιττοὶ δὲ μιγνύμενοι περιττοῖς, ἀρτίους πολλοὺς
C διὰ τὸ πάντη γόνιμον ἀποτελοῦσι. Τὰς δ' ἄλλας οὐκ
ἄν τις ἐν χώρᾳ νῦν ἐπεξίοι δυνάμεις καὶ διαφορὰς τῶν
ἀριθμῶν. Ὡς οὖν ἄῤῥενος τοῦ πρώτου καὶ θήλεος ὁμοιό-

A. 7. ἐπωνόμαςαι] B. D. Vulgo ἀπωνόμαςαι.
B. 5. Ἔπι] B. T. Bongarſ. Mez. Vulgo Ἐςί.

que Matrimonium, ob paris cum fœmina, imparis cum mare ſimilitudinem. Quando enim numeri in æquas dividuntur partes, par omnino divulſus, principium quoddam capax in ſeipſo, ſpatiumque relinquit: impari diviſo, ſemper medium reſtat gignendo aptum: itaque et fœcundior pari eſt, mixtuſque ſemper prævalet, nunquam vincitur: nunquam enim par impari mixtus parem, ſemper imparem producit. Immo omne uterque ſecum compoſitus, diſcrimen oſtendit: nunquam ſcilicet par pari adjunctus imparem procreat, neque ſuam mutare naturam poteſt, imbecillus et vi alium gignendi deſtitutus: impares, quia uſquequaque ſunt fœcundi imparibus juncti multos generant pares. Reliquas numerorum facultates ac differentias non eſt hic perſequendi locus. Proinde quinarium

τητι τὰ πέντε γινόμενα ΓΑΜΟΝ οἱ Πυθαγόρειοι προσεῖπον. Ἔστι δὲ ἡ καὶ φύσις λέλεκται, τῷ περὶ αὐτὸν πολυπλασιασμῷ πάλιν εἰς ἑαυτὸν περαίνων· ὡς γὰρ ἡ φύσις λαβοῦσα πυρὸν ἐν σπέρματι καὶ χεαμένη, πολλὰ μὲν ἐν μέσῳ φύει σχήματα καὶ εἴδη, δι' ὧν ἐπὶ τέλος ἐξάγει τὸ ἔργον, ἐπὶ πᾶσι δὲ πυρὸν ἀνέδειξεν, ἀποδοῦσα τὴν ἀρχὴν ἐν τῷ τέλει τοῦ παντός· οὕτω τῶν λοιπῶν ἀριθμῶν ὅταν αὐτοὺς πολλαπλασιάζωσιν εἰς ἑτέρους, τελευτώντων τῇ αὐξήσει, μόνος ὁ τῶν ΠΕΝΤΕ καὶ ἝΞ γινόμενος τοσαυτάκις αὐτοὺς ἀναφέρουσι καὶ ἀνασώζουσιν· D ἑξάκις γὰρ τὸ ἕξ, τριακονταέξ, καὶ πεντάκις τὰ πέντε, εἰκοσιπέντε γίνεται. Καὶ πάλιν ὁ μὲν τῶν ἝΞ ἅπαξ τοῦτο ποιεῖ, καὶ μοναχῶς αὐτὸς ἀφ' ἑαυτοῦ τετράγωνος γενόμενος· τῇ δὲ ΠΕΝΤΑΔΙ καὶ τοῦτο μὲν συμβέβηκε κατὰ πολυπλασιασμὸν, ἰδίως δὲ τὸ κατὰ σύνθεσιν ἑαυτὴν, ἢ δεκάδα ποιεῖν παρὰ μέρος ἐπιβαλλούσης αὐτῇ, καὶ τοῦτο γίνεσθαι μέχρι παντὸς, ἀπομιμουμένη τοῦ ἀριθμοῦ

D. 6. ἰδίως] Lege ἴδιον.
D. 6. ἑαυτὴν, ἢ δεκάδα] Vulgo καθ' ἑαυτὴν, ἢ δεκάδα, vitioſe. Καθ' omiſi cum Ven. ἢ ſumpſi ex Mez. Mox ποιεῖν A. Ven. Vulgo ποιεῖ.

Pythagorei, ob ſimilitudinem congreſſus primorum maris et fœminæ Conjugium appellaverunt. Idem etiam natura dicitur, quod ſui multiplicatione in ſe redit: ſicut enim natura triticum loco ſeminis accipiens, multas alterando eo mutandoque formas interim inducens, tandem triticum reddit, in fine totius mutationis principium reſtituens: ita cum reliqui numeri in ſeſe multiplicati, incremento facto in alios deſinant: ſoli quinarius et ſenio in ſe ducti, ſeipſos referunt et conſervant. Sexies enim ſex, triginta et ſex ſunt: quinquies quinque, viginti et quinque. Verum ſenarius ſemel hoc facit, unoque duntaxat modo ex ſeipſo quadratum producit. Sed quinarius præter hunc multiplicationis fructum, ſibi ipſi adjectus denarium gignit: idque durat perpetuo: qua in re imitatur hic numerus princi-

τὴν τὰ ὅλα διακοσμοῦσαν ἀρχήν. Ὡς γὰρ ἐκείνην φυλάττουσαν ἐκ μὲν ἑαυτῆς τὸν κόσμον, ἐκ δὲ τοῦ κόσμου πάλιν αὖ ἑαυτὴν ἀποτελεῖν, πυρός τ' ἀνταμεί-
E βεσθαι πάντα, φησὶν ὁ Ἡράκλειτος, καὶ πῦρ ἁπάντων, ὥσπερ χρυσοῦ χρήματα, καὶ χρημάτων χρυσός· οὕτως ἡ τῆς πεντάδος πρὸς ἑαυτὴν σύνοδος οὐδὲν οὔτε ἀτελὲς οὔτε ἀλλότριον γεννᾶν πέφυκεν, ἀλλ' ὡρισμένας ἔχει μεταβολάς· ἢ γὰρ αὑτὴν ἢ τὴν δεκάδα γεννᾷ, τουτέστιν, ἢ τὸ οἰκεῖον ἢ τὸ τέλειον.

θ'. Ἐὰν οὖν ἔρηταί τις, τί ταῦτα πρὸς τὸν Ἀπόλλωνα; φήσομεν, οὐχὶ μόνον, ἀλλὰ καὶ πρὸς τὸν Διό-
F νυσον, ᾧ τῶν Δελφῶν οὐδὲν ἧττον ἢ τῷ Ἀπόλλωνι μέτεστιν. Ἀκούομεν οὖν τῶν θεολόγων τὰ μὲν ἐν ποιήμασι, τὰ δ' ἄνευ μέτρου λεγόντων καὶ ὑμνούντων, ὡς ἄφθαρτος ὁ θεὸς καὶ ἀΐδιος πεφυκὼς ὑπὸ δή τινος εἱμαρμένης γνώμης καὶ λόγου μεταβολαῖς ἑαυτοῦ χρώμε-

D. 10. φυλάττουσαν] Mez. διαλλάττουσαν. Forte addendum ἑαυτὴν, quod vertendo expreſſi.
D. 11. αὖ] A. Deeſt in B. et Ven. Vulgo vitioſe ἀφ'.
D. 11. πυρός τ' ἀνταμείβεσθαι. Recepi τ' ex B. Infinitivum ex ſententiæ neceſſitate. Vulgo πυρὸς ἀνταμείβεται.

pium illud, quod Univerſum temperat. Sicut enim Heraclitus ait, illud ſe conſervans ex ſeipſo mundum, ex mundo ſe reficere, ignique omnia permutare, et omnibus ignem, quo modo aurum pecunia, et pecuniam auro: ſic quinarii ea eſt natura, ut cum quinario congreſſus nihil imperfectum aut alienum poſſit procreare: ſed aut ſeſe, aut denarium: id eſt, vel ſuæ naturæ, vel perfectum numerum.

IX. Quod ſi quis interroget, quid hæc ad Apollinem attineant, reſpondebimus, non ad hunc modo, ſed et ad Bacchum, qui non minori jure quam Apollo Delphorum ſibi partem vindicat. Audimus enim theologos partim carmine, partim libera oratione canentes atque tradentes, deum interitus expertem atque æternum ſuapte natura, fatali quodam decreto ac ratione mutationibus ſui utentem, ali-

νος, ἄλλοτε μὲν εἰς πῦρ ἀνῆψε τῇ φύσει πάντα ὁμοιώ-
σας πᾶσιν, ἄλλοτε δὲ παντοδαπὸς ἔν τε μορφαῖς καὶ ἐν
πάθεσι καὶ δυνάμεσι διαφόροις γιγνόμενος, ὡς γίνεται
νῦν κόσμος, ὀνομάζεται δὲ τῷ γνωριμωτάτῳ τῶν ὀνο-
μάτων. Κρυπτόμενοι δὲ τοὺς πολλοὺς οἱ σοφώτεροι, τὴν
μὲν εἰς πῦρ μεταβολὴν Ἀπόλλωνά τε τῇ μονώσει,
Φοῖβόν τε τῷ καθαρῷ καὶ ἀμιάντῳ καλοῦσι· τῆς δ' εἰς 389
πνεύματα καὶ ὕδωρ καὶ γῆν καὶ ἄστρα καὶ φυτῶν ζώ-
ων τε γενέσεις τροπῆς αὐτοῦ καὶ διακοσμήσεως, τὸ μὲν
πάθημα καὶ τὴν μεταβολὴν, διασπασμόν τινα καὶ δια-
μελισμὸν αἰνίττονται· Διόνυσον δὲ καὶ Ζαγρέα καὶ Νυκ-
τέλιον καὶ Ἰσοδαίτην αὐτὸν ὀνομάζουσιν, καὶ φθοράς
τινας καὶ ἀφανισμοὺς, καὶ τὰς ἀποβιώσεις καὶ πα-
λιγγενεσίας, οἰκεῖα ταῖς εἰρημέναις μεταβολαῖς αἰνίγ-
ματα καὶ μυθεύματα, περαίνουσι· καὶ ᾄδουσι τῷ μὲν

F. 6. τῇ φύσει] Lege τὴν φύσιν, ut R.
F. 8. ὡς γίνεται νῦν] Lege γίνεται, ὡς νῦν, ut Amiot.
A. 2. πνεύματα] Forte πνεῦμά τι Mez.
A. 7. καὶ τὰς ἀποβ.] Præſtat καὶ omitti. B. D. Ald. Baſ. καὶ οἱ τὰς ἀποβ.
A. 9. περαίνουσι· καὶ ᾄδουσι τῷ μὲν—] Ita interpunxi. Vulgo περαίνουσι καὶ ᾄδουσι· τῷ μὲν—.

as in igneam naturam accendi, omniaque omnibus aſſimilare: alias in varias ſe omniſque generis formas induere, diverſiſque affectionibus et facultatibus obnoxium facere; idque fieri quod nunc eſt, et notiſſimo nomine *Mundus* dicitur. Sapientiores autem iſthæc vulgus hominum celantes, mutationem in ignem *Apollinis*, ob negationem multitudinis, et *Phœbi* ob puritatem nomine afficiunt. Mutationis autem converſionis Dei illius autem in ſpiritus, aquam, terram, ſidera, ſtirpes, atque animalia, ejuſque diſpoſitionem, divulſione quadam et in membra diſtractione ſignificant: ipſum deum *Dionyſum*, *Zagreum*, *Nyctelium*, et *Iſodætam* appellant. Interitus etiam quoſdam, et e medio ſublationes, mortes, rurſumque in vitam reditus, conſentanea dictis mutationibus ænigmata, narrant: canunt-

διθυραμβικὰ μέλη παθῶν μεστὰ καὶ μεταβολῆς, πλάνην τινὰ καὶ διαφόρησιν ἐχούσης· μιξοβόαν γὰρ, Αἰσ-
B χύλος φησὶ, πρέπει διθύραμβον ὁμαρτεῖν σύγκοινον Διονύσῳ· τῷ δὲ παιᾶνα, τεταγμένην καὶ σώφρονα μοῦσαν. Ἀγήρω τε τοῦτον ἀεὶ καὶ νέον, ἐκεῖνον δὲ πολυειδῆ καὶ πολύμορφον, ἐν γραφαῖς καὶ πλάσμασι δημιουργοῦσι· καὶ ὅλως τῷ μὲν ὁμοιότητα καὶ τάξιν καὶ σπουδὴν ἄκρατον, τῷ δὲ μεμιγμένην τινὰ παιδιὰν καὶ ὕβριν καὶ σπουδὴν καὶ μανίαν προσφέροντες ἀνωμαλίαν, Εὔιον ὀρσιγύναικα μαινομέναις Διόνυσον ἀνθέοντα τιμαῖς ἀνακαλοῦσιν, οὐ φαύλως ἑκατέρας μεταβολῆς τὸ οἰκεῖον λαμβάνοντες. Ἐπεὶ δ᾽ οὐκ ἴσος ὁ τῶν περιόδων ἐν ταῖς μεταβολαῖς
C χρόνος, ἀλλὰ μείζων ὁ τῆς ἑτέρας, ἣν ΚΟΡΟΝ καλοῦσιν, ὁ δὲ τῆς χρησμοσύνης ἐλάττων, τὸ κατὰ λόγον τη-

B. 5. ὁμοιότητα] Forte ὁμαλότητα. Mox lege, παιδιᾷ καὶ ὕβρει καὶ σπουδῇ καὶ μανίᾳ— ut in Verſione expreſſi.

B. 7. ὀρσιγύναικα] Recepi ex aliis Plutarchi locis, ubi idem exſtat dictum, Exil. p. 607, C. Sympoſ. p. 671, C. Vulgo vitioſe ὀρειγύναικα. Valckenarius Epiſt ad Rover. p. 80, corrigit: Εὔϊον ὀρσιγύναικα Διόνυσον, Μαινομέναις συνθέοντα τιθήναις.

que Baccho dithyrambos, plena motuum animi et mutationum carmina cum vagis erroribus et circumcurſitatione conjunctarum: nam, ut Æſchylus, ait, *Promiſcui clamoris dithyrambum convenit comitari Baccho.* Apollini autem canunt Pæanem, carmenque modeſtæ Camœnæ. Atque hunc ſemper juvenem, et ſenectutis exſortem, illum multiplici forma, variaque ſpecie pingunt atque fingunt: denique Apollini tribuunt æqualitatem, ordinem, ſinceritatemque ſerio conſtantem: Baccho mixtam jocis, et petulantia, et ſeveritate, et furore inæqualitatem tribuentes, *Evium, inter mulieres verſantem ac currentem Bacchum væſanis honoribus*, invocantes: non inepte utriuſque mutationis naturam contemplati. Quoniam autem circuitionum in mutationibus tempus æquale non eſt, ſed longius ejus, quam *Coron* (id eſt ſatietatem) vocant, brevius *Chreſmoſynes* (id eſt indigentiæ) proportionem hic obſervantes, reli-

ροῦντες ἐνταῦθα, τὸν μὲν ἄλλον ἐνιαυτὸν παιᾶνι χρῶνται περὶ τὰς θυσίας, ἀρχομένου δὲ χειμῶνος ἐπεγείραντες τὸν διθύραμβον, τὸν δὲ παιᾶνα καταπαύσαντες, τρεῖς μῆνας ἀντ' ἐκείνου τοῦτον κατακαλοῦνται τὸν θεόν· ὅπερ τρία πρὸς ἕν, τοῦτο τὴν διακόσμησιν οἰόμενοι χρόνῳ πρὸς τὴν ἐκπύρωσιν εἶναι.

ι. Ἀλλὰ ταῦτα μὲν ἱκανοῦ καιροῦ μᾶλλον ἀπομεμήκυνται· δῆλον δὲ ὅτι συνοικειοῦσιν αὐτὸν οἱ τὴν πεντάδα, νῦν μὲν αὐτῇ ἑαυτὴν ὡς τὸ πῦρ, αὖθις δὲ τὴν δεκάδα ποιοῦσαν ἐξ ἑαυτῆς, ὡς τὸν κόσμον, λέγοντες. D Τῆς δὲ δὴ μάλιστα κεχαρισμένης τῷ θεῷ μουσικῆς οὐκ οἰόμεθα τούτῳ τῷ ἀριθμῷ μετεῖναι· τὸ γὰρ πλεῖστον, ὡς ἔνι εἰπεῖν, ἔργον ἁρμονικῆς περὶ τὰς συμφωνίας ἐστίν. Αὗται δ' ὅτι πέντε καὶ οὐ πλείους, ὁ λόγος ἐξελέγχει τὸν ἐν χορδαῖς καὶ τρυπήμασι ταῦτα θηρᾷν ἀλόγως τῇ αἰσθήσει βουλόμενον. Πᾶσαι γὰρ ἐν λόγοις τὴν γένεσιν

C. 6. κατακαλοῦνται] Forte ἀνακαλοῦνται, ut Ven. a ſecunda manu.
C. 10. συνοικειοῦσιν] A. Vulgo mendoſe συνοικιοῦσιν. Proxime αὐτὸν οἱ corrigendum in αὐτῷ. Mez.

quis anni partibus pæane ad ſacrificia utentes, ineunte hyeme dithyrambum illo ſilere juſſo excitant, ac per tres menſes Bacchum loco Apollinis invocant, tempus exuſtionis ad tempus inſtaurati mundi ut unum ad tria eſſe cenſentes.

X. Verum hæc prolixius quam par erat ſunt commemorata. Id quidem manifeſtum eſt, huic rei theologos quinarium accommodaſſe: qui nunc ipſe ſeipſum gignit, ut ignis, nunc denarium conſtituit, nimirum mundum. Quid? Muſicam, quæ deo illi gratiſſima eſt, cenſebimus quinario carere? Harmonica certe maxime vocum in concentibus (ſymphonias vocant) occupata eſt tractandis. At quinque non plures, neque pauciores, eſſe ſymphonias, ratio convincet, et refellet eum qui ſine ratione iſta ſenſu in fidibus aut fiſtularum foraminibus velit examinare. Omnes enim proportione nume-

ἀριθμῶν λαμβάνουσιν, καὶ λόγος ἐστὶ τῆς μὲν διὰ τεττάρων ἐπίτριτος· τῆς δὲ διὰ πέντε ἡμιόλιος· διπλάσιος δὲ τῆς διὰ πασῶν· τῆς δὲ διὰ πασῶν καὶ διὰ πέντε τριπλάσιος· τῆς δὲ δὶς διὰ πασῶν τετραπλάσιος· ἣν
E δὲ ταύταις ἐπεισάγουσιν οἱ ἁρμονικοὶ διὰ πασῶν καὶ διὰ τεσσάρων ὀνομάζοντες, ἔξω μέτρου βαίνουσαν, οὐκ ἄξιόν ἐστι δέχεσθαι, τῆς ἀκοῆς τῷ ἀλόγῳ παρὰ τὸν λόγον, ὥσπερ νόμον, χαριζομένους. Ἵνα τοίνυν ἀφῶ πέντε τετραχόρδων θέσεις, καὶ πέντε τοὺς πρώτους εἴτε τόνους, ἢ τρόπους, εἴτε ἁρμονίας χρὴ καλεῖν, ὡς ἐπιτάσει καὶ ὑφέσει τρεπομένων κατὰ τὸ μᾶλλον καὶ ἧττον, αἱ λοιπαὶ βαρύτητές εἰσι καὶ ὀξύτητες· ἆρ᾽ οὐχὶ πολλῶν, μᾶλλον δὲ ἀπείρων διαστημάτων ὄντων, τὰ μελῳδούμενα πέντε μόνα εἰσί; δίεσις καὶ ἡμιτόνιον, καὶ τόνος, καὶ τριημιτόνιον, καὶ δί-
F τονον, ἄλλο δὲ οὐδέν, οὔτε μικρότερον, οὔτε μεῖζον ἐν φωνῇ χωρίον ὀξύτητι καὶ βαρύτητι περατούμενον μελῳδητόν ἐστι.

D. 8. ἀριθμῶν] B. Xyl. Vulgo ἀριθμῷ.
E. 6. ὡς ἐπιτάσει] Lege ὧν ἐπιτάσει.

rorum oriuntur: quæ eſt diateſſaron ſymphoniæ ſeſquitertia, diapente ſeſquipla, diapaſon dupla, diapaſon cum diapente tripla, diſdiapaſon quadrupla: quam enim his addunt harmonici diapaſon cum diateſſaron, ea recipienda non eſt, neque auribus eſt aliquid contra rationem, tamquam legem, gratificandum. Porro ut quinque diſpoſitiones tetrachordorum omittam, ut taceam de quinque primis tonis ſive modis, ſive harmoniis, quarum gradu ſive intenſarum ſive remiſſarum, reliquæ gravitates non ſunt niſi aut acumina: non cum multa, adeoque innumera ſint intervalla, quinque tantum in cantilenis uſurpantur? dieſis, inquam, ſemitonium, tonus, triſemitonium, ditonus? nullum aliud neque minus, neque majus in vocibus intervallum gravitate et acumine definitum in cantum venit?

ια'. Πολλὰ δὲ ἄλλα τοιαῦτα, ἔφην ἐγὼ, παρελθὼν,
τὸν Πλάτωνα προσάξομαι λέγοντα κόσμον ἕνα, ὡς εἴ-
περ εἰσὶ παρὰ τοῦτον ἕτεροι καὶ μὴ μόνος οὗτος εἷς,
πέντε τοὺς πάντας ὄντας καὶ μὴ πλείονας· οὐ μὴν ἀλλὰ
κἂν εἷς οὗτος ᾖ μονογενὴς, ὡς οἴεται καὶ Ἀριστοτέλης,
τρόπον τινὰ καὶ τοῦτον ἐκ πέντε συγκείμενον κόσμων καὶ
συνηρμοσμένον εἶναι· ὧν ὁ μὲν ἐστὶ γῆς, ὁ δὲ ὕδατος, τρί- 390
τος δὲ πυρὸς, καὶ τέταρτος ἀέρος· τὸ δὲ πέμπτον, οὐ-
ρανὸν, οἱ δὲ φῶς, οἱ δ' αἰθέρα καλοῦσιν, οἱ δ' αὐτὸ τοῦ-
το, πέμπτην οὐσίαν, ᾗ τὸ κύκλῳ περιφέρεσθαι μόνῃ τῶν
σωμάτων, κατὰ φύσιν ἐστὶν, οὐκ ἐξ ἀνάγκης οὔτ' ἄλλως
συμβεβηκότος. Διὸ δὴ καὶ τὰ πέντε κάλλιστα καὶ τε-
λεώτατα σχήματα τῶν ἐν τῇ φύσει κατανοήσας, πυρα-
μίδα, καὶ κύβον, καὶ ὀκτάεδρον, καὶ εἰκοσάεδρον, καὶ δωδεκάε-
δρον, ἕκαστον οἰκείως ἑκάστῳ προσένειμεν.

F. 4. παρελθὼν] B. D. Xyl. Mez. Vulgo προελθών.
F. 6. οὗτος εἷς] Correxi obſecutus ſententiæ. Vulgo οὗτος, εἷς.
F. 9. κόσμων] B. D. Xyl. Vulgo κόσμον.
A. 1. τρίτος δὲ πυρὸς, καὶ τέταρτος ἀέρος·] Forte τρίτος δὲ ἀέρος, καὶ τέταρτος πυρός. Mez. Proxime, forte, τὸν δὲ πέμπτον, οἱ μὲν οὐρανὸν—. Mox lege συμβεβηκὸς Mez.

XI. Multa id genus alia ego præteriens, Platonem producam, qui aut unum mundum eſſe affirmavit, aut ſi præter eum alii ſint, omnino quinque numero eſſe mundos, non plures: et vero ſi unicus mundus hic ſit, quod et Ariſtoteles ſenſit, tamen eum quodammodo ex quinque compoſitum eſſe et concinnatum mundis: nimirum mundo terræ, aquæ, aeris, ignis, et quinto cœli, quem alii lucem, alii ætherem, alii hoc ipſo nomine quintam ſubſtantiam nominant: cui ſoli omnium corporum non neceſſitate, non accidentis ratione, ſed a natura datum eſt, ut circulo rotetur. Ideoque primas etiam et perfectiſſimas earum quæ in natura ſunt figuras Plato animadvertens, pyramidem, cubum, octaedrum, icoſaedrum, et dodecaedrum, ſingulas ſingulis accommodavit mundis.

ιβʹ. Εἰσὶ δ' οἳ καὶ τὰς τῶν αἰσθήσεων δυνάμεις ἰσα-
B ρίθμους οὔσας τοῖς πρώτοις ἐκείνοις συνοικειοῦσι, τὴν μὲν
ἁφὴν ὁρῶντες ἀντίτυπον οὖσαν καὶ γεώδη, τὴν δὲ γεῦσιν
ὑγρότητι τῶν γευστῶν τὰς ποιότητας προσιεμένην· ἀὴρ
δὲ πληγεὶς, ἐν ἀκοῇ γίνεται φωνὴ καὶ ψόφος· δυεῖν δὲ
τῶν λοιπῶν, ὀσμὴ μὲν ἣν ἡ ὄσφρησις εἴληχεν, ἀναθυμί-
ασις οὖσα καὶ γεννωμένη θερμότητι, πυρώδης ἐστίν· αἰθέρι
δὲ καὶ φωτὶ διὰ συγγένειαν διαλαμπούσης τῆς ὄψεως
γίνεται κρᾶσις ἐξ ἀμφοῖν ὁμοιοπαθὴς καὶ σύμπληξις.
Ἄλλην δ' οὔτε τὸ ζῶον αἴσθησιν, οὔθ' ὁ κόσμος ἔχει φύ-
σιν ἁπλῆν καὶ ἄμικτον· ἀλλὰ θαυμαστή τις, ὡς ἔοικε,
C διανομὴ γέγονε τῶν πέντε πρὸς τὰ πέντε καὶ σύλληξις.
ιγʹ. Ἅμα δέ πως ἐπιστήσας καὶ διαλιπὼν, Οἷον, εἶπον,
ὦ Εὔστροφε, πεπόνθαμεν, ὀλίγου παρελθόντες τὸν Ὅμηρον,
ὡς οὐχὶ πρῶτον εἰς πέντε νείμαντα μερίδας τὸν κόσμον,

B. 8. σύμπληξις] A. B. D. Ven. Ald. Baſ. Itaque retinui. Ven. a ſecunda manu σύμπηξις, quod forte melius. Vera lectio videtur eſſe σύμπλεξις. S. L. συμπίλησις; unde Steph. συμπίλησις recepit.

XII. Neque deſunt qui ſenſuum facultates numero itidem æquales primis illis applicent corporibus: videntes Tactum eſſe terreſtre quippiam et reſiſtens, Guſtatum ob humiditatem ſapidorum qualitates percipere: Aer porro ictus, vox fit et ſonus. De reliquis duobus odor, quem Olfactus arripit igneæ eſt naturæ, cum ſit exhalatio a calore elicita: Viſus fulgore æther et lux res cognatæ contemperantur, ſenſumque concordi motu percellunt. Alium neque ſenſum animal, neque mundus ſimplicem et mixtionis vacuam habet naturam: ſed mirabilis quædam, ut apparet, diſtributio eſt facta, quinque ad quinque ita aptatis, ut cuique ſuus quaſi collega deſtinaretur.

XIII. Hic ego inter dicendum paululum ſubſiſtens, intercapedine aliqua facta, En, inquam, Euſtrophe, quid nobis uſu venerit? parum abfuit quin Homerum præteriremus: quaſi vero non ille primus mundum in quinque

ὃς τὰς μὲν ἐν μέσῳ τρεῖς ἀποδέδωκε τοῖς τρισὶ θεοῖς, δύο δὲ τὰς ἄκρας ὄλυμπον καὶ γῆν, ὧν ἡ μὲν ἐπὶ τὸ κάτω πέρας, ἡ δὲ ἐπὶ τὸ ἄνω, κοινὰς καὶ ἀνεμήτους ἀφῆκεν. Ἀλλ' ἀνοιστέος ὁ λόγος, ὡς Εὐριπίδης φησίν· οἱ γὰρ τὴν τετράδα σεμνύναντες, οὐ φαύλως διδάσκουσιν ὅτι τῷ ταύτης λόγῳ πᾶν σῶμα γένεσιν ἔσχηκεν. Ἐπεὶ γὰρ ἐν μήκει καὶ πλάτει βάθος λαβόντι D πᾶν τὸ στερεόν ἐστι, καὶ μήκους μὲν προϋφίσταται στιγμὴ κατὰ μονάδα ταττομένη· μῆκος δὲ ἀπλατὲς ἡ γραμμὴ καλεῖται, καὶ μῆκός ἐστιν· ἡ δ' ἐπὶ πλάτος γραμμῆς κίνησις καὶ ἐπιφανείας γένεσιν ἐν τριάδι παρέσχε· βάθους δὲ τούτοις προσγενομένου διὰ τεττάρων εἰς στερεὸν ἡ αὔξησις προβαίνει· παντὶ δῆλον ὅτι μέχρι δεῦρο τὴν φύσιν ἡ τετρὰς προαγαγοῦσα μέχρι τοῦ σῶμα τελειῶσαι, καὶ παρασχεῖν διττὸν ὄγκον καὶ ἀντίτυπον, εἶτ' ἀπολέλοιπεν

C. 9. σεμνήναντες] Forte σεμνύνοντες.
D. 4. καὶ μῆκος] Forte καὶ δυάς. Mox τούτοις Ven. Mez. Vulgo τούτου. Tum μέχρι D. Vulgo καὶ μέχρι.
D. 9. διττὸν] ἁπτὸν Reiſk.

diviſerit partes: quarum tres in medio ſitas tribus adſignavit diis, duas extremas olympum et terram, quarum hæc imorum, illa ſummorum eſt terminus, communes et non diſtributas relinquens. Sed, ut eſt apud Euripidem, referenda eſt ad id unde exiit oratio. Qui quaternarium magnifice prædicant, non inepte docent ejus ratione omni corpori ortum ſuum contingere. Cum enim omnis ſoliditas intelligatur eſſe in longitudine et latitudine craſſitiem nacta: et ante longitudinem exſiſtat punctum unitatis rationem habens: linea autem ſit longitudo latitudine carens: lineæ autem in latitudinem motus, et ſuperficiei procreatio ternario conſtet: hujus profunditate accedente, ſoliditas quaternario conficiatur: nemo non videt, quaternarium, poſtquam naturam uſque ad corporis perfectionem produxit, tactuique renitentem molem exhibuit, deſti-

E ἐνδεᾶ τοῦ μεγίστου. Τὸ γὰρ ἄψυχον, ὡς ἁπλῶς εἰπεῖν, ὀρφανὸν καὶ ἀτελὲς καὶ πρὸς οὐδ' ὁτιοῦν, μὴ χρωμένης ψυχῆς, ἐπιτήδειον· ἡ δὲ τὴν ψυχὴν ἐμποιοῦσα κίνησις ἢ διάθεσις μεταβολὴ διὰ πέντε γινομένη, τῇ φύσει τὸ τέλειον ἀποδίδωσι, καὶ τοσούτῳ κυριώτερον ἔχει τῆς τετράδος λόγον, ὅσῳ τιμῇ διαφέρει τοῦ ἀψύχου τὸ ζῶον. Ἔτι δ' ἰσχύσασα μᾶλλον ἡ τῶν πέντε συμμετρία καὶ δύναμις οὐκ εἴασεν εἰς ἄπειρα γένη προελθεῖν τὸ ἔμψυχον, ἀλλὰ πέντε τῶν ζώντων ἁπάντων ἰδέας παρέσχεν. Εἰσὶ γὰρ θεοὶ δή που καὶ δαίμονες, καὶ ἥρωες, εἶτα

F μετὰ τούτους τὸ τέταρτον ἄνθρωποι γένος· ἔσχατον δὲ καὶ πέμπτον τὸ ἄλογον καὶ θηριῶδες. Ἔτι δ' εἰ τὴν ψυχὴν αὐτὴν κατὰ φύσιν διαιρεῖς, πρῶτον αὐτῆς καὶ ἀμαυρότατόν ἐστι τὸ θρεπτικόν, δεύτερον δὲ τὸ αἰσθητικόν, εἶτα τὸ ἐπιθυμητικόν, εἶτα ἐπὶ τούτῳ τὸ θυμοειδές. εἰς δὲ τὴν τοῦ λογιστικοῦ δύναμιν, ἐξικομένη καὶ τε-

E. 1. ἄψυχον] A. B. D. Ven. Baſ. S. L. Vulgo ἔμψυχον. Mox ἔμψυχον A. B. Ven. Vulgo ἄψυχον.
F. 3. διαιρεῖς] διαιροῖς D.

tuere eam potiſſimæ rei indigam. Nam quod animæ eſt expers, id, ut verbo dicam, orbum eſt et imperfectum, neque ullam ad rem anima non movente commodum. Motus autem ſive affectio animam introducens, mutatione per quinque fit, naturæque perfectionem conciliat: ut quinarii ratio tanto ſit quam quaternionis præſtantior, quanto major eſt animalis quam animæ carentis corporis dignitas. Præterea concinnitas et facultas quinarii plus virium nacta, non ſivit in infinitum progredi animatorum naturam, ſed animalium quinque definivit genera: deos ſcilicet, genios, heroes, homines, bruta. Jam ſi ipſam animam ita ut natura ejus fert partiare, prima ejus et obſcuriſſima vis eſt vegetandi, proxima ſentiendi, poſt hanc appetendi, deinde iraſcendi: in ratiocinandi facultate quinta, tan-

λεώσασα τὴν φύσιν, ὥσπερ ἐν ἄκρῳ τῷ πέμπτῳ καταπέπαυται.

ιδ'. Τοσαύτας δὲ καὶ τηλικαύτας ἔχοντος τοῦ ἀριθμοῦ δυνάμεις, καλὴ καὶ ἡ γένεσίς ἐστιν, οὐχ ἣν ἤδη διήλθομεν, ἐκ δυάδος οὖσαν καὶ τριάδος, ἀλλ' ἣν ἀρχὴ τῷ πρώτῳ συνελθοῦσα τετραγώνῳ παρέσχεν. Ἀρχὴ 391
μὲν γὰρ ἀριθμοῦ παντὸς ἡ μονάς, τετράγωνος δὲ πρῶτος ἡ τετράς· ἐκ δὲ τούτων, ὥσπερ ἰδέας καὶ ὕλης πέρας ἐχούσης, ἡ πεμπάς. Εἰ δὲ δὴ καὶ τὴν μονάδα τετράγωνον ὀρθῶς ἔνιοι τίθενται, δύναμιν οὖσαν ἑαυτῆς καὶ περαίνουσαν εἰς ἑαυτήν, ἐκ δυεῖν πεφυκυῖα τῶν πρώτων τετραγώνων ἡ πεμπάς, οὐκ ἀπολέλοιπεν ὑπερβολὴν εὐγενείας.

ιε'. Τὸ δὲ μέγιστον, ἔφην, δέδια μὴ ῥηθὲν πιέζῃ τὸν Πλάτωνα ἡμῶν, ὡς ἐκεῖνος ἔλεγε πιέζεσθαι τῷ τῆς σελήνης ὀνόματι τὸν Ἀναξαγόραν, παμπάλαιον οὖσαν

F. 9. ἔχοντος] B. Ven. Vulgo ἔχοντες.
F. 11. οὖσαν] Ven. Vulgo οὐσία.
A. 3. πέρας] B. D. T. V. B. S. Anon. Mez. At cæteri πέρα. Mox pro ἡμῶν, lege ὑμῖν. Mez. Tum pro αὐτῆς, forte reponendum αὐτοῦ ex D.

quam in extremo, perfectionem adſecuta ſubſtitit natura.

XIV. Tot tantiſque prædìti quinarii facultatibus, ortus quoque elegans eſt: non is quem ſupra commemoravimus, ubi e binario et ternario conflari eum docuimus: ſed quod naſcitur principio cum quadrato primo coeunte. Omnis enim numeri primordium eſt unitas: quaternarius quadratorum primus. Ex his, tanquam forma et materia finita, quinarius componitur. Quod ſi recte nonnulli unitatem quoque quadratum cenſent, quæ ex ſeſe ipſa propagatur: quinarius coitu duorum primorum quadratorum natus, non potuit nobiliori ab origine exſiſtere.

XV. Quod autem maximum eſt, id vereor, ne ſi dicam, ita premat Platonem, ſicut ipſe Lunæ cauſa preſſum fuiſſe Anaxagoram perhibet, quod admodum vetuſ-

τινα τὴν περὶ τοῦ φωτισμοῦ δόξαν αὐτῆς ἰδίαν ποιού-
B μενον· ἢ γὰρ οὐ ταῦτα εἴρηκεν ἐν Κρατύλῳ; Πάνυ μὲν οὖν, ὁ Εὔστροφος ἔφη, τί δ' ὅμοιον πέφυκεν οὐ συνορῶ. Καὶ μὴν οἶσθα δήπουθεν ὅτι πέντε μὲν ἐν Σοφιστῇ τὰς κυριωτάτας ἀποδείκνυσιν ἀρχὰς, τὸ Ὂν, τὸ Ταυτὸν, τὸ Ἕτερον, τέταρτον δὲ καὶ πέμπτον ἐπὶ τούτοις Κίνησιν καὶ Στάσιν. Ἄλλῳ δ' αὖ τρόπῳ διαιρέσεως ἐν Φιλήβῳ χρώμενος, Ἓν μὲν εἶναί φησι τὸ Ἄπειρον, Ἕτερον δὲ, Πέρας· τούτων δὲ μιγνυμένων πᾶσαν συνίστασθαι γένεσιν· αἰτίαν δ' ὑφ' ἧς μίγνυται, τέταρτον γένος τίθεται· καὶ πέμπτον ἡμῖν ὑπονοεῖν ἀπολέλοιπεν, ᾧ τὰ μιχ-
C θέντα πάλιν ἴσχει διάκρισιν καὶ διάστασιν. Τεκμαίρομαι δὲ ταῦτ' ἐκείνων ὥσπερ εἰκόνας λέγεσθαι, τοῦ μὲν Ὄντος τὸ Γινόμενον, Κινήσεως δὲ τὸ Ἄπειρον, τὸ δὲ Πέρας τῆς Στάσεως, Ταυτοῦ δὲ τὴν μιγνύουσαν ἀρχὴν, Θατέρου δὲ τὴν διακρίνουσαν. Εἰ δ' ἕτερα ταῦτ' ἐστὶ, κἀκείνως ἂν εἴη καὶ οὕτως ἐν πέντε γενέσεσι καὶ δια-

C. 6. γενέσεσι] γένεσι T. V. B. S. L. Anon. ut infra item. Mox locus corruptus, forte ita corrigendus: διαφοραῖς· αἷς πειθόμενος, φασὶ, δὲ τις ταῦτα πρότερος συνιδὼν Πλάτωνος δοκεῖ τὸ ε' καθιερῶσαι τῷ Θεῷ. In vulgata lectione conſentiunt libri, niſi quod πειθόμενος eſt in D. et δύο ει' in B.

tam de ejus illuminatione rationem pro ſua uſurpaſſet. Nonne enim in Cratylo ita ſcriptum reliquit Plato? Omnino, inquit Euſtrophus: ſed quid ſimile eveniat, non cerno. Atqui, inquam, noſti eundem in Sophiſta quinque potiſſima demonſtrare principia, Ens, Idem, Diverſum, Motum, Statum. Et in Philebo alia inſtituta diviſione, Unum ait eſſe Infinitum, alterum Extremum, his mixtis omnem exſiſtere Ortum: quartum ponit Cauſam ejus mixtionis: et quintum nobis cogitandum reliquit, Cauſam ſecretionis et diſſipationis mixtorum. Exiſtimo autem hæc illorum quaſi imagines proponi, Entis id quod ſit, Motionis infinitum, Status extremum, Ejuſdem miſcendi, Diverſi ſecernendi principium. Quod ſi diverſa ſunt, et illo et iſto modo quinque erunt principiorum genera ac

φοραῖς. Πυθόμενος, φησὶ, δή τις ταῦτα πρότερος συνιδὼν Πλάτωνος, δύο Ε καθιέρωσε τῷ θεῷ, δήλωμα καὶ σύμβολον τοῦ ἀριθμοῦ τῶν πάντων. Ἀλλὰ μὴν καὶ τἀγαθὸν ἐν πέντε γενέσεσι φανταζόμενον κατανοήσας, ὧν πρῶτόν ἐστι τὸ μέτριον, δεύτερον δὲ τὸ σύμμετρον, καὶ τρίτον ὁ νοῦς, καὶ τέταρτον αἱ περὶ ψυχὴν ἐπιστῆμαι καὶ D
τέχναι καὶ δόξαι ἀληθεῖς, πέμπτον εἴ τις ἡδονὴ καθαρὰ καὶ πρὸς τὸ λυποῦν ἄκρατος, ἐνταῦθα λήγει τὸ Ὀρφικὸν ὑπειπὼν,

Ἕκτῃ δ' ἐν γενεᾷ καταπαύσατε θυμὸν ἀοιδῆς.

ιϛʹ. Ἐπὶ τούτοις, ἔφη, εἰρημένοις πρὸς ἡμᾶς, ἐν βραχὺ τοῖς περὶ Νίκανδρον ἀείσω ξυνετοῖσι· τῆς γὰρ ἕκτης τοῦ νέου μηνὸς ὅταν κατάγῃ, εἰς τὴν Πυθίαν εἰς τι πρυτανεῖον, ὁ πρῶτος ὑμῖν γίνεται τῶν τριῶν κλήρων εἰς τὰ πέντε πρὸς ἀλλήλους ἐκείνοις τὰ τρία, οὐδὲ τὰ δύο

D. 4. ὑπειπὼν] Ven. ſecund. manu, ἐπειπών.
D. 6. ἔφη] ἔφην R. nec aliter legendum. Mox ὑμᾶς legendum cum R. Tum lege, ὅταν κατάγητε τὴν Πυθίαν εἰς τὸ Πρυτανεῖον. Porro verba vitioſa ad hanc forte rationem revocanda: κλήρων· εἰ τὰ πέντε πρὸς ἀλλήλους, ἐκεῖνος τὰ τρία, ὁ δὲ τὰ δύο, βάλλονται. Senſum in Verſione reddidi.

differentiæ. Quibus inductus quis, qui eos ante ætatem Platonis cum comperiſſet, EI Apollini eam ob rem conſecravit, notam atque indicium numeri univerſorum. Enimvero bonum quoque perſpiciens in quinque tributum genera, quorum primum eſt Mediocre, ſecundum Proportione menſuræ concinnum, tertium Mens, quartum in animo Scientiæ, artes, veræque opiniones, quintum Voluptates puræ et a dolore ſecretæ: ibi dicit Orphicum illud ſubjiciens:

Ætate in ſexta ſtudium finite canendi.

XVI. His ita dictis inter nos, breviter ex Nicandro aliquid quæram, ac

Cantabo gnaris.

Sexta novi menſis die, cum Pythiam in prytaneum introducitis, prima vobis de tribus ſortibus ducitur quinario, per binarium ſimul et ternarium

βάλλοντες· ἢ γὰρ οὐχ οὕτως ἔχει; Καὶ ὁ Νίκανδρος,
E Οὕτως, εἶπεν· ἡ δ' αἰτία περὶ ἧς ἑτέροις ἄῤῥητός ἐστι. Οὐκοῦν, ἔφην ἐγὼ μειδιάσας, ἄχρι οὗ τἀληθὲς ἡμῖν ὁ θεὸς ἱεροῖς γενομένοις γνῶναι παράσχῃ, προσκείσεται καὶ τοῦτο τοῖς ὑπὲρ τῆς πεντάδος λεγομένοις. Τοιοῦτος μὲν καὶ ὁ τῶν ἀριθμητικῶν καὶ ὁ τῶν μαθηματικῶν ἐγκωμίων τοῦ Ε λόγος, ὡς ἐγὼ μέμνημαι, πέρας ἔσχεν.

ιζ'. Ὁ δὲ Ἀμμώνιος, ἅτε δὴ καὶ αὐτὸς οὐ τὸ φαυλότατον ἐν μαθηματικῇ φιλοσοφίας τιθέμενος, ἥσθη τε τοῖς λεγομένοις καὶ εἶπεν, Οὐκ ἄξιον πρὸς ταῦτα λίαν ἀκριβῶς ἀντιλέγειν τοῖς νέοις, πλὴν ὅτι τῶν ἀριθμῶν
F ἕκαστος οὐκ ὀλίγα βουλομένοις καὶ ὑμῖν ἐπαινεῖν παρέξει· καὶ τί δεῖ περὶ τῶν ἄλλων λέγειν; ἡ γὰρ ἱερὰ τοῦ Ἀπόλλωνος ἑβδομὰς ἀναλώσει τὴν ἡμέραν πρότερον, ἢ λόγῳ τὰς δυνάμεις αὐτῆς ἁπάσας ἐπεξελθεῖν. Εἶτα τῷ κοινῷ νόμῳ πολεμοῦντας ἅμα καὶ τῷ πολλῷ χρόνῳ τοὺς σοφοὺς

E. 8. φιλοσοφίας] B. Ven. R. Vulgo φιλοσοφίᾳ.
F. 1. καὶ ὑμῖν] Forte καὶ ἡμῖν. Aut legendum ex D. ὑμνεῖν καὶ ἐπαινεῖν. Similiter Ven. ἐπαινεῖν καὶ ὑμνεῖν. Mox καθιέρωσαν Mez. pro καθιερώσασιν.

jacto. Nonne ita eſt? Tum Nicander, ita eſt, inquit: ſed cauſam aliis effari nefas eſt. Ergo, aiebam ego, interim dum nobis conſecrandis deus veritatem cognoſcendam præbebit, id quoque adjectum ſit his, quæ de quinario ſunt dicta. Hic fuit, quantum ego memini, finis arithmeticarum et mathematicarum notæ EI laudationum.

XVII. Cæterum Ammonius, qui et ipſe nequaquam contemnendam philoſophiæ partem in mathematicis poneret diſciplinis, delectatus ea diſputatione, dixit, Non quidem convenit hanc adoleſcentum diſputationem nimis ſtudioſe refellere: id tamen diſſimulandum non cenſeo, unumquemvis numerum facile laudare volentibus materiam ſui laudandi præbiturum. Et quid attinet alios commemorare? Ipſe Apollini ſacer ſeptenarius diem ante conſumet, quam dicendo vires ejus univerſæ poſſint explicari. Et audebimus adhuc pronunciare, ſapientes viros bellum commu-

ἀποφανοῦμεν ἄνδρας, εἰ τὴν ἑβδομάδα τῆς προεδρίας παρώσαντες, τῷ θεῷ τὴν πεντάδα καθιερώσουσιν, ὡς μᾶλλόν τι προσήκουσαν. Οὔτε οὖν ἀριθμὸν, οὔτε τάξιν, οὔτε σύνδεσμον, οὔτ' ἄλλο τῶν ἐλλειπῶν μορίων οὐδὲν οἶμαι τὸ γράμμα σημαίνειν· ἀλλ' ἔστιν αὐτοτελὴς τοῦ θεοῦ 392
προσαγόρευσις καὶ προσφώνησις, ἅμα τῷ ῥήματι τὸν φθεγγόμενον εἰς ἔννοιαν καθιστᾶσα τῆς τοῦ θεοῦ δυνάμεως. Ὁ μὲν γὰρ θεὸς ἕκαστον ἡμῶν ἐνταῦθα προσιόντα οἷον ἀσπαζόμενος προσαγορεύει τὸ ΓΝΩΘΙ ΣΑΥΤΟΝ· ὃ τοῦ ΧΑΙΡΕ δὴ οὐθὲν μεῖόν ἐστιν· ἡμεῖς δὲ πάλιν ἀμειβόμενοι τὸν θεὸν, ΕΙ φαμὲν, ὡς ἀληθῆ καὶ ἀψευδῆ καὶ μόνην μόνῳ προσήκουσαν τὴν τοῦ εἶναι προσαγόρευσιν ἀποδιδόντες.

ιη'. Ἡμῖν μὲν γὰρ ὄντως τοῦ εἶναι μέτεστιν οὐδὲν, ἀλλὰ πᾶσα θνητὴ φύσις ἐν μέσῳ γενέσεως καὶ φθορᾶς γενομένη φάσμα παρέχει καὶ δόκησιν ἀμυδρὰν καὶ ἀβέβαιον

F. 8. Οὔτε οὖν uſque ad p. 393. B. τοῦ μὴ ὄντος, totum hunc locum exhibuit Euſebius Præpar. Evang. xi, 11. unde complures bonas lectiones Plutarcho reſtituimus.
A. 5. προσαγορεύει τὸ] τῷ Mez.

ni legi indixiſſe ac vetuſtati temporis, ſeptenario de principe ſede exturbando, quinario autem Apollini tanquam magis congruente dedicando? Ergo neque numerum, neque ordinem, neque copulam, neque aliam deficientem partem exiſtimo litera EI ſignificari: ſed eſt ex ſeſe perfecta compellatio dei, ſimul cum verbo enunciantis animo objiciens vim dei. Deus enim unumquemque noſtrum huc accedentem veluti ſalutans compellat, *Noſce teipſum* inquiens: quod nihilo eſt quam *Salve* deterius. Nos viciſſim reſpondentes deo, *EI* (id eſt *ES*) dicimus, veram, certam, ſolamque ſoli convenientem ei appellationem, qua eſſe dicitur, tribuentes.

XVIII. Revera enim eſſentiæ nos nequaquam ſumus participes: ſed univerſa mortalis natura in medio ortus et interitus verſans, ſpeciem opinionemque obſcuram et inſtabilem ſui præbet. Quod ſi

B αὐτῆς. Ἂν δὲ τὴν διάνοιαν ἐπερείσῃς λαβέσθαι βουλόμενος, ὥσπερ ἡ σφοδρὰ περίδραξις ὕδατος τῷ πιέζειν εἰς ταυτὸ καὶ συνάγειν διαῤῥέον ἀπόλλυσι τὸ περιλαμβανόμενον, οὕτω τῶν παθημάτων μεταβάντων ἑκάστου τὴν ἄγαν ἐνάργειαν ὁ λόγος διώκων ἀποσφάλλεται, τῇ μὲν εἰς τὸ γιγνόμενον αὐτοῦ, τῇ δ' εἰς τὸ φθειρόμενον, οὐδενὸς λαβέσθαι μένοντος, οὐδὲ ὄντος ὄντως δυνάμενος. Ποταμῷ γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ, καθ' Ἡράκλειτον, οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν· ἀλλ' ὀξύτητι καὶ τάχει μεταβολῆς σκίδνησι καὶ πάλιν συνάγει, μᾶλλον δὲ οὐδὲ πάλιν οὐδὲ ὕστερον, ἀλλ' ἅμα συν-
C ίσταται καὶ ἀπολείπει· πρόσεισι καὶ ἄπεισι· ὅθεν οὐδ' εἰς τὸ εἶναι περαίνει τὸ γιγνόμενον αὐτῆς, τῷ μηδέποτε λήγειν, μηδ' ἵστασθαι τὴν γένεσιν, ἀλλ' ἀπὸ σπέρματος ἀεὶ μεταβάλλουσαν, ἔμβρυον ποιεῖν, εἶτα βρέφος, εἶτα παῖδα,

B. 4. παθημάτων μεταβάντων] παθητῶν καὶ μεταβλητῶν Euſ.
B. 11. μᾶλλον δὲ οὐδὲ πάλιν οὐδὲ ὕστερον, ἀλλ' ἅμα συνίσταται καὶ ἀπολείπει] Germanam Plutarchi dictionem recepi ex Euſeb. poſt Xylandrum.
C. 3. ἵστασθαι] Euſeb. unice verum. Vulgo vitioſe ἐντλᾶσθαι.

animum intendas, ut intellectu eam comprehendere poſſis: quemadmodum aquam ſi complectaris vehementius, fit ut comprimendo ea et in ſe conducendo diffluat ac pereat: ſic uniuſcujuſvis perpeſſionibus et mutationibus obnoxiæ rei nimis evidentem perceptionem dum ſectatur ratio, aberrat vel ad ortum ejus, vel ad interitum, nihil arripere quod permaneat, aut ſit re vera, cum poſſit. Heracliti eſt, *non poſſe quenquam bis in eundem fluvium deſcendere.* Subſtantiam quoque caducam bis eodem in ſtatu nemo attinget: ſed celeritas mutationum eam diſſipat mox, ſtatim colligit rurſum. Immo non iterum, non poſtmodo tangere licet, ſed ſimul et exſiſtit et interit, ſimul accedit atque recedit. Hinc eſt ut quod fit, eo uſque non perducatur ut vere dici poſſit eſſe, ortu nimirum nuſquam deſinente, nuſquam inſiſtente. Statim jam inde a ſemine con-

θαι, τοῦτο αὖ πάλιν ἄγαν ἐκδυόμενος ὁ λόγος ἀπόλλυσιν. Ἐκθλίβεται γὰρ εἰς τὸ μέλλον καὶ τὸ παρῳχημένον, ὥσπερ αὐγὴ, βουλομένοις ἰδεῖν, ἐξ ἀνάγκης διϊστάμενον. Εἰ δὲ ταυτὰ τῷ μετροῦντι πέπονθεν ἡ μετρουμένη 392
φύσις, οὐδὲν αὐτῆς μένον οὐδὲ ὂν ἐστιν, ἀλλὰ γινόμενα πάντα καὶ φθειρόμενα κατὰ τὴν πρὸς τὸν χρόνον συννέμησιν. Ὅθεν οὐδ᾽ ὅσιόν ἐστιν οὐδὲν τοῦ ὄντος λέγειν ὡς ἦν, ἢ ἔσται· ταῦτα γὰρ ἐγκλίσεις τινές εἰσι καὶ μεταβάσεις καὶ παραλλάξεις τοῦ μένειν ἐν τῷ εἶναι μὴ πεφυκότος.

κ'. Ἀλλ' ΕΣΤΙΝ ὁ θεὸς, χρὴ φάναι, καὶ ἐστι κατ' οὐδένα χρόνον, ἀλλὰ κατὰ τὸν αἰῶνα τὸν ἀκίνητον, καὶ ἄχρονον, καὶ ἀνέγκλιτον, καὶ οὗ πρότερον οὐδὲν ἐστιν, οὐδ' ὕστερον, οὐδὲ μέλλον, οὐδὲ παρῳχημένον, οὐδὲ πρεσβύτερον, οὐδὲ νεώτερον· ἀλλ' εἷς ὢν ἑνὶ τῷ νῦν τὸ

F. 6. ἄγαν ἐκδυόμενος] Forte legendum ἅμα καὶ λεγόμενον, *ſimulac dictum eſt*. Euſeb. ἄγαν ἐκλυόμενος, rem non reſtituit.
F. 8. αὐγὴ, βουλομένοις] Sic Euſeb. et vertendo expreſſi. Vulgo ἀκμῇ βουλόμενος.
A. 1. Εἰ δὲ—ἡ μετρουμένη] Sic Euſeb. Vulgo, ὁ δὲ—ἡ μέτρον μὲν ἡ: monſtroſe.
A. 3. κατὰ τὴν πρὸς τὸν χρόνον συννέμησιν] Euſeb. Vulgo vitioſe κατ' αὐτὴν πρὸς τὸν χρόνον συνεμίγη.
A. 7. χρὴ] Bene habet: Xyl. ex Euſebio vertit εἰ χρή.
A. 10. οὐδὲ μέλλον, οὐδὲ παρῳχημένον, οὐδὲ πρεσβύτερον] Vulgo deſunt; recepi ex Euſeb.

cimus, id rurſum elangueſcens ratio perdit. Eliditur enim ſpectare volentibus diſſipaturque ut repentina lux, in futurum et præteritum. Quod ſi idem accidit naturæ quam tempore metimur, quod menſuræ ejus: ipſa quoque nihil eſt permanens, nihil ens, ſed omnia ſunt fientia et intereuntia, juxta eorum cum tempore comparationem. Itaque de eo quod eſt, non licet dicere fuiſſe id aut fore: quæ verba inclinationem ſignificant atque diſceſſum et mutationem, quæ locum in eo quod eſt non habet.

XX. Deus autem, ita dicendum, Est, et eſt nulla ratione temporis, ſed æternitatis immobilis, tempore et inclinatione carentis: in qua nihil prius eſt, nihil poſterius, nihil futurum, nihil præteritum, nihil antiquius, nihil recentius: ſed una cum ſit, unico *Nunc* ſempiternam im-

B αἰεὶ πεπλήρωκε· καὶ μόνον ἐστὶ τὸ κατὰ τοῦτον ὄντως ὄν, οὐ γεγονὸς, οὐδ' ἐσόμενον, οὐδ' ἀρξάμενον, οὐδὲ παυσόμενον. Οὕτως οὖν αὐτὸ δεῖ σεβομένους ἀσπάζεσθαι καὶ προσαγορεύειν· ἢ καὶ νὴ Δία, ὡς ἔνιοι τῶν παλαιῶν, ΕΙ ἝΝ. Οὐ γὰρ πολλὰ τὸ θεῖόν ἐστιν, ὡς ἡμῶν ἕκαστος ἐκ μυρίων διαφορῶν ἐν πάθεσι γινομένων, ἄθροισμα παντοδαπὸν καὶ πανηγυρικῶς μεμιγμένον. Ἀλλ' ἓν εἶναι δεῖ τὸ ὄν, ὥσπερ ὂν τὸ ἕν· ἡ δ' ἑτερότης, διαφορᾷ τοῦ ὄντος, εἰς γένεσιν ἐξίσταται τοῦ μὴ ὄντος. Ὅθεν εὖ καὶ τὸ πρῶτον ἔχει τῷ θεῷ τῶν ὀνομάτων, καὶ
C τὸ δεύτερον, καὶ τὸ τρίτον. Ἀπόλλων μὲν γὰρ, οἷον ἀρνούμενος τὰ πολλὰ καὶ τὸ πλῆθος ἀποφάσκων ἐστίν· Ἴητος δὲ, ὡς εἷς καὶ μόνος· Φοῖβον δὲ δή που τὸ καθαρὸν καὶ ἁγνὸν οἱ παλαιοὶ πᾶν ὠνόμαζον, ὡς ἔτι Θεσσαλοὶ τοὺς ἱερέας ἐν ταῖς ἀποφράσιν ἡμέραις αὐτοὺς ἐφ' ἑαυτῶν ἔξω

B. 3. οὖν] Receptum ex Euſeb. Vulgo deeſt. Mox αὐτὸν malim. Tum προσαγορεύειν, ex Euſeb. Vulgo προσεθίζειν.
C. 5. ἔξω διατρίβοντας] Sic A. D. B. Xyl. Alii cum Steph. vitioſe ἐξώλη τρίβοντας.

plet durationem: et hujus ratione quod eſſe dicitur, vere eſt, non futurum, non præteritum, neque orſum, neque deſiturum. Sic itaque Deus nobis eſt venerationis ſtudio ſalutandus atque compellandus. Niſi mavis veterum quorundam formulam, Ei hen, *Unum es*. Non enim multa eſt numen, ſed unum: non ut unuſquiſque noſtrum congeries ex infinitis diverſiſſimiſque affectionibus varie commixta, quo modo ex omnis generis hominibus ſolennes conventus conflantur. Sed unum oportet eſſe id quod eſt: et eſſe, id quod unum dicitur: nam diverſitas cum differentia entis ponitur, jam ad procreandum id quod non ſit ens vergit. Proinde deo huic recte et primum, et ſecundum, et tertium nomen eſt inditum. Apollo enim dicitur, quod unicus ſit, voce multitudinis negationem arguente. Ietus autem, unicus et ſolus. Phœbus, quia hoc vocabulo antiqui omnia caſta et pura deſignaverunt: ſicut (ni fallor) Theſſali hodieque ſacerdotes nefaſtis diebus privatim et ex-

μοι δοκεῖ μάλιστα πρὸς τοῦτον τὸν λόγον ἀντιταττόμενον τὸ ῥῆμα καὶ μαρτυρόμενον, ΕΙ φάναι πρὸς τὸν θεόν, ὡς οὐδέποτε γενομένης περὶ αὐτὸν ἐκστάσεως καὶ μεταβολῆς, ἀλλ' ἑτέρῳ τινὶ θεῷ μᾶλλον δὲ δαίμονι τεταγμένῳ 394
περὶ τὴν ἐν φθορᾷ καὶ γενέσει φύσιν τοῦτο ποιεῖν καὶ πάσχειν προσῆκεν· ὡς δῆλόν ἐστιν ἀπὸ τῶν ὀνομάτων εὐθύς, οἷον ἐναντίων ὄντων καὶ ἀντιφώνων. Λέγεται γὰρ ὁ μὲν Ἀπόλλων, ὁ δὲ Πλούτων· καὶ ὁ μὲν Δήλιος, ὁ δὲ Ἀϊδωνεύς· καὶ ὁ μὲν Φοῖβος, ὁ δὲ Σκότιος· καὶ παρ' ᾧ μὲν αἱ Μοῦσαι καὶ ἡ Μνημοσύνη, παρ' ᾧ δὲ ἡ Λήθη καὶ ἡ Σιωπή· καὶ ὁ μὲν Θεώριος καὶ Φαναῖος, ὁ δὲ Νυκτὸς ἀϊδνᾶς ἀεργηλοῖό τε Ὕπνου κοίρανος· καὶ ὁ μὲν

—Βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων· B

πρὸς ὃν δὲ Πίνδαρος εἴρηκεν, οὐκ ἀηδῶς,

Κατεκρίθη, θνατοῖς ἀγανώτατος ἔμμεν.

A. 3. προσῆκεν] Leg. προσῆκον.
B. 3. θνατοῖς ἀγανώτατος] Reſtitui e duobus aliis Plutarchi locis, ubi idem exſtat dictum. Defect. Orac. p. 413. C. et Adverſ. Epicur. p. 1102, E. ut jam Valckenarius monuerat, ad Eurip. Phœn. p. 12. et Hippol. p. 275. Vulgo δῖοι αὐτοῖς ἀγανώτατος.

dem maxime oppoſitum iſti opinioni videtur Dei nomen, ut EI appellemus eum, teſtantes nunquam illum ſuo de ſtatu exire, nulla mutatione affici. Hoc enim magis conveniebat tribuere alii cuidam deo, aut potius genio præfecto naturæ quæ ortibus et interitibus variatur: quod ſtatim ex nominibus liquet, contrariis atque ſignificantibus rem adverſam. Nam *Apollo* noſter, alter *Pluto* a multitudine: ille *Delius*, hic *Aidoneus* ab obſcuritate et cæcitate nominatur: ille *Phœbus*, hic *Scotius*, quod eſt tenebricoſus: apud illum Muſæ verſantur, et Memoria, id eſt Mnemoſyne: apud hunc Lethe (ſeu oblivio) et Silentium: ille a contemplando *Theorius* et *Phanæus* uſurpatur: hic

Obſcuræ noctis, ſegnis princepſque ſoporis.

atque hic quidem *mortalibus omnium eſt Deorum inviſiſſimus:* in illum non ineleganter Pindarus dixit,

Cenſeri eum erga homines mitiſſimum eſſe.

Εἰκότως οὖν ὁ Εὐριπίδης εἶπεν,

Λοιβαὶ νεκύων φθιμένων
Ἀοιδαί, ἃς ὁ χρυσοκόμας
Ἀπόλλων οὐκ ἐνδέχεται.

Καὶ πρότερος ἐπὶ τούτου ὁ Στησίχορος,

Μάλα τοι μάλιστα παιγμοσύνας φιλεῖ μολπάς τε Ἀπόλλων,
κήδεά τε στοναχάς τε Ἀΐδας ἔλαχε.

Σοφοκλῆς δὲ καὶ τῶν ὀργάνων ἑκατέρῳ προσνέμων ἑκάτερον δῆλός ἐστι διὰ τούτων,

Οὐ νάβλα κωκυτοῖσιν, οὐ λύρα φίλα.

Καὶ γὰρ ὁ αὐλὸς ὀψὲ καὶ πρώην ἐτόλμησε φωνὴν
C ἐφ' ἱμερτοῖσιν ἀφιέναι, τὸν δὲ πρῶτον χρόνον εἵλκετο πρὸς τὰ πένθη, καὶ τὴν περὶ ταῦτα αὐτουργίαν οὐ μάλα ἔντιμον οὐδὲ φαιδρὰν εἶχεν, εἶτ' ἐμίχθη παντάπασι· μάλιστα δὲ τὰ θεῖα πρὸς τὰ δαιμόνια συγχέοντες, εἰς ταραχὴν αὐτοὺς κατέστησαν. Ἀλλά γε τῷ Ε τὸ ΓΝΩΘΙ ΣΕΑΥΤΟΝ ἔοικέ πως ἀντικεῖσθαι, καὶ τρόπον τινὰ

B. 13. νάβλα] Ut exhibet Brunck. ad Sophocl. t. ii. p. 43 : re ipſa jubente.
C. 1. εἵλκετο] A. B. D. P. Vulgo εἷλκε.
C. 2. αὐτουργίαν] Forte λειτουργίαν cum R.
C. 5. κατέστησαν] Sic A. B. D. Ven. P. Vulgo ἔστησαν.

Recte itaque Euripides dixit,

Libationes, atque cantus
Vita ſolutis : auricomus quas
Non admittit Apollo.

Priorque eo Steſichorus:

Cantus atque jocos præ reliquis amat
Apollo rebus : ſed gemitus graves
Luctuſque Diti ſorte cedunt.

Sophocles ſua etiam utrique inſtrumenta perſpicue denotat his verbis :

Non nabla ſunt amica, nec lyra luctibus.

Nam idem ille nuper admodum auſus eſt vocem * emittere: cum priore tempore ad luctum vocaret homines, et non valde honoratam aut ſplendidam obiret iſtarum rerum actionem: poſtea omnino ſunt commixta, magnæque perturbationes hominibus inde obortæ, quod res deorum cum rebus geniorum permiſcuerunt. At enim notæ EI dictum *Noſce teipſum* videtur quodam-

πάλιν συνᾴδειν· τὸ μὲν γὰρ ἐκπλήξει καὶ σεβασμῷ πρὸς τὸν θεὸν, ὡς ὄντα διαπαντὸς, ἀναπεφώνηται· τὸ δ' ὑπόμνησίς ἐστι τῷ θνητῷ τῆς περὶ αὐτὸ φύσεως καὶ ἀσθενείας.

modo repugnare, alio conſonare. Hoc enim pronunciatum eſt, ut nos percellat, et ad venerationem numinis, utpote quod ſit ſemper, excitet: illa nos mortales eſſe docet, naturæque et imbecillitatis noſtræ admonet.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΟΥ ΜΗ ΧΡΑΝ ΕΜΜΕΤΡΑ ΝΥΝ ΤΗΝ ΠΥΘΙΑΝ.

ΠΡΟΣΩΠΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ.

ΠΡΩΤΑ,

ΒΑΣΙΛΟΚΛΗΣ. ΦΙΛΙΝΟΣ.

ΔΕΥΤΕΡΑ,

ΦΙΛΙΝΟΣ. ΣΕΡΑΠΙΩΝ.
ΔΙΟΓΕΝΙΑΝΟΣ. ΒΟΗΘΟΣ.
ΘΕΩΝ. ΕΞΗΓΗΤΑΙ.

DIALOGI PERSONÆ.

PRIMÆ,

BASILOCLES. PHILINUS.

SECUNDÆ,

PHILINUS. SERAPION.
DIOGENIANUS. BOETHUS.
THEON. INTERPRETES.

D # ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΟΥ ΜΗ ΧΡΑΝ ΕΜΜΕΤΡΑ ΝΥΝ ΤΗΝ ΠΥΘΙΑΝ.

PLUTARCHI

CUR

PYTHIA NUNC NON REDDAT ORACULA CARMINE.

α'. ΒΑΣΙΛΟΚΛΗΣ. Ἑσπέραν ἐποιήσατε βαθεῖαν, ὦ Φιλῖνε, διὰ τῶν ἀναθημάτων παρα-
E πέμποντες τὸν ξένον· ἐγὼ γὰρ ὑμᾶς ἀναμένων ἀπηγόρευσα.

ΦΙΛΙΝΟΣ. Βραδέως γὰρ ὡδεύομεν, ὦ Βασιλόκλεις, σπείροντες λόγους καὶ θερίζοντες εὐθὺς μετὰ μάχης ὑπούλους καὶ πολεμικοὺς, ὥσπερ οἱ Σπαρτοὶ, βλαστάνοντας ἡμῖν καὶ ὑποφυομένους κατὰ τὴν ὁδόν.

I. BASILOCLES. Hoſpitem, Philine, per donaria deducendo rem in profundam protraxiſtis veſperam. Ego quidem vos exſpectando defatigatus ſum.

PHILINUS. Etenim, Baſilocles, tarde inceſſimus, interim ſeminantes ac metentes ſermones, qui Spartorum illorum in morem bellicoſi et infenſi ſubinde nobis ambulantibus ſuppullulabant.

Βας. Ἕτερον οὖν δεήσει τινὰ παρακαλεῖν τῶν παραγεγονότων, ἢ σὺ βούλει χαριζόμενος ἡμῖν διελθεῖν τίνες ἦσαν οἱ λόγοι, καὶ τίνες οἱ λέγοντες;

Φιλ. Ἐμὸν, ὡς ἔοικεν, ὦ Βασιλόκλεις, τὸ ἔργον· τῶν γὰρ ἄλλων οὐδενὶ ῥᾳδίως ἂν ἐντύχοις κατὰ πόλιν· τοὺς γὰρ πλείστους ἑώρων αὖθις εἰς τὸ Κωρύκιον τῷ ξένῳ καὶ τὴν Λυκυρίαν συναναβαίνοντας.

Βας. Ἡ φιλοθεάμων τις ἡμῖν καὶ περιττῶς φιλικὸς ἐστὶν ὁ ξένος;

Φιλ. Φιλόλογος δὲ καὶ φιλομαθὴς ἐστὶ μᾶλλον· οὐ μὴν ταῦτα μάλιστα θαυμάζειν ἄξιον, ἀλλὰ πρᾳότης τε πολλὴν χάριν ἔχουσα, καὶ τὸ μάχιμον καὶ διαπορητικὸν ὑπὸ συνέσεως, οὔτε δύσκολον οὔτε ἀντίτυπον πρὸς τὰς ἀποκρίσεις· ὥστε καὶ βραχὺ συγγενόμενον, εὐθὺς εἰπεῖν, Τέκος ἀγαθοῦ πατρός· οἶσθα γὰρ Διογενιανὸν ἀνδρῶν ἄριστον. 39

F. 7. Ἡ φιλοθεάμων—φιλόλογος] Ita dedi et perſonis diſtinxi ex B. E. Vulgo continua erant: et ἡ φιλοθεάμων legebatur: φιλικὸς mutandum in φιλήκοος, ut viderant Mez. et Reiſk. Porro poſt Φιλόλογος, loco δὲ corrigendum vel γε, vel τε.
A. 1. μάχιμον] an ἀγχίνουν.

Bas. Ergo aliquis alius eorum qui interfuere nobis compellandus eſt, aut tu nobis gratificaberis iſthæc narrando, quinam fuerint, et quorum ſermones?

Phil. Mea eſt hæc, o Baſilocles, opera. Nam reliquorum in nullum facile incides in urbe; vidi enim pleroſque rurſus in Corycium cum hoſpite et Lycuriam una ire.

Bas. Ergo hoſpes nobis eſt et ſpectandi et audiendi haud vulgariter cupidus.

Phil. Immo literarum ac doctrinæ potius eſt cupidus. Neque tamen hæc maxime admirationem merentur: ſed manſuetudo pervenuſta, et in dubitando ac repugnando acumen, adque reſpondendum facilitas ab omni remota contumacia: ut etiam primo congreſſu diceres, *Proles boni parentis*. Noſti enim Diogenianum optimum virum?

ΒΑΣ. Αὐτὸς μὲν οὐκ εἶδον, ὦ Φιλῖνε, πολλοῖς δὲ ἐντετύχηκα καὶ τὸν λόγον καὶ τὸ ἦθος τοῦ ἀνδρὸς ἰσχυρῶς ἀποδεχομένων, ὅμοια δὲ τούτοις ἕτερα περὶ τοῦ νεανίσκου λέγουσι, ἀλλὰ τίνα ἀρχὴν ἔσχον οἱ λόγοι καὶ πρόφασιν;

β΄. ΦΙΛ. Ἐπέραινον οἱ περιηγηταὶ τὰ συντεταγμένα, μηδὲν ἡμῶν φροντίσαντες δεηθέντων ἐπιτεμεῖν τὰς ῥήσεις καὶ τὰ πολλὰ τῶν ἐπιγραμμάτων. Τὸν δὲ ξένον ἡ μὲν ἰδέα καὶ τὸ τεχνικὸν τῶν ἀνδριάντων μετρίως
B προσήγετο, πολλῶν καὶ καλῶν ἔργων, ὡς ἔοικε, θεατὴν γεγενημένον. Ἐθαύμαζεν δὲ τοῦ χαλκοῦ τὸ ἀνθηρὸν, ὡς οὐ πίνῳ προσεοικὸς οὐδὲ ἰῷ, βαφῇ δὲ κυανοῦ στίλβοντος, ὥστε καὶ πέμψαι τι πρὸς τοὺς νεάρχους, (ἀπ᾽ ἐκείνων γὰρ ἤρκται τῆς θέας) οἷον ἀτεχνῶς θαλαττίους τῇ χρόᾳ καὶ βυθοὺς ἑστῶτας. Ἆρ᾽ οὖν, ἔφη, κρᾶσίς τις ἦν καὶ

A. 7. ἐντετύχηκα —ὅμοια δὲ] Inſigne defectus ſupplementum præbuerunt B. E. Mox ἑτέραν delevimus eorundem auctoritate librorum, cum vulgo legeretur τίνα ἑτέραν ἀρχήν.

B. 2. Ἐθαύμαζεν] Sic Baſ. Xyl. Amiot. Vulgo ἐθαύμαζον.

B. 4. πέμψαί τι πρὸς τοὺς νεάρχους] Depravatus locus, cui nil nec in libris nec in conjectoribus remedii. Pro πέμψαί τι Mez. [illegible] et ita fere Amiot. Mihi in mentem venit πάσχειν τι, vel τρέψαι *ut color valde deceret Navarchos:* nam ναυάρχους corrigendum patet ex Vita Lyſandri p. 443. A.

BAS. Ipſe quidem, Philine, eum non vidi: cum multis tamen collocutus ſum qui orationem et mores viri magnopere probarent. Sed quodam initium habuerunt ſermones, qua occaſione orti?

II. PHIL. More ſuo interpretes ſacrorum agebant, nulla noſtrum habita ratione, qui orabamus ut in pauca contraherent enarrationem, et pleraſque inſcriptionum præterirent. Hoſpitem vero forma et artificium ſtatuarum mediocriter movebant, qui, ut apparebat, multa præclara opera ſpectaviſſet. Miratus autem fuit æris floridum colorem, non ſitui aut ærugini ſimilem, ſed cyani tinctura rutilantem, ita ut etiam aliquid ad navium rectores ſplendoris emitteret, ab his enim ſpectare orſus eſt, ut propemodum eorum ſtatuæ colorem profundi maris referrent. Numnam, aiebat, temperatione qua-

φάρμαξις τῶν πάλαι τεχνιτῶν περὶ τὸν χαλκόν; ὥσπερ ἡ λεγομένη τῶν ξιφῶν στόμωσις, ἧς ἐκλειπούσης ἐκεχειρίαν ἔσχε πολεμικῶν ἔργων ὁ χαλκός; τὸν μὲν γὰρ Κορίνθιον, οὐ τέχνῃ ἀλλὰ συντυχίᾳ τῆς χρόας λαβεῖν τὸ κάλλος, ἐπινειμαμένου πυρὸς οἰκίαν ἔχουσάν τι χρυσοῦ καὶ ἀργύρου, πλεῖστον δὲ χαλκὸν ἀποκείμενον· ὧν συγχυθέντων καὶ συντακέντων, ὄνομα τοῦ χαλκοῦ τῷ μείζονι C τὸ πλῆθος παρέσχεν. Ὁ δὲ Θέων ὑπολαβών, Ἄλλον, ἔφη, λόγον ἡμεῖς ἀκηκόαμεν πανουργότερον· ὡς ἀνὴρ ἐν Κορίνθῳ χαλκοτύπος, ἐπιτυχὼν θήκῃ χρυσίον ἐχούσῃ πολύ, καὶ δεδοικὼς φανερὸς γενέσθαι, κατὰ μικρὸν ἀποκόπτων καὶ ὑπομιγνὺς ἀτρέμα τῷ χαλκῷ, θαυμαστὴν λαμβάνοντι κρᾶσιν, ἐπίπρασκε πολλοῦ διὰ τὴν χρόαν καὶ τὸ κάλλος ἀγαπώμενον· ἀλλὰ καὶ ταῦτα κἀκεῖνα μῦθός ἐστιν. Ἦν δέ τις, ὡς ἔοικε, μίξις καὶ ἄρτυσις, ὥς που καὶ νῦν ἀνακεραννύντες ἀργύρῳ χρυσόν,

B. 7. ὥσπερ ἡ λεγομένη—ὁ χαλκός] Supplementum lacunæ deprômtum eſt ex iiſdem B. E. item proxime τέχνῃ pro vulgato τέχνης.

dam et medicatione æris priſci opifices uſi ſunt? prouti illa quæ dicitur gladiorum tinctura, qua deficiente inducias a bellicis rebus nactum eſt æs. Nam Corinthium quidem æs non ars, ſed caſus tam elegante donavit colore, igne domum hauriente in qua aliquid auri et argenti, plurimum vero æris repoſitum erat: quibus confuſis et in unam conflatis maſſam, a majore copia æris nomen impoſitum eſt. Tum Theo ſubjiciens: Nos, inquit, aliam rationem callidiorem inaudivimus. Fabrum quendam ærarium Corinthi incidiſſe in capſam multo auro repletam, et cum metueret ne palam fieret hoc, paulatim aurum abſcidiſſe et æri ſenſim permiſcuiſſe, idque mirabili contemperatum modo colorem pulchrum fuiſſe adeptum, magnoque idcirco venditum pretio. Verum et hoc, et illud, fabulæ ſunt. Apparet autem fuiſſe quandam mixturam et apparatum: ſicut et nunc argento aurum admiſcentes, pe-

τινὰ καὶ περιττὴν, ἐμοὶ δὲ φαινομένην νοσώδη χλω-τα καὶ φθορὰν ἀγαλλῆ παρέχουσι.

Τίνα οὖν αἰτίαν, ἔφη ὁ Διογενιανὸς, οἴει τῆς ἐν-α τοῦ χαλκοῦ χροιᾶς γεγονέναι; Καὶ ὁ Θέων, Ὅταν, τῶν πρώτων καὶ φυσικωτάτων καὶ ἐσομένων ἢ ὄν-των πυρὸς καὶ γῆς καὶ ἀέρος καὶ ὕδατος, καὶ μηδὲν τῷ χαλκῷ πλησιάζῃ μηδὲ ὁμιλῇ πλὴν μόνος ὁ δῆλός ἐστιν ὑπὸ τούτου πεπονθὼς καὶ διὰ τοῦτον ως ἣν ἔχει διαφορὰν ἀεὶ συνόντα καὶ προσκεί-ν, ἢ τοῦτο μὲν ᾔδεις πρὶν Θέογνιν γεγονέναι, κατὰ τὸν μικόν· ἣν δὲ ἔχων φύσιν ὁ ἀὴρ, ἤ τι χρώμενος δυ-ι κατὰ τὰς ἐπιψαύσεις ἐπικέχρωκε τὸν χαλκὸν ἐπι-ῖς μαθεῖν; Φήσαντος δὲ τοῦ Διογενιανοῦ, Καὶ γὰρ εἶπεν, ὦ παῖ· ζητῶμεν οὖν κοινῇ, καὶ πρότερον, εἰ ι, δι' ἣν αἰτίαν μάλιστα τῶν ὑγρῶν ἀναπίμπλησιν

καὶ μηδὲν ἄλλο] καὶ delendum cum Xyl. Amiot. Mez.
ᾔδεις] Recepi ex T. V. Anon. Exempl. Turneb. Mez. Vulgo ejus loco eſt lacuna.
ἀναπίμπλησιν—πλησιάζοντα] Niſi quid excidit, putem corrigendum—ἀναπίμπλησιν (ſcilicet ὁ ἀὴρ) ἰοῦ τοὔλαιον· οὐ γὰρ αὐτός γε δήπου τῷ ἐλαίῳ προστρίβεται τὸν ἰὸν, ἅτε δὴ καθαρὸς αὐτῷ καὶ ἀμίαντος πλησιάζων. Mox τούτου pro τοῦτο ex Anon. T. V.

rem quendam et artifici-, ut vero mihi videtur, ſum et minime pulchrum rem faciunt.

I. Quam ergo, aiebat enianus, cauſam putas i huic æris fuiſſe? Et , Quando, inquit, de ebus quæ natura primæ t atque ſunt, ignem puta, n, terram, et aquam, ni-liud æri accidit quam ſo-iër, ab hoc illud affici li-, atque ob ejus adſiduam præſentiam illud coloris diſcrimen conſequi. Aut hoc quidem noveras antequam naſceretur Theognis, ut eſt apud comicum. Sed quanam aër natura præditus, qua facultate utens contactu colorem hunc æri induxerit cupis ſcire? Aiente Diogeniano, Et quidem, inquit, ego quoque, mi puer. Ergo communicata opera inquiramus, idque primum diſpiciamus, cur de omnibus humoribus oleum

ἐστὶ τοὔλαιον· οὐ γὰρ αὐτό γε δή που τῷ χαλκῷ προστρίβεσθαι τὸν ἰόν, ἅτε δὴ καθαρὸν αὐτῷ καὶ ἀμίαντον πλησιάζοντα. Οὐδαμῶς, εἶπεν ὁ νεανίας, ἄλλο δ' αὐτῷ δοκεῖ τούτου τὸ αἴτιον ὑπάρχειν· λεπτῷ γὰρ ὄντι καὶ καθαρῷ καὶ διαυγεῖ προσπίπτων ὁ ἰός, ἐκφανέστατός ἐστιν, ἐν δὲ τοῖς ἄλλοις ὑγροῖς ἀφανίζεται· καὶ ὁ Θέων, Εὖγε, F εἶπεν, ὦ παῖ, καὶ * σκόπει δέ, εἰ βούλει, καὶ τὴν ὑπὸ Ἀριστοτέλους αἰτίαν λεγομένην. Ἀλλὰ βούλομαι, εἶπεν. Φησὶ τοίνυν τῶν μὲν ἄλλων ὑγρῶν ἐπιόντα διέχειν ἀδήλως καὶ διασπείρεσθαι τὸν ἰόν, ἀνωμάλων καὶ μανῶν ὄντων· τοῦ δὲ ἐλαίου τῇ πυκνότητι στέγεσθαι, καὶ διαμένειν ἀθροιζόμενον. Ἂν οὖν καὶ αὐτοί τι τοιοῦτον ὑποθέσθαι δυνηθῶμεν, οὐ παντάπασιν ἀπορήσομεν ἐπῳδῆς καὶ παραμυθίας πρὸς τὴν ἀπορίαν.

δ'. Ὡς οὖν ἐκελεύομεν καὶ συνεχωροῦμεν, ἔφη. Τὸν 39
ἀέρα τὸν ἐν Δελφοῖς πυκνὸν ὄντα καὶ συνεχῆ, καὶ τόνον ἔχον-

F. 1. Ad, ὦ παῖ, καὶ—ſupplendum καλῶς, vel ἀνδρικῶς. Mox εἶπεν pro εἰπεῖν e Xyl. Porro διέχειν videtur mutandum in διαῤῥεῖν. Tum lacuna expleta, mutato καὶ μενόντων in καὶ μανῶν ὄντων ex T. V. Exempl. Turneb. Mez.

maxime ærugine oppleat. Non enim videtur ipſum æri eam inducere, cum purum et impollutum ei aptetur. Nequaquam, aiebat adoleſcens: ſed alia videtur eſſe cauſa: ærugo enim, oleo, quod tenue eſt et purum ac pellucidum, accedente, maxime eluceſcit, cum eam alii humores tegant. Tum Theo: Præclare, inquit, mi puer, et recte: conſidera autem ſodes etiam eam quæ ab Ariſtotele adfertur cauſam. Volo, inquit. Is ergo tradit æruginem reliquis humoribus incidentibus obſcure elucere et diſſipari, quod ii ſint inæquales, neque partes una maneant: olei autem denſitate eam cohiberi atque colligi. Proinde ſi nos quoque tale aliquid ponere poſſumus, non plane nobis deerit hujuſce difficultatis explicatus.

IV. Ut ergo juſſimus, veniamque dedimus, ita fere is eſt locutus. Aer Delphicus craſſus eſt, continuus, et ob

τα, διὰ τὴν ἀπὸ τῶν ὀρῶν ἀνάκλασιν καὶ ἀντέρεισιν, ἔτι καὶ δηκτικόν, λεπτὸν εἶναι), ὥσπερ μαρτυρεῖ καὶ τὰ περὶ τὰς πέψεις τροφῆς· ἐνδυόμενον οὖν ὑπὸ λεπτότητος καὶ τέμνοντα τὸν χαλκὸν, ἀναχαράσσειν πολὺν ἰὸν ἐξ αὐτοῦ καὶ γεώδη, στέγειν δὲ τοῦτον αὖ πάλιν καὶ πιέζειν, τῆς πυκνότητος διάχυσιν μὴ διδούσης, τὸν δὲ ὑφιστάμενον αὐτὴν διὰ πλῆθος ἐξανθεῖν, καὶ λαμβάνειν αὐγὴν καὶ γάνωμα περὶ τὴν ἐπιφάνειαν. Ἀποδεξαμένων δὲ ἡμῶν, ὁ ξένος ἔφη τὴν ἑτέραν ἀρκεῖν ὑπόθεσιν πρὸς τὸν λόγον. Ἡ δὲ λεπτότης, ἔφη, δόξει μὲν ὑπεναντιοῦσθαι καὶ πρὸς τὴν λεγομένην πυκνότητα τοῦ ἀέρος, λαμβάνεται δὲ οὐκ ἀναγκαίως· αὐτὸς γὰρ ὑφ᾽ ἑαυτοῦ παλαιούμενος ὁ χαλκὸς ἀποπνεῖ καὶ μεθίησι τὸν ἰὸν, ὃν ἡ πυκνότης συνέχουσα καὶ παχύνουσα ποιεῖ ἐκφανῆ διὰ τὸ πλῆθος. Ὑπολαβὼν δὲ ὁ Θέων, Τί γὰρ, εἶπεν, ὦ ξένε, κωλύει ταυτὸ εἶναι καὶ λεπτὸν καὶ

A. 4. λεπτὸν εἶναι] Addidi ex B. E. Mox lacunam explevi voce διάχυσιν ex Anon. quod item videntur habuiſſe T. V. ex quibus notatum eſt διάλυσιν. Mez. διέξοδον.

B. 5. ἀποπνεῖ] Sic B. E. Ald. Baſ. Xyl. At Steph. et reliquæ editiones ἀποκνεῖ vitioſe et vitio ſorte typographi.

reflexionem ac reniſum a montibus vehemens, itemque mordax ac tenuis: quod teſtatur nutrimenti concoctio. Subiens itaque ſua tenuitate, æs penetrat, atque ex eo multam terreſtremque æruginem eruit: eamque rurſum ſua denſitate comprimit, quæ exitum illi non præbet, ut rurſus ſubſidens præ multitudine efflorefcat, et in ſuperficie ſplendorem atque nitorem adipiſcatur. Hæc nobis probantibus, hoſpes alebat, Ad reddendam rationem ſufficere alteram poſitionem. Nam tenuitas, dicebat, videbitur etiam ei quæ commemorata eſt aëris denſitati adverſari, neque adſciſcitur neceſſario. Ipſum enim a ſeipſo inveteratum æs exſpirat æruginem, quam denſitas continens atque conſtringens, ob multitudinem adſpectui exhibet. Sub hæc Theo: Quid vero, inquit, obſtat, o hoſpes, quin idem ſit

πυκνόν, ὥσπερ τὰ σηρικὰ καὶ τὰ βύσσινα τῶν ὑφασμάτων, ἐφ' ὧν καὶ Ὅμηρος εἶπεν,

Καιροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον,

ἐνδεικνύμενος τὴν ἀκρίβειαν καὶ λεπτότητα τοῦ ὕφους, ᾧ
μὴ προσμένειν τὸ ἔλαιον, ἀλλ' ἀποῤῥεῖν καὶ ἀπολισθαί- C
νειν τῆς πυκνότητος, οὐ δίησι. Καὶ μὴν οὐ μόνον πρὸς
τὴν ἀναχάραξιν τοῦ ἰοῦ χρήσαιτο ἂν τῇ λεπτότητι τοῦ
ἀέρος, ἀλλὰ καὶ τὴν χρόαν αὐτὴν ποιεῖν ἔοικεν ἡδίονα καὶ
γλαυκοτέραν, ἀναμιγνῦσα τῷ κυανῷ φῶς καὶ αὐγήν.

ε'. Ἐκ τούτου γενομένης σιωπῆς, πάλιν οἱ περιηγηταὶ προεχειρίζοντο τὰς ῥήσεις· χρησμοῦ δέ τινος ἐμμέτρου λεχθέντος οἶμαι περὶ τῆς Αἴγωνος τοῦ Ἀργείου βασιλείας, Πολλάκις, ἔφη, θαυμάσαι τῶν ἐπῶν ὁ Διογενιανὸς, ἐν οἷς οἱ χρησμοὶ λέγονται, τὴν φαυλότητα καὶ τὴν εὐτέλειαν· καίτοι μουσηγέτης ὁ θεὸς, καὶ τῆς λεγομένης λογιότητος οὐχ ἧττον αὐτῷ τὸ καλὸν, ἢ τῆς περὶ

C. 2. οὐ δίησι] Legendum οὐ διιείσης. B. E. οὐ διίησι. Ald. Baſ. Xyl. οὐ διίησι. Mox προεχειρίζοντο ex B. E. Xyl. pro vulgato προσεχειρίζοντο.

et tenue et denſum: ſicut ſunt ſerica et byſſina texta, de quibus etiam Homerus dixit:

Lintea pexa, oleæ queis lentus defluit humor.

oſtendens accuratam texturæ ſubtilitatem, quæ oleum non tranſmitteret, ſed id ob denſationem deflueret. Enimvero non tantum ad æruginem foras eruendam uti aliquis poſſit argumento a tenuitate aëris petito: ſed et colorem ea videtur facere poſſe jucundiorem, quando cœruleo admiſcetur.

V. Secundum hæc ſilentio facto, rurſum enarratores ſacrorum oracula depromſerunt. Ibi cum oraculum quoddam carmine editum recitaretur, de regno, niſi fallor, Ægonis Argivi; Diogenianus aiebat, ſæpenumero ſe admiratum fuiſſe verſuum, quibus oracula exprimerentur, vilitatem atque vitia. Atqui Apollinem muſarum ducem eſſe, et ad quem non minus

D μέλη καὶ ᾠδὰς καὶ εὐφωνίας μετεῖναι, καὶ πολὺ τὸν Ἡσίοδον εὐεπείᾳ καὶ τὸν Ὅμηρον ὑπερφθέγγεσθαι· τοὺς δὲ πολλοὺς τῶν χρησμῶν ὁρῶμεν καὶ τοῖς μέτροις καὶ τοῖς ὀνόμασι πλημμελείας καὶ φαυλότητος ἀναπεπλησμένους. Παρὼν οὖν Ἀθήνηθεν ὁ ποιητὴς Σεραπίων, Εἶτα, ἔφη, ταῦτα τὰ ἔπη τοῦ θεοῦ πιστεύοντες εἶναι, τὸ ἄσωμον οὖν πάλιν, ὡς λέγεται, κάλλει τῶν Ὁμήρου καὶ Ἡσιόδου λέγειν, οὐ χρησόμεθα τούτοις ὡς ἄριστα καὶ κάλλιστα πεποιημένοις, ἐπανορθούμενοι τὴν αὑτῶν κρίσιν προκατειλημμένην ὑπὸ φαύλης συνηθείας. Ὑπολαβὼν οὖν Βόηθος ὁ γεωμέτρης· οἶσθα γὰρ τὸν ἄνδρα μεταταττόμενον ἤδη πρὸς τὸν Ἐπίκουρον· Ἄρ' οὖν, ἔφη, τὸ τοῦ
E ζωγράφου Παύσωνος ἀκήκοας; Οὐκ ἔγωγε, εἶπεν ὁ Σεραπίων. Ἀλλὰ μὴν ἄξιον. Ἐκλαβὼν γὰρ, ὡς ἔοικεν,

D. 4. ἀναπεπλησμένους] Sic B. E. Baſ. Xyl. Vulgo ἀναπεπλεγμένους.

D. 6. τὸ ἄσωμον—οὐ χρησόμεθα] Ita Ald. et Steph. item ſcripti, niſi quod B. E. ab initio habet τὸ ἄμωμον αὖ πάλιν. Legendum ut in promtu eſt nec Mez. et Reiſk. fugit, τολμῶμεν αὖ πάλιν ὡς λείπεται—λέγειν οὐδὲ χρησόμεθα. Baſ. et Xyl. forte a correctore—πιστεύοντε εἶναι· ἐάσωμεν οὖν πάλιν, ὡς λέγετε. κ. τ. Ὁμ. κ. Ἡσ. ἀποδεῖν; οὐ χρησόμεθα—.

eruditionis, quam cantilenæ et vocis elegantia pertineret, et qui Homerum Heſiodumque longe antecelleret facundia: tamen pleraque oracula et contra metri leges, et vocabulorum pravitate peccare. Aderat una Serapio poëta, qui Athenis eo venerat. Is, putatis ergo, inquit, verſus iſtos Apollinis eſſe? Itane, hos Dei verſus eſſe putantes, audemus rurſum eos dicere, Homericis et Heſiodeis pulchritudine longe inferiores eſſe? an non utemur iis ut optime et pulcherrime compoſitis, corrigentes judicium quod de iis prava conſuetudine occupante fertur? Sub hæc Boëthus geometra, quem noſti jam in caſtra Epicuri tranſitum parare, Audiſtine, inquit, Pauſoni pictori quid contigerit? Non ſane, aiebat Serapio. Atqui dignum eſt auditu, inquit Boëthus. Conduxerat is pin-

ἵππον ἀλινδούμενον γράψαι, τρέχοντα ἔγραψεν· ἀγανακτοῦντος δὲ τοῦ ἀνθρώπου, γελάσας ὁ Παύσων κατέστρεψε τὸν πίνακα· καὶ γενομένων ἄνω τῶν κάτω, πάλιν ὁ ἵππος οὐ τρέχων ἀλλ' ἀλινδούμενος ἐφαίνετο. Τοῦτό, φησιν ὁ Βίων, ἐνίους τῶν λόγων πάσχειν, ὅταν ἀναστρέφωσι. Διὸ 1
καὶ τοὺς χρησμοὺς ἔνιοι φήσουσιν οὐ καλῶς ἔχειν, ὅτι τοῦ θεοῦ εἰσιν· ἀλλὰ τοῦ θεοῦ μὴ ἐστι, ὅτι φαύλως ἔχουσιν· ἐκεῖνο μὲν γὰρ ἐν ἀδήλῳ· τὸ δὲ [τὰ ἔπη οὐκ εὖ] πεποιῆσθαι τὰ περὶ τοὺς χρησμούς, καὶ σοὶ κριτῇ δήπουθεν, ὦ φίλε Σεράπιον, εἶπεν, ἐναργές ἐστι. Ποιήματα μὲν γὰρ γράφεις, τοῖς μὲν πράγμασι φιλοσόφως καὶ αὐστηρῶς, δυνάμει δὲ καὶ χάριτι καὶ κατασκευῇ περὶ λέξιν ἐοικότα τοῖς Ὁμήρου καὶ Ἡσιόδου μᾶλλον ἢ τοῖς ὑπὸ τῆς Πυθίας ἐκφερομένοις.

ς'. Καὶ ὁ Σεραπίων, Νοσοῦμεν γὰρ εἶπεν, ὦ

F. 1. ἀναστρέφωσι.—ἀλλὰ] Perizon. ad Ælian. V. H. XIV, 15. ita corrigit, ut legat ἀναστραφῶσι—ἄλλοι, et deleat οὐ quibus nil opus correctionibus modo legat οὐ φήσουσιν.

F. 4. τὰ ἔπη οὐκ εὖ] Ita lacunam explevimus monente re ipſa, et uncinis incluſimus ut appareret, noſtra eſſe, non librorum, verba. Item πεποιῆσθαι poſuimus pro vulgato πεπονῆσθαι.

F. 11. εἶπεν, ὦ Βόηθε] Ita Baſ. Xyl. Amiot. Mez. Reliqui omnes ἐν τινῶ Βοήθε monſtroſe.

gendum equum qui ſeſe volutaret: pinxit currentem: et locatore inique id ferente, ridens tabulam invertit, ut inferis ſurſum elatis partibus equus jam non currens ſed volutans ſeſe videretur. Hoc ait Bio quibuſdam etiam orationibus accidere quando invertuntur. Itaque et oracula aliqui non dicent bene habere, quia Deus eorum ſit autor: ſed Dei non eſſe, quia ſint vitioſa. Illud enim incertum eſt: non elaborata eſſe oracula, vel te, Serapio, judice liquet; pangis enim carmina argumento philoſophico et ſerio, facultate autem, elegantia, et apparatu dictionis magis ad Homerica atque Heſiodea accedentia, quam ad verſus a Pythia editos.

VI. Tum Serapio, Labo-

Βόηθε, καὶ τὰ ὦτα καὶ τὰ ὄμματα, συνειθισμένοι διὰ τρυφὴν καὶ μαλακίαν τὰ ἡδέα καλὰ νομίζειν καὶ ἀποφαί-
397 νεσθαι. Τάχα δὴ μεμψόμεθα τὴν Πυθίαν, ὅτι Γλαύκης οὐ φθέγγεται τῆς κιθαρῳδοῦ λιγυρώτερον, οὐδὲ χριομένη μύροις, οὐδὲ ἁλουργίδας ἀμπεχομένη κάτεισιν εἰς τὸ, οὐδὲ ἐπιθυμιᾷ κασίαν ἢ λήδανον ἢ λιβανωτὸν, ἀλλὰ δάφνην καὶ κρίθινον ἄλευρον. Οὐχ ὁρᾷς, εἶπεν, ὅσην χάριν ἔχει τὰ Σαπφικὰ μέλη, κηλοῦντα καὶ καταθέλγοντα τοὺς ἀκροωμένους; Σίβυλλα δὲ μαινομένῳ στόματι, καθ' Ἡράκλειτον, ἀγέλαστα καὶ ἀκαλλώπιστα καὶ ἀμύριστα φθεγγομένη, χιλίων ἐτῶν ἐξικνεῖται τῇ φωνῇ διὰ τὸν θεόν. Ὁ δὲ Πίνδαρος ἀκοῦσαί φησι τοῦ θεοῦ τὸν
B Κάδμον οὐ μουσικὰν ὀρθὰν, οὐχ ἡδεῖαν, οὐδὲ τρυφερὰν, οὐδὲ ἐπικεκλασμένην τοῖς μέλεσιν. Ἡδονὴν γὰρ οὐ προσίεται τὸ ἀπαθὲς καὶ ἁγνὸν, ἀλλὰ ἐνταῦθα μετὰ

A. 2. χριομένη—ἐπιθυμιᾷ] Vulgo χρισμένην—ἀμπεχομένην καὶ τισιν—ἐπιθυμιᾶν. Ald. præbuit ἐπιθυμιᾶ. Anon. T. V. χριομένη: reliqua e noſtra et Reiſkii conjectura. Εἰς τὸ non auſus ſum mutare: probabile videtur legendum eſſe εἴσω.

B. 1. οὐ μουσικὰν] Delendum οὐ cum Amiot. Mez. Reiſk.

ramus, inquit, aurium oculorumque morbo, adſueti ob luxum et mollitiem ſuaviora quæ ſunt, pulchra appellare. Fortaſſe autem Pythiam quoque culpabimus, quod non canit jucundius quam Glauce fidicina, neque unguentis oblinita, neque purpuram induta in penetralia deſcendit, neque caſiam, ladanum, thus, ſed laurum et hordeaceam ſuffit farinam. Non vides, aiebat, quanta ſit venuſtas Sapphicorum carminum demulcentium auditores? at *Sibylla furente ore*, ut ait Heraclitus, riſus, ornatus, et fuci expertia ſonans, Dei beneficio vocem ad mille annos continuat. *Cadmum* quoque Pindarus inquit *e Deo audiviſſe non rectam muſicam*, neque ſuavem, neque delicatam, neque cantu infracto. Voluptatem enim non admittit quod integrum eſt et caſtum: ſed hæc ſimul cum Noxa in hanc terram

τῆς ἄτης ἐρρίφη, καὶ τὸ πλεῖστον αὐτῆς, καί, ὡς ἔοικεν, εἰς τὰ ὦτα τῶν ἀνθρώπων συνερρύηκεν.

ζ'. Εἰπόντος δὲ ταῦτα τοῦ Σεραπίωνος, ὁ Θέων μειδιάσας, Ὁ Σεραπίων μὲν, εἶπε, τὸ εἰωθὸς ἀποδέδωκε τῷ τρόπῳ, λόγου περὶ αὐτῆς τῆς ἡδονῆς παρεμπεσόντος ἀπολαύσας· ἡμεῖς δὲ, ὦ Βόηθε, κἂν ᾖ φαυλότερα τῶν Ὁμήρου ταῦτα τὰ ἔπη, μὴ νομίζωμεν αὐτὰ πεποιηκέναι τὸν θεὸν, ἀλλὰ ἐκείνου τὴν ἀρχὴν τῆς κινήσεως ἐνδιδόντος, ὡς ἑκάστη πέφυκε κινεῖσθαι τῶν προ- C
φητίδων. Καὶ γὰρ εἰ γράφειν ἔδει μὴ λέγειν τοὺς χρησμοὺς, οὐκ ἂν, οἶμαι, τοῦ θεοῦ τὰ γράμματα νομίζοντες ἐψέγομεν, ὅτι λείπεται καλλιγραφίᾳ τῶν βασιλικῶν· οὐ γάρ ἐστι θεοῦ ἡ γῆρυς, οὐδὲ ὁ φθόγγος, οὐδὲ ἡ λέξις, οὐδὲ τὸ μέτρον, ἀλλὰ τῆς γυναικός· ἐκεῖνος δὲ μόνας τὰς φαντασίας παρίστησι, καὶ φῶς ἐν τῇ ψυχῇ ποιεῖ πρὸς τὸ μέλλον· ὁ γὰρ ἐνθουσιασμὸς τοιοῦτόν ἐστι. Καθόλου δὲ

B. 4. ἄτης] Sumſi a T. V. Libri ſcripti et editi αὐτῆς. Stephanus dedit ᾠδῆς ex Leonico. Xyl. conjecit αὐδῆς.

B. 8. αὐτῆς τῆς ἡδονῆς] Forte περὶ ᾠδῆς τε καὶ ἡδονῆς. Mox poſt κἂν ᾖ φαυλότερα putem excidiſſe κἂν βελτίονα.

projecta eſt, et maxima ejus pars, ut apparet, in aures hominum confluxit.

VII. Hæc locuto Serapione Theo ſubridens, Serapio quidem, inquit, morem ſuum ſervavit, uſuſque eſt occaſione oblata contra voluptatem dicendi. Nos autem, Boëthe, Pythicos verſus ſive meliores ſint Homericis ſive deteriores, non cenſeamus Apollinis eſſe: ſed, Apolline initium motus ſubjiciente, ſuo quamque antiſtitarum modo concitari. Etenim ſi ſcribenda fuiſſent, non enuncianda oracula, non puto nos literas Deo imputaturos fuiſſe ac reprehenſuros, quod elegantia regias non æquarent. Non enim Dei eſt vox, non ſonus, non dictio, non metrum, ſed feminæ: ille duntaxat viſa ſuggerit, lumenque in animo excitat ad videndum futura: talis eſt enim inſtinctus furorve divinus.

εἰπεῖν, ὑμᾶς τοὺς τοῦ Ἐπικούρου προφήτας (δῆλος γὰρ εἶ καὶ αὐτὸς ὑποφερόμενος) οὐκ ἔστι διαφυγεῖν, ἀλλὰ
D κακίας αἰτιᾶσθε τὰς πάλαι προφήτιδας, ὡς φαύλοις ποιήμασι χρωμένας, καὶ τὰς νῦν, καταλογάδην καὶ διὰ τῶν ἐπιτυχόντων ὀνομάτων τοὺς χρησμοὺς λεγούσας, ὅπως ὑμῖν ἀκεφάλων καὶ λαγαρῶν μέτρων καὶ μειούρων εὐθύνας μὴ ὑπέχωσι. Καὶ ὁ Διογενιανὸς, Μὴ παῖζε, εἶπεν, ὦ πρὸς θεῶν, ἀλλὰ διάλυσον ἡμῖν ταύτην τὴν ἀπορίαν κοινὴν οὖσαν· οὐδεὶς γάρ ἐστιν ἄλλων ὃς οὐκ αἰτίαν ἐπιζητεῖ καὶ λόγον ὡς πέπαυται τὸ μαντεῖον ἔπεσι καὶ λόγοις χρώμενον. Ὑπολαβὼν οὖν ὁ Θέων, Ἀλλὰ καὶ νῦν, εἶπεν, ὦ παῖ, δοκοῦμεν ἐπηρείᾳ τινὶ τοὺς ἐξηγητὰς ἀφαιρεῖσθαι τὸ οἰκεῖον ἔργον· ἔασον οὖν γενέσθαι τὸ τού-
E των πρότερον, εἶτα περὶ ὧν βούλει καθ' ἡσυχίαν διαπορήσεις.

D. 1. *κακίας αἰτιᾶσθε*] Prius mutandum in *κἀκείνας*, poſterius ſumtum a T. B. Leonic. Baſ. Xyl. Mez.

D. 7. *ἄλλων*] E. *ἀλλήλων* pejus etiam vulgato. Reiſkius *ἀνθρώπων* veriſimiliter: poſſis item corrigere *ἄλλως ceteroquin*, vel *ὑμῶν*.

D. 9. *καὶ λόγοις*] Forte delendum, aut corrigendum cum Reiſkio *καὶ ἄλλοις μέτροις* ex ſequentibus 402. B.

Univerſe autem ut dicam, vos Epicuri vates, de quibus te quoque eſſe apparet, effugere non licet. Sed reprehenditis cum priſcas illas antiſtitas, quod malis uſæ ſunt verſibus: tum eas quæ hodie proſa oratione et quibuſvis vocabulis propterea utuntur, ne cogantur apud vos cauſam dicere propter mutilos elumbeſve verſus. Hic Diogenianus, Noli, inquit, ludere obſecro, ſed hanc nobis difficultatem explica, communem omnium: nemo enim aliorum etiam eſt, qui non cauſam quærat, cur oraculum deſierit verſibus uti. At vero, ſubjiciebat Theo, rurſum, mi adoleſcens, videbimur malitia quadam enarratores ſuo munere defraudare: eos ergo ſine prius ſua agere, poſtea per otium diſquires de iis quæ voles.

η΄. Ἤδη δὲ προϊόντες ἦμεν κατὰ τὸν Ἱέρωνος ἀνδριάντα τοῦ τυράννου· καὶ τῶν μὲν ἄλλων ὁ ξένος, εἰδὼς ἅπαντα, παρεῖχεν ὅμως ὑπὸ εὐκολίας ἀκροατὴν αὑτόν· ἀκούσας δὲ ὅτι κίων τις ἑστὼς ἄνω χαλκοῦς Ἱέρωνος ἔπεσεν αὐτομάτως τῆς ἡμέρας ἐκείνης ᾗ τὸν Ἱέρωνα συνέβαινεν ἐν Συρακούσαις τελευτᾶν, ἐθαύμασε. Κἀγὼ τῶν ὁμοίων ἅμα συνανεμίμνησκον, οἷα δὴ τοῦ Ἱέρωνος μὲν τοῦ Σπαρτιάτου, ὅτι πρὸ τῆς ἐν Λεύκτροις αὐτοῦ γενομένης τελευτῆς ἐξέπεσον οἱ ὀφθαλμοὶ τοῦ ἀνδριάντος· οἱ δὲ ἀστέρες ἠφανίσθησαν, οὓς Λύσανδρος ἀνέθηκεν ἀπὸ τῆς ἐν Αἰγὸς ποταμοῖς ναυμαχίας· ὁ δὲ αὐτοῦ τοῦ Λυσάνδρου λίθινος ἀνδριὰς ἐξήνθησεν ἀγρίαν λόχμην καὶ πόαν τοσαύτην τὸ πλῆθος, ὥστε κατακρύψαι τὸ πρόσωπον· ἐν δὲ τοῖς Σικελικοῖς τῶν Ἀθηναίων ἀτυχήμασιν αἵ τε χρυσαῖ τοῦ φοίνικος ἀπέρρεον βάλανοι, καὶ τὴν ἀσπίδα τοῦ παλλαδίου κόρακες περιέκοπτον· ὁ δὲ Κνιδίων στέφανος ὃν

E. 9. οἷα δὴ τοῦ Ἱέρωνος μὲν τοῦ Σπαρτιάτου] Forte corrigendum τοῦ Ἱέρωνος, οἷα δὴ τῶν μὲν Σπαρτιατῶν.

VIII. Jam progreſſi perveneramus ad Hieronis tyranni ſtatuam. Et hoſpes, quanquam reliqua omnia noſſet, tamen pro ſua facilitate auditorem ſe præbebat: verum audiens ſupra ſtetiſſe æream Hieronis columnam, quæ ſponte ſua cecidiſſet ea die qua Hiero Syracuſis mortem obiit, admirabatur. Ego ſimilium memoriam caſuum renovavi: qualis eſt, quod oculi e ſtatua Hieronis Spartani exciderunt ante quam ille ad Leuctra occubuit: quod tum ſtellæ perierunt, quas de navali pugna ad Ægoſpotamos dedicaverat Lyſander: quod ex ipſius ſtatua Lyſandri lapidea tantum pullulavit ſylveſtris herbæ ut faciem ejus tegeret: quod ſub Sicilienſem Athenienſium calamitatem aureæ glandes de palma defluxerunt, et Palladii ſcutum corvi roſtris tutuderunt: quod Cnidiorum corona quam

Φαρσαλίᾳ τῇ ὀρχηστρίδι Φιλόμηλος ὁ Φωκέων τύραννος ἐδωρήσατο, μεταστᾶσαν αὐτὴν ἐκ τῆς Ἑλλάδος εἰς τὴν Ἰταλίαν, ἀπώλεσεν ἐν Μεταποντίῳ παίζουσαν περὶ τὸν
398 νεὼν τοῦ Ἀπόλλωνος, ὁρμήσαντες γὰρ ἐπὶ τὸν στέφανον οἱ νεανίσκοι, καὶ μαχόμενοι περὶ τοῦ χρυσίου πρὸς ἀλλήλους, διέσπασαν τὴν ἄνθρωπον. Ἀριστοτέλης μὲν οὖν μόνον Ὅμηρον ἔλεγε κινούμενα ὀνόματα ποιεῖν διὰ τὴν ἐνάργειαν· ἐγὼ δὲ φαίην ἂν καὶ τῶν ἀναθημάτων τὰ ἐνταῦθα μάλιστα συγκινεῖσθαι καὶ συνεπισημαίνειν τῇ τοῦ θεοῦ προνοίᾳ· καὶ τούτων μέρος μηδὲν εἶναι κενὸν, μηδὲ ἀναίσθητον, ἀλλὰ πεπλῆσθαι πάντα θειότητος. Καὶ ὁ Βόηθος, Ναί· εἶπεν, εἰ γὰρ ἀρκεῖ τὸν θεὸν εἰς σῶμα καθειργνύναι θνητὸν ἅπαξ ἑκάστου μηνὸς, ἀλλὰ καὶ λίθῳ
B παντὶ καὶ χαλκῷ συμφυράσομεν αὐτὸν, ὥσπερ οὐκ ἔχοντες ἀξιόχρεω τῶν τοιούτων συμπτωμάτων τὴν τύχην δημιουργὸν καὶ τὸ αὐτόματον. Εἶτα, ἔφην ἐγὼ, τύχῃ σοι

A. 4. κινούμενα ὀνόματα] Vulgo, repetito ſequenti verbo, κινούμενα ποιεῖν ὀνόματα : quod delevimus auctoritate librorum E. Leonic. Baſ. Xyl. Mez.

Pharſaliæ ſaltatrici Philomelus Phocæorum tyrannus dono dedit, eam e Græcia in Italiam profectam Metaponti perdidit, ludentem apud fanum Apollinis, nam ad coronam impetu facto adoleſcentes dum de auro inter ſe pugnant, mulierem diſcerpſerunt. Ariſtoteles quidem ſolum Homerum ait moventia facere nomina, ob efficacitatem. Ego autem dicere auſim, quotquot hic ſunt donaria, maxime una cum divina providentia ea moveri, ejuſque ſignificationem præbere: nullamque eorum partem inanem aut ſenſus vacuam eſſe; ſed repleta omnia divinitate. Nimirum vero, aiebat Boëthus. Non enim ſatis eſt deum quovis menſe in corpus includere mortale, niſi eum etiam cum omni lapide et ære confundamus, quaſi hujuſmodi eventuum non habeamus ſatis ſufficientem cauſam atque opificem Fortunam et caſum. Itane, aiebam ego, horum

δοκεῖ καὶ αὐτομάτῳ τῶν τοιούτων ἕκαστον ἐοικέναι, καὶ πιθανόν ἐστι τὰς ἀτόμους ἐξολισθεῖν καὶ διαλυθῆναι καὶ παρεγκλῖναι, μήτε πρότερον μήτε ὕστερον, ἀλλὰ κατ' ἐκεῖνον τὸν χρόνον ἐν ᾧ τῶν ἀναθέντων ἕκαστος ἢ χεῖρον ἔμελλε πράξειν ἢ βέλτιον; καὶ σὲ μὲν Ἐπίκουρος ὠφελεῖ νῦν, ὡς ἔοικεν, ἀφ' ὧν εἶπεν ἢ ἔγραψε πρὸ ἐτῶν τριακοσίων· ὁ θεὸς δὲ, εἰ μὴ συνείρξῃ φέρων ἑαυτὸν εἰς ἅπαντα, μηδὲ ἀνακραθείη πᾶσιν, οὐκ ἄν σοι δοκεῖ κι- C
νήσεως ἀρχὴν καὶ πάθους αἰτίαν παρασχεῖν οὐδενὶ τῶν ὄντων;

θ'. Τοιαῦτα μὲν ἐγὼ πρὸς τὸν Βόηθον ἀπεκρινάμην· ὅμοια δὲ περὶ τῶν Σιβυλλείων. Ἐπειδὴ γὰρ ἔστημεν κατὰ τὴν πέτραν γενόμενοι τὴν κατὰ τὸ βουλευτήριον, ἐφ' ἧς λέγεται καθίζεσθαι τὴν πρώτην Σίβυλλαν ἐκ τοῦ Ἑλικῶνος παραγενομένην, ὑπὸ τῶν Μουσῶν τραφεῖσαν, (ἔνιοι δέ φασιν εἰς Μαλεῶνα ἀφικέσθαι,

C. 1. ἀνακραθείη] Sic T. nec multum abit E. ἀνακρασθείη. Mox αἰτίαν Steph. dedit ex Leonic. et Schott. Omnes libri habent ἱστίαν.

C. 7. ἐφ' ἧς] Ita libri B. E. Ald. Baſ. Xyl. At Steph. et reliqui ἐφ' αἷς, neſcio quo errore.

quodvis tibi fortuitæ rei et caſui videtur ſimile? et probabile putas atomos dilabi atque diſſolvi et inclinare non ante, non poſt, ſed eo ipſo tempore quo is qui dedicavit aliquid vel bona vel adverſa uſurus eſt fortuna? Et tibi quidem nunc prodeſt Epicurus, iis ſcilicet quæ dixit aut ſcripſit ante annos trecentos? Deus autem niſi includat ſeipſum in omnia, omnibuſque permiſceatur, non videtur tibi motus affectioniſque principium rebus præbere poſſe?

IX. Hæc ego reſpondebam Boëtho. Similia etiam de Sibyllinis. Nam cum adſtitiſſemus ad ſaxum curiæ vicinum, cui inſediſſe dicitur prima Sibylla cum eo ex Helicone veniſſet, a Muſis enutrita: (alii ad Maleonem adveniſſe eam dicunt, filiam La-

ίας ὖσαν θυγατέρα τῆς Ποσειδῶνος) ὁ μὲν Σερα-
ἐμνήσθη τῶν ἐπῶν, ἐν οἷς ὕμνησεν ἑαυτὴν, ὡς οὐ-
ἀποθανοῦσα λήξει μαντικῆς· ἀλλ' αὐτὴ μὲν ἐν τῇ
ὑη περίεισι τὸ καλούμενον φαινόμενον γενομένη πρόσ-
, τῷ δὲ ἀέρι τὸ πνεῦμα συγκραθὲν, ἐν φήμαις ἀεὶ
πεται καὶ κληδόσιν· ἐκ δὲ τοῦ σώματος μεταβα-
ις ἐν τῇ γῇ πόας καὶ ὕλης ἀναφυομένης, βοσκήσε-
ταύτην ἱερὰ θρέμματα, χρόας τε παντοδαπὰς ἴσ-
ι καὶ μορφὰς καὶ ποιότητας ἐπὶ τῶν σπλάγχνων,
ὧν αἱ προδηλώσεις ἀνθρώποις τοῦ μέλλοντος. Ὁ
ήθος ἔτι μᾶλλον ἦν φανερὸς καταγελῶν. Τοῦ δὲ
εἰπόντος ὡς εἰ καὶ ταῦτα μύθοις ἔοικεν, ἀλλὰ ταῖς
ιαντείαις ἐπιμαρτυροῦσι πολλαὶ μὲν ἀναστάσεις καὶ
ικισμοὶ πόλεων Ἑλληνίδων, πολλαὶ δὲ βαρβαρι-
ρατιῶν ἐπιφάνειαι, καὶ ἀναιρέσεις ἡγεμονιῶν· ταυτὶ δὲ
πρόσφατα καὶ νέα πάθη περί τε Κύμην καὶ Δι-

ξένων] Sumſi a B. E. Vulgo Ζένων. Mox legendum ταῖς γε μαντείαις.
ἡγεμονιῶν] Sic B. E. Baſ. Leonic. Amiot. Xyl. Mez. At Steph. ex Aldina retinuit ἡγεμονικῶν.

quæ Neptuno nata fuit) ·io mentionem fecit ver- , in quibus ipſa ſeſe cele- ı, *vaticinandi finem ne quidem facturam ſe*, ait: *in Luna circumire, mu- in eam quæ dicitur in apparere faciem: ſpi- autem aëri contempera- ſemper omnia ſuo motu rum: e corpore autem in mutato herbas ac mate- exſtituram, quibus ſacræ les nutriantur, varios co- lores, formas, et qualitates viſcerum habentes, unde hominibus futura præmonſtrentur.* Hæc Boëthus aperte deridebat. Tum hoſpes, Ut, inquit, hæc maxime fabularum videantur ſimilia, tamen vaticiniis teſtimonium ferunt multarum Græcarum urbium excidia atque migrationes, multorum barbaricorum exercituum irruptiones, imperiorum everſiones. Hæc vero quæ recens apud Cumas et Di-

χαιαρχίαν, οὐχ ὑμνούμενα πάλαι καὶ ᾀδόμενα διὰ τῶν Σιβυλλείων ὁ χρόνος ὥσπερ ὀφείλων ἀποδέδωκεν; ἐκρήξεις πυρὸς ὀρείου, καὶ ζέσεις θαλασσίας, καὶ πετρῶν καὶ φλεγμονῶν ὑπὸ πνεύματος ἀναῤῥίψεις, καὶ φθορὰς πόλεων ἅμα τοσούτων καὶ τηλικούτων ὡς μεθ' ἡμέραν ἐπελθοῦσιν ἄγνοιαν εἶναι καὶ ἀσάφειαν ὅπου καθίδρυτο τῆς χώρας συγκεχυμένης. Ταῦτα γὰρ εἰ γέγονε πιστεῦσαι χαλεπόν ἐστι, 1
μήτοι γε προειπεῖν ἄνευ θειότητος.

ι'. Καὶ ὁ Βόηθος, Ποῖον γὰρ, εἶπεν, ὦ δαιμόνιε, τῇ φύσει πάθος ὁ χρόνος οὐκ ὀφείλει; τί δὲ ἐστι τῶν ἀτόπων καὶ ἀπροσδοκήτων περὶ γῆν ἢ θάλασσαν, ἢ πόλεις, ἢ ἄνδρας, ὅ τις ἂν προειπὼν οὐ τύχοι γενομένου· καίτοι τοῦτόγε σχεδὸν οὐδὲ προειπεῖν ἐστιν, ἀλλ' εἰπεῖν, μᾶλλον δὲ ῥίψαι καὶ διασπεῖραι λόγους οὐκ ἔχοντας ἀρχὴν εἰς τὸ ἄπειρον· οἷς πλανωμένοις ἀπήντησε πολλάκις ἡ τύχη καὶ συνέπεσεν αὐτομάτως. Διαφέρει γὰρ,

F. 1. πιστεῦσαι] Exhibui lectionem codicum B. E. quam item expreſſit Amiotus. Vulgo πιστεῦσθαι. Ceterum hunc locum Xylander vertendo omiſit.

cæarchiam acciderunt, nonne pridem Sibyllinis decantata carminibus tempus veluti debens perſolvit? eruptionem inquam montani ignis, fervorem maris, ſaxorum et maſſarum flagrantium venti vi ejectionem, tot tantarumque ſimul urbium interitum, ut hodie qui ea loca accedunt, non poſſint cernere ubinam conditæ fuerint. Quæ vel credere difficile eſt, nedum prædicere ſine divinitate.

X. Quem vero, aiebat Boëthus, mi homo, effectum tempus non debet naturæ? quid non exſpectari poteſt eventurum terræ, mari, urbibus, hominibus, quod qui prædicat futurum, non erret? Immo fere non prædicere hoc eſt, ſed dicere, aut potius jacere et diſſeminare verba principio carentia in infinitatem: quibus vagantibus ſæpenumero occurrat fortuna, ut caſu eveniant. Diverſa enim ſunt

οἶμαι, γενέσθαι τὸ ῥηθὲν ἢ ῥηθῆναι τὸ γενησόμενον· ὁ γὰρ εἰπὼν τὰ μὴ ὑπάρχοντα λόγος ἐν ἑαυτῷ τὸ ἡμαρτημένον ἔχων, οὐ δικαίως ἀναμένει τὴν ἐκ τοῦ αὐτομάτου πίστιν, οὐδὲ ἀληθεῖ τεκμηρίῳ χρῆται τοῦ προειπεῖν
19 ἐπιστάμενος· μετὰ τὸ εἰπεῖν γενομένου, πάντα τῆς ἀπειρίας φερούσης καλ * δὲ ὁ μὲν εἰκάζων καλῶς, ὃν ἄριστον μάντιν ἀνηγόρευκεν ἡ παροιμία, ἰχνοσκοποῦντι καὶ στιβεύοντι διὰ τῶν εὐλόγων τὸ μέλλον ὅμοιός ἐστι· Σίβυλλαι δὲ αὗται καὶ Βάκιδες ὥσπερ εἰς πόντον ἀτεκμάρτως τὸν χρόνον κατέβαλον καὶ διέσπειραν ὡς ἔτυχε παντοδαπῶν ὀνόματα καὶ ῥήματα παθῶν καὶ συμπτωμάτων· οἷς, γινομένων ἐνίων ἀπὸ τύχης, ὁμοίως ψεῦδός ἐστι τὸ νῦν λεγόμενον, κἂν ὕστερον ἀληθῶς, εἰ τύχοι, γένηται.

B ια'. Τοιαῦτα τοῦ Βοήθου διελθόντος, ὁ Σεραπίων, Δίκαιον,

A. 1. προεῖπεν—Βάκιδες] Credo legendum προειπεῖν ἐπιστάμενος τῷ μετὰ τὸ εἰπεῖν γενομένῳ, πάντα τῆς ἀπειρίας φερούσης· ἀλλ' ὁ μὲν εἰκάζων κ. Aliter T. V. Senſum noſtræ correctionis vertendo expreſſimus. Ceterum Βάκιδες B. E. Xyl. pro vulgato Βάκχιδες.

A. 9. οἷς, γινομένων] Forte ἐν οἷς, vel ἐφ' οἷς.

hæc, puto, *fieri id quod dictum eſt*, et *dici quod futurum ſit*: et ſermo qui ea dicit quæ non ſunt, in ſeipſo vitioſus fruſtra exſpectat fidem quam ei caſus conciliet: neque, ſi poſtea evenit res, ex hoc eventu recte demonſtrat ſe ſcientem prædixiſſe; quippe infinitas omnia fert. At bene conjiciens, quem optimum vatem proverbium affirmat eſſe inveſtiganti per probabilia atque indaganti futurum ſimilis eſt. Sybillæ autem iſtæ et Bacides tanquam in mare promiſcue in tempus conjecerunt, et ut in buccam venit diſſeminaverunt nomina et verba omnis generis eventuum: quorum quædam cum fortuito evenerint, ſimiliter falſum eſt quod nunc dicitur, etiam ſi poſtmodo verum fiat re contingente.

XI. Hæc locuto Boëtho, Vera eſt, inquit Serapio, hæc

ἔφη, τὸ ἀξίωμα περὶ τῶν οὕτως λέγει Βόηθος ἀορίστως καὶ ἀνυποθέτως λεγομένων· ΕΙ ΝΙΚΗ ΣΤΡΑΤΗΓῼ ΠΡΟΕΙΡΗΤΑΙ, ΝΕΝΙΚΗΚΕΝ· ΕΙ ΠΟΛΕΩΣ ΑΝΑΙΡΕΣΙΣ, ΑΠΟΛΩΛΕΝ· ὅπου δὲ οὐ μόνον λέγεται τὸ γενησόμενον, ἀλλὰ καὶ πῶς καὶ πότε καὶ μετὰ τί καὶ μετὰ τίνος, οὐκ ἔστιν εἰκασμὸς τῶν τάχα γενησομένων, ἀλλὰ τῶν πάντως ἐσομένων προδήλωσις. Καὶ ταῦτα ἔστιν εἰς τὴν Ἀγησιλάου χωλότητα,

Φράζεο δὴ Σπάρτη, καίπερ μεγάλαυχος ἐοῦσα,
Μὴ σέθεν ἀρτίποδος βλάψῃ χωλὴ βασιλεία.
Δηρὸν γὰρ μόχθοι σε κατασχήσουσιν ἄελπτοι,
Φθισίβροτόν τ' ἐπὶ κῦμα κυλινδομένου πολέμοιο. C

Καὶ τὰ περὶ τῆς νήσου πάλιν, ἣν ἀνῆκεν ἡ περὶ Θήρας καὶ Θηρασίας θάλασσα. Καὶ περὶ τὸν Φιλίππου καὶ Ῥωμαίων πόλεμον·

Ἀλλ' ὁπότε Τρώων γενεὰ καθύπερθε γένηται
Φοινίκων ἐν ἀγῶνι, τότ' ἔσσεται ἔργα ἄπιστα·
Πόντος μὲν λάμψει πῦρ ἄσπετον, ἐκ δὲ κεραυνῶν
Πρηστῆρες μὲν ἄνω διὰ κύματος ἀΐξουσιν

B. 2. οὕτως λέγει] Sic libri. Corrigendum, vel λέγει Βόηθος περὶ τῶν οὕτως ἀορίστως κ. ἀν. λ. vel ut Xylander περὶ τῶν οὕτως, ὡς λέγει Βόηθος ἀορίστως κ. ἀν. λ. Mox οἷα καὶ ταῦτα ἐστιν Mez.

B. 10. Μὴ σέθεν] Sic Anon. Xyl. Mez. Plutarch. Vit. Ageſ. p. 597. C. Pauſanias III, 8.

ſententia de his quæ ita dicuntur ſicut Boëthus dixit, indefinite et incerto argumento: *Si victoria Imperatori prædicta fuit, vicit. Si urbi interitus, interiit.* Ubi autem non modo quid futurum ſit, ſed etiam quomodo, quando, qua occaſione, quo auctore, prædicitur: non hoc eſt conjectatio fortaſſe futuri, ſed certo futuri prædictio. Tale eſt oraculum de claudicatione Ageſilai:

Sparta cave, quamvis alte te gloria tollat,
Rex validæ tibi det pedibus ne incommoda claudis.
Namque inſperatos cogeris ferre labores,
Peſtiferoſque diu belli ſubſiſtere fluctus:

Et illud de inſula, quam ante Theram et Theraſiam edidit mare: deque bello Romanorum cum Philippo rege:

Sed quando Pœnos vincet Trojana propago,
Tunc incredibiles mortalibus evenient res,
Immenſa canum fulgebit tum mare flamma,
Fulminaque ardentes per cærula vaſta procellas

Ἄμμιγα σὺν πέτρᾳ· ἡ δὲ στρέψεται αὐτοῦ,
Οὐ φατὸς ἀνθρώποις νῆσος· καὶ χείρονες ἄνδρες
Χερσὶ βιησάμενοι, τὸν κρείσσονα νικήσουσι.

Τὸ γὰρ ἐν ὀλίγῳ χρόνῳ Ῥωμαίους τε Καρχηδονίων περιγενέσθαι
D καταπολεμήσαντας Ἀννίβαν· καὶ Φίλιππον, Αἰτωλοῖς συμβαλόντα καὶ Ῥωμαίοις, μάχῃ κρατηθῆναι· καὶ τέλος ἐκ βυθοῦ νῆσον ἀναδῦναι μετὰ πυρὸς πολλοῦ καὶ κλύδωνος ἐπιζέσαντος· οὐκ ἂν εἴποι τις ὡς ἀπήντησεν ἅμα πάντα καὶ συνέπεσε κατὰ τύχην αὐτομάτως· ἀλλ' ἡ τάξις ἐμφαίνει τὴν πρόγνωσιν. Καὶ τὸ Ῥωπαίους πρὸ ἐτῶν ὁμοῦ τι πεντακοσίων προειπεῖν τὸν χρόνον ἐν ᾧ ἅπαντα τὰ ἔθνη πολεμήσοιεν ἅμα· τοῦτο δὲ ἦν τὸ πολεμῆσαι τοῖς οἰκέταις ἀποστᾶσιν· ἐν τούτοις γὰρ οὐθὲν ἀτέκμαρτον, οὐδὲ τυφλὸν, ἀμφί τε τύχην ζητεῖν ἐν
E ἀπειρίᾳ ὁ λόγος· ἀλλὰ πολλὰ τῆς πείρας ἐνέχυρα δίδωσι, καὶ δείκνυσι τὴν ὁδὸν ᾗ βαδίζει τὸ πεπρωμένον. Οὐ γὰρ οἶμαί

D. 7. ὁμοῦ τι] Hoc dedimus ex E. Vulgo ὁμοῦ τοι pervulgata confuſione.
D. 10. ἀμφί τε τύχην] Non dubito quin corrigendum ſit ἀφίησι τῇ τύχῃ.

Torquebunt, ſaxumque ſimul: quod et inſula ſtabit
Firma loco, nulliqne hominum de nomine nota.
Tum quoque præſtantem ſuperabunt deteriores
Vi propria freti, atque invictæ robore dextræ.

Quod enim Romani brevi temporis ſpatio Carthaginienſes ſubegerunt debellato Annibale, et ab iiſdem ac Ætolis Philippus prælio victus eſt, ac tandem e profundo inſula erupit cum multo igne et undis bullientibus: hæc nemo dicere poteſt ſimul omnia fortuito caſu eveniſſe. Sed ordo prædictionem indicat: ut et hoc, quod Romanis ante annos fere quingentos prædictum eſt tempus, quo bellum adverſus omnes ſimul gentes geſturi eſſent: quod factum eſt, bello adverſus rebelles ſervos ſuſcepto. In his vero nihil eſt incertum, nihil obſcurum, et cujus cauſa eſſet a Fortuna repetenda: ſed multa experientiæ pignora præbentur, quæ viam monſtrat, qua fatum incedit. Non enim

oracula velabat incuſaverint: non tantum quia adverſaretur intelligentiæ in vero percipiendo, obſcuritatem et umbram dictis admiſcens: ſed quod jam tranſlationes et ænigmata atque ambiguitates, divinationis quaſi quoſdam fucos, et effugium quibus ea ſe tueretur ſi quid ſecus eveniſſet, ſuſpecta haberent. Multos quoque audiviſſes, qui dicerent poëtas quoſdam etiamnum apud Oraculum deſidere, qui voces exciperent, iiſque ſubito verſus et numeros tanquam vaſa quædam circumplicarent. Taceo quantum criminis oraculis attulerint Onomacriti illi, Prodotæ, et Kineſones, ut qui tragœdiam iis faſtumque ſupervacaneum appoſuiſſent, neque admitto iſtas calumnias. Maximam autem poeſi infamiam paraverunt circumforanei iſti

ἀγερσῖον καὶ περὶ τὰ μητρῷα καὶ σεράπεια βωμολόχον καὶ πλανώμενον γένος, οἱ μὲν αὐτόθεν, οἱ δὲ κατὰ κλῆρον ἔκ τινων γραμματίων χρησμοὺς περαίνοντες οἰκέταις καὶ γυναίοις ὑπὸ τῶν μέτρων ἀγομένοις μάλιστα καὶ τοῦ ποιητικοῦ τῶν ὀνομάτων. Ὅθεν οὐχ ἥκιστα ποιητικὴ δοκοῦσα κοινὴν ἐμπαρέχειν ἑαυτὴν ἀπατεῶσι καὶ γόησιν ἀνθρώποις καὶ ψευδομάντεσιν, ἐξέπεσε τῆς ἀληθείας καὶ τοῦ τρίποδος.

κϛ'. Οὐ τοίνυν θαυμάσαιμ' ἂν εἰ διπλόης τινὸς ἔδει καὶ περιαγωγῆς καὶ ἀσαφείας ἔστιν ὅτε τοῖς πα- D
λαιοῖς· οὐδὲ γὰρ ὁ δεῖνα κατέβαινε μὰ Δία περὶ ὠνῆς ἀνδραπόδου χρησόμενος, οὐδὲ ὁ δεῖνα περὶ ἐργασίας· ἀλλὰ πόλεις μέγα δυνάμεναι, καὶ βασιλεῖς καὶ τύραννοι μέτριον οὐδὲν φρονοῦντες, ἐνετύγχανον τῷ θεῷ περὶ πραγμάτων· οὓς ἀνιᾶν καὶ παροξύνειν ἀπεχθείᾳ πολλὰ τῶν ἀβουλήτων ἀκούοντας, οὐκ ἐλυσιτέλει τοῖς περὶ

D. 1. παλαιοῖς] Sic omnes libri B. E. Ald. Baſ. Xyl. At Steph. παλαιῆς forte errore. Proximum οὐδὲ γὰρ in E. eſt οὐ γάρ: fortaſſe, rectius.

et circulatores, et ſcurræ magnæ Matris deorum ac Serapidis vagi: quorum alii ex tempore, alii ſorte quadam ex quibuſdam libellis oracula dabant ſervis et mulierculis, quas maxime numeri et nomina poetica moverent. Quæ non minima fuit cauſa, cur poetica, quæ tanquam communem ſe videretur præbere impoſtoribus et præſtigiatoribus ac falſis vatibus, tripode et veritate arceretur.

XXVI. Non itaque miror ſi veteribus interdum opus fuit ambiguitate, circuitione, et obſcuritate quadam. Neque enim privatus aliquis profecto de emendo mancipio oraculum conſulebat, aut de conducendo opere: ſed civitates admodum potentes, regeſque et tyranni nihil moderatum cogitantes, Deum interrogabant de rebus publicis et imperio: quos irritare, multa reſpondendo eorum voluntatibus adverſa, non erat ex uſu eorum qui Oraculum pro-

τὸ χρηστήριον. Οὐ πείθεται γὰρ ὁ θεὸς τῷ Εὐριπίδῃ ὥσπερ νομοθετοῦντι καὶ λέγοντι, Φοῖβον ἀνθρώποις μόνον
E χρῆν θεσπιῳδεῖν· χρώμενος δὲ θνητοῖς ὑπηρέταις καὶ προφήταις, ὧν μήδεσθαι προσήκει καὶ φυλάττειν ὅπως ὑπ' ἀνθρώπων οὐκ ἀπολοῦνται πονηρῶν θεῷ λατρεύοντες, ἀφανίζειν μὲν οὐ θέλει τὸ ἀληθές, παρατρέπων δὲ τὴν δήλωσιν αὐτοῦ, καθάπερ αὐγὴν ἐν τῇ ποιητικῇ πολλὰς ἀνακλάσεις λαμβάνουσαν, καὶ πολλαχοῦ περισχιζομένην, ἀφῄρει τὸ ἀντίτυπον αὐτοῦ καὶ σκληρόν. Ἦν δὲ ἄρα καὶ τυράννους ἀγνοῆσαι καὶ πολεμίους μὴ προαισθέσθαι· τούτοις οὖν περιέβαλεν ὑπονοίας καὶ ἀμφιλογί-
F ας, αἳ πρὸς ἑτέρους ἀποκρύπτουσαι τὸ φραζόμενον, οὐ διέφευγον αὐτοὺς, οὐδὲ παρεκρούοντο τοὺς δεομένους καὶ προσέχοντας. Ὅθεν εὐηθέστατός ἐστιν ὁ τῶν πραγμάτων ἑτέρων γεγονότων, εἰ μηκέτι τὸν αὐτὸν ἡμῖν τρόπον ἀλλ' ἕτερον οἴεται δεῖν βοηθεῖν ὁ θεὸς, ἐγκαλῶν καὶ συκοφαντῶν.

D. 8. τῷ Εὐριπίδῃ ὥσπερ] Ita tranſpoſui. Vulgatum ὥσπερ τῷ Εὐριπίδῃ.
F. 5. βοηθεῖν ὁ θεός;] Sic Ald. Baſ. Xyl. B. E. Vulgo βοηθῶν ὁ θεῷ.

curabant. Nam non obtemperat Euripidi deus legem hanc ferenti, *Apollinem ſolum canere fata hominibus debere.* Ergo cum utatur adminiſtris et vatibus mortalibus, quorum eum par eſt curam gerere et cuſtodire eos, ne deo ſacri a malis interficiantur hominibus; non vult veritatem opprimere, ſed ejus explicationem poeſi pervertens, velut ſplendorem varie reflexum et in multas diffiſſum partes, duritiemque ejus hoc pacto et rigorem aufert. Poterant etiam tyranni ignorari, et bella non præſentiri: his igitur circumdabat ſuſpicioſa verba et ambigua: quorum ſententia aliis ignota, conſulentes non falleret, ſi animum adverterent. Stultiſſimus itaque eſt qui calumniatur et culpat quod rebus ita mutatis deus non quo ante, ſed alio nobis modo vult prodeſſe.

μέων χρήζοντα καὶ περιττῶν. Ὅπου δὲ ποικίλον οὐδὲν, οὐδὲ ἀπόρρητον, οὐδὲ δεινὸν ἀλλ' ἐπὶ πράγμασι μι- C
κροῖς καὶ δημοτικοῖς ἐρωτήσεις, οἷον ἐν σχολῇ προτάσεις, Εἰ γαμητέον, Εἰ πλευστέον, Εἰ δανειστέον· τὰ δὲ μέγιστα πόλεων μαντεύματα, φορᾶς καρπῶν πέρι, καὶ βοτῶν ἐπιγονῆς, καὶ σωμάτων ὑγείας· ἐνταῦθα περιβάλλειν μέτρα, καὶ πλάττειν περιφράσεις, καὶ γλώσσας ἐπάγειν πύσμασιν ἁπλῆς καὶ συντόμου δεομένοις ἀποκρίσεως, ἔργον ἐστὶ φιλοτίμου σοφιστοῦ καλλωπίζοντος ἐπὶ δόξῃ χρηστήριον. Ἡ δὲ Πυθία καὶ καθ' αὑτὴν μέν ἐστι γενναία τὸ ἦθος, ὅταν δὲ ἐκεῖ κατέλθῃ καὶ γένηται παρὰ τῷ θεῷ, πλέον * ἢ ἐκείνῃ μέλει δόξης, καὶ ἀνθρώ- D
πων ἐπαινούντων ἢ ψεγόντων.

κθ΄. Ἔδει δὲ ἴσως καὶ ἡμᾶς ἔχειν οὕτως· νῦν δὲ ὥσπερ ἀγωνιῶντες καὶ δεδιότες, μὴ τρισχιλίων ἐτῶν ἀπο-

C. 3. Εἰ πλευστέον, Εἰ δανειστέον] Bis repoſui Εἰ pro vulgato Ἤ.
D. 1. πλέον * ἢ ἐκείνῃ μέλει δόξης] Legendum ex Anon. Exempl. Turn. Mez. πλέον ἀληθείας ἐκείνῃ μέλει ἢ δόξης. Infra, ἀποδέχεσθαι ſumſimus ex B. et Xyl. pro ἀποδέχεσθε.

quiſitiſque indigeant. Ubi autem nihil eſt varium, arcanum, arduum, ſed rebus vilibus et vulgaribus quæſtiones tanquam in ſchola proponuntur, *An contrahendum matrimonium*, *An navigandum*, *An fœnerandum :* et ubi maximæ civitatum interrogationes, de frugum et pabuli proventu, de valetudine; ibi carmina circumponere, et fingere verborum ambages et notas quæſtionibus ſimplici et brevi reſponſo opus habentibus, ambitioſi fuerit ſophiſtæ, qui Oraculum gloriæ captandæ cauſa fucet. Pythia autem cum ipſa indole eſt generoſa: tum ſi deſcendit ad cortinam, et cum deo eſt, tum vero magis veritatem curat quam opinionem, et hominum vel laudes vel vituperationes.

XXIX. Ac fortaſſe nos quoque ſic debebamus eſſe affecti. Nunc veluti ſoliciti ne decus ter mille annorum locus

βάλῃ δόξαν ὁ τόπος, καὶ τοῦ χρηστηρίου καθάπερ σοφιστοῦ διατριβῆς ἀποφοιτήσωσιν ἔνιοι καταφρονήσαντες, ἀπολογούμεθα καὶ πλάσσομεν αἰτίας καὶ λόγους ὑπὲρ ὧν οὔτε ἴσμεν οὔτε εἰδέναι προσῆκον ἡμῖν ἐστι παραμυθούμενοι τὸν ἐγκαλοῦντα καὶ πείθοντες, οὐ χαίρειν ἐῶντες·

Αὐτῷ γὰρ οἱ πρῶτον ἀνιηρότεροι ἔσται,

E τοιαύτην ἔχοντι περὶ τοῦ θεοῦ δόξαν· ὥστε ταυτὶ μὲν τὰ προγεγραμμένα τῶν σοφῶν, τὸ ΓΝΩΘΙ ΣΑΥΤΟΝ, καὶ τὸ ΜΗΔΕΝ ΑΓΑΝ, ἀποδέχεσθαι, καὶ θαυμάζειν οὐχ ἥκιστα διὰ τὴν βραχυλογίαν, ὡς πυκνὸν καὶ σφυρήλατον νοῦν ἐν ὀλίγῳ περιέχουσαν ὄγκῳ· τοὺς δὲ χρησμοὺς, ὅτι συντόμως καὶ ἁπλῶς καὶ δι' εὐθείας τὰ πλεῖστα φράζουσιν, αἰτιᾶσθαι. Καὶ τὰ τοιαῦτα μὲν ἀποφθέγματα τῶν σοφῶν ταυτὸν τοῖς εἰς στενὸν συνθλιβεῖσι πέπονθε ῥεύμασιν· οὐ γὰρ ἔχει τοῦ νοῦ δίοψιν, οὐδὲ διαύγειαν, ἀλλ' ἐὰν σκοπῇς τί γέγραπται καὶ λέλεκται περὶ αὐτῶν τοῖς

E. 9. διαύγειαν] Recepi ex Anon. T. V. et ita lacunam explevi; quia certe libri auctoritatem habet lectio. Forte tamen Plutarchus ſcripſerit: δίοψιν, ὥσπερ οὐδ' ἐκεῖνα τοῦ βυθοῦ.

amittat, et oraculum quaſi ſophiſtæ alicujus ſcholam deſerant nonnulli contemnentes, defendimus et cauſas rationeſque fingimus de iis rebus quas neque ſcimus, neque ſcire nos convenit: incuſanteſque dictis conamur in aliam pertrahere ſententiam, quos miſſos facere potius debebamus. Etenim

Ante alios erit huic multo certe ægrius ipſi,

qui ſic de diis ſentit, ut hæc in aditu ſcripta ſapientum dicta, *Noris te ipſum*, *Ne quid nimis*, probet, admireturque haud minime ob brevitatem, quod ſolidam et compactam in exigua mole habent ſententiam: oracula autem culpet, quia breviter, ſimpliciter, ac recta pleraque indicant. Ac talibus quidem ſapientum dictis idem uſu venit, quod in anguſtias contruſis fluminibus; non enim perſpici quit ſenſus, neque perlucere: at ſi conſideres quid ſcriptum ſit et dictum de eis

ὅπως ἕκαστον ἔχει βουλομένοις καταμαθεῖν, οὐ ῥᾳδίως τούτων λόγους ἑτέρους εὑρήσεις μακροτέρους. Ἡ δὲ F
τῆς Πυθίας διάλεκτος, ὥσπερ οἱ μαθηματικοὶ γραμμὴν εὐθεῖαν καλοῦσι τὴν ἐλαχίστην τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν, οὕτως οὐ ποιοῦσα καμπὴν, οὐδὲ κύκλον, οὐδὲ διπλόην, οὐδὲ ἀμφιβολίαν, ἀλλὰ εὐθεῖα πρὸς τὴν ἀλήθειαν οὖσα, πρὸς δὲ πίστιν ἐπισφαλὴς καὶ ὑπεύθυνος, οὐδένα καθ' αὐτῆς ἔλεγχον ἄχρι νῦν παραδέδωκεν, ἀναθημάτων δὲ καὶ δώρων ἐμπέπληκε βαρβαρικῶν καὶ Ἑλληνικῶν τὸ χρηστήριον, οἰκοδομημάτων δὲ 409
κάλλεσι καὶ κατασκευαῖς Ἀμφικτυονικαῖς. Ὁρᾶτε δήπουθεν αὐτοὶ πολλὰ μὲν ἐπεκτισμένα τῶν πρότερον οὐκ ὄντων, πολλὰ δὲ ἀνειλημμένα τῶν συγκεχυμένων καὶ διεφθαρμένων· ὡς δὲ τοῖς εὐθαλέσι τῶν δένδρων ἕτερα παραβλαστάνει, καὶ τοῖς Δελφοῖς ἡ Πυλαία συνηβᾷ καὶ συναναβόσκεται, διὰ τὰς ἐντεῦθεν εὐπορίας σχῆμα λαμβάνουσα καὶ μορφὴν καὶ κόσμον ἱερῶν καὶ συν-

F. 6. ἐπισφαλὴς] Haud ſcio an corrigendum ſit ἐπιφανὴς, vel εὐλαβὴς.

ab his qui ſingulorum ſcrutati ſunt ſententiam, non facile ullas prolixiores invenies diſputationes. Enimvero, ut lineam rectam mathematici vocant breviſſimum ab uno ad alterum termino ductum, ſic Pythiæ ſermo abſque ullo flexu, circuitu, ambiguitate, fraude, recta ad veritatem proficiſcens, quanquam de ſua fide cauſæ dictionem non poſſit detrectare, tamen falſi a nemine in hunc uſque diem convicta eſt: ſed donariis barbaricis Græcanicisque oraculum opplevit, ædificiorum autem et Amphictyonicorum apparatuum elegantia. Videtis nimirum ipſi pleraque iis adjecta, quæ antehac non erant, multa eorum quæ jam ruinam traherent et peſſum irent refecta. Sicut vero arboribus fœcundis aliæ ſuppullulant: ita etiam juxta Delphos pubeſcit et adoleſcit Pylæa ob copiam eorum quæ hic ſunt, ſpeciem adepta formamque, et ornatum templorum, curia-

ἑδρίων καὶ ὑδάτων, οἷον ἐν χιλίοις ἔτεσι τοῖς πρότερον οὐκ ἔλαβεν. Οἱ μὲν οὖν περὶ τὸ Γαλάξιον τῆς Βοιω-
B τίας κατοικοῦντες ᾔσθοντο τοῦ θεοῦ τὴν ἐπιφάνειαν, ἀφθονίᾳ καὶ περιουσίᾳ γάλακτος, "Προβάτων γὰρ ἐκ πάν-
"των κελάρυζεν, ὡς ἀπὸ κρηνάων φέρτατον ὕδωρ, θῆ-
"λεον γάλα· τοὶ δ' ἐπίμπλων ἐσσύμενοι πίθους· ἀσ-
"κὸς δ' οὔτε τις ἀμφορεὺς ἐλίννυε δόμοις, πέλλαι δὲ
"ξύλινοι πίθοι πλᾶσθεν ἅπαντες." Ἡμῖν δὲ λαμπρότερα καὶ κρείττονα καὶ σαφέστερα σημεῖα τούτων ἀναδίδωσιν, ὥσπερ ἐξ αὐχμοῦ τῆς πρόσθεν ἐρημίας καὶ πενίας, εὐπορίαν καὶ λαμπρότητα καὶ τιμὴν πεποιηκώς. Καίτοι φιλῶ μὲν ἐμαυτὸν ἐφ' οἷς ἐγενόμην εἰς τὰ πράγ-
C ματα ταῦτα πρόθυμος καὶ χρήσιμος μετὰ Πολυκράτους καὶ Πετραίου, φιλῶ δὲ τὸν καθηγεμόνα ταύτης τῆς πολιτείας γενόμενον ἡμῖν καὶ τὰ πλεῖστα τούτων ἐκφροντίζοντα καὶ παρασκευάζοντα * ἀλλ' οὐκ ἔστιν ἄλλως ὅτι

C. 4. παρασκευάζοντα * ἀλλ' οὐκ] Hic item loco lacunæ aſteriſcum poſuimus quod, aut nihil, aut pauca deeſſent. Nihil adeo deeſſe videatur ſi ὅτι mutes in ἔτι *adhuc, his præſertim temporibus:* obſcuritas erat in καθηγεμόνα qua voce quum ſe ipſe ſignificaret Plutarchus, ab ignorante librario ſignum lacunæ poſitum eſt.

rum, aquarumque luſtralium, quantum mille ab annis præcedentibus non habuit. Equidem ad Galaxium Bœotiæ qui habitant, abundantia lactis ſenſerunt præſentiam dei:

Cum lac, ceu latices de fontibus, emanaret:
Doliaque implerent avide tunc amphoræ et utres,
Seria tunc albo turgeret cuncta liquore,
Mulctraque, et e ligno diſtentas rumperet urnas
Humor, nec vacuas ſuperarent vaſa per ædes.

Nobis autem Apollo ſplendidiora, meliora, et apertiora his ſigna præbuit, ex tanto qui præceſſit ſqualore, ſolitudine et pauperie, ad tantas copias, ſplendorem, honoremque nos evehens. Ego ſane amo me ipſum eo nomine, quod ad has res factus ſum alacer et utilis cum Polycrate et Petræo: amo etiam eum qui nobis hujus conditionis autor duxque fuit, et pleraque horum excogitavit atque adornavit * Sed fieri non potuit

τηλικαύτην καὶ τοσαύτην μεταβολὴν ἐν ὀλίγῳ χρόνῳ γενέσθαι δι' ἀνθρωπίνης ἐπιμελείας, μὴ θεοῦ παρόντος ἐνταῦθα καὶ συνεπιθειάζοντος τὸ χρηστήριον.

λ'. Ἀλλ' ὥσπερ ἐν τοῖς τότε χρόνοις ἦσαν οἱ τὴν λοξότητα τῶν χρησμῶν καὶ ἀσάφειαν αἰτιώμενοι, καὶ νῦν εἰσιν οἱ τὸ λίαν ἁπλοῦν συκοφαντοῦντες· ὧν καὶ ἄδικόν ἐστι κομιδῇ καὶ ἀβέλτερον τὸ πάθος. Καὶ γὰρ οἱ παῖδες ἴριδας μᾶλλον καὶ ἅλως καὶ κομήτας, ἢ σελήνην καὶ ἥλιον ὁρῶντες γεγήθασι καὶ ἀγαπῶσι· καὶ οὗτοι τὰ αἰνίγ- D
ματα καὶ τὰς ἀλληγορίας καὶ τὰς μεταφοράς, τῆς μαντικῆς ἀνακλάσεις οὔσας πρὸς τὸ θνητὸν καὶ φανταστικόν, ἐπιποθοῦσι· κἂν τὴν αἰτίαν μὴ ἱκανῶς πύθωνται τῆς μεταβολῆς, ἀπίασι τοῦ θεοῦ καταγνόντες, οὐχ ἡμῶν οὐδὲ αὐτῶν ὡς ἀδυνάτων ὄντων ἐξικνεῖσθαι τῷ λογισμῷ πρὸς τὴν τοῦ θεοῦ διάνοιαν.

C. 10. ἄδικον] Forte παιδικόν.

ut tam ingens mutatio tantillo temporis ſpatio accideret hominum induſtria, deo non præſente, et divinitatem oraculo largiente.

XXX. Verum ſicut olim fuere qui perplexitatem oraculorum obſcuritatemque vituperarent: ita hodie etiam ſunt, qui nimiam calumnientur ſimplicitatem: admodum ipſi et injuſte et fatue affecto animo. Nam pueri quando arcus cœleſtes, areas circa Solem aut Lunam, cometaſve vident, magis delectantur quam Sole aut Luna conſpectis. Eodem modo hi ænigmata et allegorias tranſlatas dictiones, quæ reflectionibus Divinationis ad mortalem et imaginantem vim animi conſtat, deſiderant: cujus quando cauſam non ſatis audiunt, abeunt deo culpam imputantes, non nobis neque ſibi ipſis: ut qui virium tantum non habeamus uti noſtra ratione aſſequi dei cogitationem poſſimus.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΩΝ ΕΚΛΕΛΟΙΠΟΤΩΝ ΧΡΗΣΤΗΡΙΩΝ.

ΠΡΟΣΩΠΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ.

ΛΑΜΠΡΙΑΣ.
ΚΛΕΟΜΒΡΟΤΟΣ.
ΔΙΔΥΜΟΣ.
ΦΙΛΙΠΠΟΣ.
ΔΗΜΗΤΡΙΟΣ.
ΑΜΜΩΝΙΟΣ.
ʽΗΡΑΚΛΕΩΝ.

PERSONÆ DIALOGI.

LAMPRIAS.
CLEOMBROTUS.
DIDYMUS.
PHILIPPUS.
DEMETRIUS.
AMMONIUS.
HERACLEO.

E # ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΩΝ ΕΚΛΕΛΟΙΠΟΤΩΝ ΧΡΗΣΤΗΡΙΩΝ.

PLUTARCHI

DE

DEFECTU ORACULORUM.

α'. ΑΕΤΟΥΣ τινας ἢ κύκνους, ὦ Τέρεντιε Πρίσκε, μυθολογοῦσιν ἀπὸ τῶν ἄκρων τῆς γῆς ἐπὶ
F τὸ μέσον φερομένους εἰς ταυτὸ συμπεσεῖν Πυθοῖ, περὶ τὸν καλούμενον ὀμφαλόν· ὕστερον δὲ χρόνῳ τὸν Φαίστιον Ἐπιμενίδην ἐλέγχοντα τὸν μῦθον ἐπὶ τοῦ θεοῦ, καὶ λαβόντα χρησμὸν ἀσαφῆ καὶ ἀμφίβολον, εἰπεῖν,

I. AQUILAS quaſdam, Terenti Priſce, aut olores, fabulantur ab extremis terræ partibus ad medium ejus volatu tendentes Pythiæ eodem conveniſſe ad locum, cui Omphalo (id eſt umbilico) nomen eſt. Poſtea autem temporis Phæſtium Epimenidem fabulam hanc vanitatis coarguiſſe apud Deum: cumque oraculum accepiſſet ambiguum atque obſcurum, dixiſſe,

ριόδοις ὑπὸ μακρὰν ἀφεστώσαις, ἢ τὸ μέτρον ἑαυτοῖς τοῦ D
ἐλαίου, προσέχοντας ἀεὶ διὰ τὴν ἀτοπίαν τῷ παρα-
λόγῳ καὶ παραφυλάττοντας. Τὸ δὲ μικρὰ μὴ διδό-
ναι σημεῖα γίνεσθαι μεγάλων, ὦ Δημήτριε, πολλαῖς
ἐπὶ τέχναις ἐμποδών· ἐπεὶ καὶ πολλῶν μὲν ἀποδείξεις
παραιρεῖσθαι συμβήσεται, πολλῶν δὲ προαγορεύσεις.
Καίτοι καὶ ὑμῖν οὐ μικρὸν ἀποδείκνυται πρᾶγμα, λεαί-
νεσθαι ξυρῷ τὰ σώματα τοὺς ἥρωας· ἐντυχόντες γὰρ
Ὁμήρῳ ξυρὸν ὀνομάσαντι· καὶ δανείζειν ἐπὶ τόκοις, ὅτι
που χρέος συμβάλλεσθαί φησιν, ὅτι νέον, οὐδὲ ὀλίγον,
ὡς τοῦ ὠφελεῖσθαι τὸ αὔξεσθαι δηλοῦντος· αὖθις δὲ τὴν E
νύκτα θοὴν εἰπόντος, ἀγαπητῶς ἐμφύεσθε τῷ ῥήματι, καὶ
τοῦτ᾽ ἐκεῖνο φατὲ φράζεσθαι τὴν σκιὰν τῆς γῆς ὑπ᾽
αὐτοῦ κωνικὴν οὖσαν ἀπὸ σφαιροειδοῦς. Ἰατρικὴν δὲ

D. 7. καὶ ὑμῖν] Venet. 1. T. Xyl. pro vulgato καὶ ἡμῖν. Magis etiam placet conjectura Mez. καὶ ὑμεῖς οὐ μικρὸν ἀποδεικνύντι πρᾶγμα—ἥρωας, ἐντυχόντες Ὁμήρῳ &c.

D. 10. συμβάλλεσθαι] Legendum ὀφέλλεσθαι ex Homero.

E. 2. ἐμφύεσθε] Venet. a ſecunda manu. T. Xyl. Mez. pro vulgato ἐμφύεσθαι.

fefellerit annorum, quam iſtos olei menſura, cum ob inſolentiam rei quæ evenit ſemper accurate obſervent eam. Jam multis artibus impedimento fuerit, Demetri, qui non concedat exigua magnorum eſſe argumenta: atque hac ratione multarum artium demonſtrationes, multarum prædictiones perimentur. Sane vos quoque rem non parvam demonſtratis, *Heroës corpora ſua ſolitos lævigare novacula*, eo quod apud Homerum in mentionem novaculæ incidiſtis: et *antiquum eſſe pecuniam in fœnore ponere docetis*, quod apud eundem quidam dicit:

Namque hic augetur mihi magna pecunia pridem.

augeri enim interpretamini fœnerando: rurſum noctem eo *acutam* cognominante, arripitis hoc dictum cupide, atque hoc ipſum traditis eſſe, quod umbra terræ quippe globoſæ, turbinis ſeu metæ figuram habeat. Præterea quis

λοιμώδεις θέρος ἀραχνίων πλήθει προδηλοῦν, καὶ θρίοις ἐαρινοῖς, ὅταν κορώνης ποδὶ ἐίκελα γίνηται, τίς ἐάσει τῶν ἀξιούντων μικρὰ σημεῖα μὴ γίνεσθαι τῶν μεγάλων; Τίς δ' ἀνέξεται πρὸς χόα καὶ κοτύλην ὕδατος τὸ τοῦ ἡλίου μέγεθος μετρούμενον· ἢ τῆς ἐνταῦθα πλινθίδος, ἣ ποιεῖ γωνίαν ὀξεῖαν κεκλιμένην πρὸς τὸ ἐπίπεδον, μέ- F τρον εἶναι λεγομένην τοῦ ἐξάρματος, ὃ ἐξῆρται τῶν πόλων ὁ ἀεὶ φανερὸς ἀπὸ τοῦ ὁρίζοντος. Ταῦτα γὰρ ἦν ἀκούειν τῶν ἐκεῖ προφητῶν· ὥστε ἄλλο τι λεγόντων πρὸς αὐτοὺς, εἰ βουλόμεθα τῷ ἡλίῳ κατὰ τὰ πάτρια τὴν νενομισμένην τάξιν ἀπαράβατον ποιεῖν.

δ'. Παρὼν οὖν ἀνεφώνησεν Ἀμμώνιος ὁ φιλόσοφος, Οὐ τῷ ἡλίῳ μόνον εἰπεῖν, ἀλλὰ τῷ οὐρανῷ παντί. Συστέλλεσθαι γὰρ ἀνάγκη τὴν ἀπὸ τροπῶν ἐπὶ τροπὰς πάρο-

F. 3. λεγόντων] Mez. λέγωμεν. Vulgata ſi vera eſt, requirere videatur οἱ βουλόμενοι pro εἰ βουλόμεθα. In fine ποιεῖν ſumſimus ab Schott. Pol. Leonic. Exempl. Turn. Forte latet τηρεῖν.

F. 7. εἰπεῖν] Lege εἶπεν ut Xyl.

medicos peſtilentem æſtatem prædicere ex telarum aranearum multitudine, aut vernis fici foliis cornicis pedem referentibus patietur, qui contendat parva magnorum non poſſe eſſe indicia? Quis menſuram Solis ad congium heminamve explorari ſinet? aut laterculum hunc, qui ad ſuperficiem ſoli acutum angulum ſua inclinatione facit, menſuram eſſe concedet altitudinis ejus, in quam mundi vertex ſemper conſpicuus ſupra horizontem attollitur? Iſta enim ex Ammonis ſacerdotibus audire licebat. Aliud ergo quærendum eſt quo eos oppugnemus, ſi volumus oſtendere, ſicut a majoribus noſtris accepimus, Solis motum eodem ordine conſtare, neque ab eo unquam deſciſcere.

IV. Hic Ammonius philoſophus, intererat enim colloquio, Non ſolis duntaxat, exclamans aiebat, ſed totius adeo cœli cauſa agitur. Si enim anni decreſcunt, neceſſe eſt iter Solis quod ab unius ſolſtitii puncto ad alterum ten-

φήτης φωνῇ Αἰολίδι χρώμενος, τὸ πρὸς τοὺς τῶν βαρβάρων χρήσιμον ἐξήνεγκεν· ὥστε μηδένα ξυνεῖναι ἀγίων τῶν παρόντων ὃν ἐκεῖνον ὡς τοῦ ἐνθουσιασμοῦ τι τοῖς βαρβάροις οὐκ ἔστιν· οὐ δέδοται φωνὴν Ἑλληνίδα λαβεῖν τὸ προσταττόμενον ὑπηρετοῦσαν. Ὁ δὲ πεμφθεὶς εἰς Ἀμφιάρεω δοῦλος ἔδοξε κατὰ τοὺς ὕπνους ὑπηρέτην τοῦ θεοῦ φανέντα, πρῶτον μὲν ἀπὸ φωνῆς ἐκβάλλειν αὐτὸν, ὡς τοῦ θεοῦ μὴ παρόντος, ἔπειτα ταῖς χερσὶν ὠθεῖν, ἐπιμένοντος δὲ, λίθον εὐμεγέθη λαβόντα τὴν B κεφαλὴν πατάξαι· ταῦτα δ' ἦν ὥσπερ ἀντίφωνα τῶν γενησομένων· ἡττήθη γὰρ ὁ Μαρδόνιος, οὐ Βασιλέως ἀλλ' ἐπιτρόπου καὶ διακόνου βασιλέως ἡγουμένου τῶν Ἑλλήνων, καὶ λίθῳ πληγεὶς ἔπεσεν, ὥσπερ ὁ Λυδὸς ἔδοξε πληγῆναι κατὰ τοὺς ὕπνους. Ἤκμαζε δὲ τότε καὶ τὸ περὶ τὰς Τεγύρας χρηστήριον, ὅπου καὶ γενέσθαι τὸν θεὸν ἱστοροῦσι, καὶ ναμάτων δυεῖν παραῤῥεόντων, τὸ μὲν, Φοίνι-

A. 8. δοῦλος—παρόντος] Legendum Λυδὸς—παριέντος.

trunque tunc conſuluit Mardonius. Sed antiſtes Ptoi Oraculi, qui antea Æolica uteretur lingua, tunc barbarica reſponſum edidit; ut præſentium civium nemo intelligeret, quam ſententiam illud reſponſum haberet: at barbarus divinationem antiſtitis percepit, nec opus habuit Græcam interpretem linguam quærere quæ ipſi juſſum oraculi interpretaretur. Servus autem qui miſſus erat ad Amphiarai, per quictem imaginatus eſt apparere ſibi miniſtrum dei, ab eo primum verbis ſe ejici fano, deum abeſſe dicente: deinde manibus pulſatum: cum perſtaret, magno ſaxo ab eo in caput ictum eſſe. Atque hæc quaſi vocis loco fuerunt futura denunciantis. Victus eſt enim Mardonius non rege, ſed regis procuratore et miniſtro Græcos ducente, et ſaxo ictus cecidit, ſicut Lydus ſe percuſſum in ſomnis putaverat. Floruit tum etiam apud Tegyras oraculum, ubi natum Apollinem aiunt, duorumque alluentium rivorum

κε, θάτερον δ' Ἐλαίαν καλεῖσθαι ἄχρι νῦν, ὡς ἔνιοι λέγουσιν. Ἐν μὲν οὖν τοῖς Μηδικοῖς Ἐχεκράτους προ-
C φητεύοντος, ἀνεῖλε νίκην καὶ κράτος πολέμου τοῖς Ἕλλησιν ὁ θεός. Ἐν δὲ τῷ Πελοποννησιακῷ πολέμῳ Δηλίοις ἐκπεσοῦσι τῆς νήσου φασὶ χρησμὸν ἐκ Δελφῶν κομισθῆναι, προστάττοντα τὸν τόπον ἀνευρεῖν ἐν ᾧ γέγονεν ὁ Ἀπόλλων, καὶ θυσίας τινὰς ἐκεῖ τελέσαι· θαυμαζόντων δὲ καὶ διαπορούντων, εἰ μὴ παρ' αὐτοῖς ὁ θεὸς ἀλλ' ἑτέρωθι ἐγεγόνει, τὴν Πυθίαν προσανελεῖν ὅτι κορώνη φράσει τὸ χωρίον αὐτοῖς· ἀπιόντας οὖν ἐν Χαιρωνείᾳ γενέσθαι, καὶ τῆς πανδοκευτρίας ἀκοῦσαι, πρός τινας ξένους βαδίζοντας εἰς Τεγύρας περὶ τοῦ χρηστηρίου διαλεγομένης· τῶν δὲ ξένων ὡς ἀπῄεσαν ἀσπαζομένων καὶ προσαγορευόντων τὴν ἄνθρωπον, ὅπερ ὠνομάζετο, Κορώνην, συν-
D εἶναι τὸ λόγιον, καὶ θύσαντας ἐν ταῖς Τεγύραις τυχεῖν καθόδου μετ' ὀλίγον χρόνον. Γεγόνασι δὲ καὶ νεώτεραι

C. 8. ἀπιόντας] Sic Ald. Baſ. Xyl. A. B. D. E. Venet. 1. 2. Colleg. Nov. P. At Stephanus ἐπιόντας perperam ex Schott. Jannot. Coll. Muret.

alterum Phœnicem (palmam arborem,) alterum Elæam (oleam) quidam etiamnum nominant. Medici belli tempore, Echecrate vaticinante, deus victoriam Græcis et robur prædixit. Bello autem Peloponneſiaco Deliis inſula ſua exturbatis oraculum Delphis allatum ferunt, quo juberentur locum quærere, quo in loco natus fuiſſet Apollo, ibique ſacrificia quædam peragere: mirantibuſque, et dubitatione perculſis quod non in Delo ſed alibi natus Apollo diceretur, addidiſſe Pythiam, cornicem eis locum indicaturum. Profectos deinde Chæroneam veniſſe, et ibi mulierem, in cujus cauponam diverterant, audiviſſe cum hoſpitibus quibuſdam Tegyras euntibus de oraculo colloquentem, eoſque digredientes eam Cornicem (hoc enim erat mulieri nomen) conſalutantes: atque ſic oraculi ſententia percepta, Tegyris rem ſacram feciſſe, neque multo poſt tempore reditum in patriam conſecutos fuiſſe. Re-

τούτων ἐπιφάνειαι περὶ τὰ μαντεῖα ζῶντα, νῦν δ' ἐκλέλοιπεν· ὥστε τὴν αἰτίαν ἄξιον εἶναι παρὰ τῷ Πυθίῳ διαπορῆσαι τῆς μεταβολῆς.

ϛ'. Ἤδη δέ πως ἀπὸ τοῦ νεὼ προϊόντες ἐπὶ ταῖς θύραις τῆς Κνιδίων λέσχης ἐγεγόνειμεν· παρελθόντες οὖν εἴσω, τοὺς φίλους πρὸς οὓς ἐβαδίζομεν, ἑωρῶμεν καθημένους, καὶ περιμένοντας ἡμᾶς· ἦν δὲ τῶν ἄλλων ἡσυχία διὰ τὴν ὥραν, ἀλειφομένων ἢ θεωμένων τοὺς ἀθλητάς. Καὶ ὁ Δημήτριος διαμειδιάσας, Ψεύσομαι, εἶπεν, ἢ ἔτυμον ἐρέω; δοκεῖτέ μοι μηδὲν ἄξιον σκέμμα[1] διὰ χειρῶν ἔχειν· ὁρῶ γὰρ ὑμᾶς ἀνειμένως σφόδρα καθημένους καὶ διακεχυμένους τοῖς προσώποις. Ὑπολαβὼν οὖν ὁ Μεγαρεὺς Ἡρακλέων, Οὐ γὰρ ζητοῦμεν, ἔφη, τὸ ΒΑΛΛΩ ῥῆμα, πότερον τῶν δύο τὸ ἓν λάμβδα κατὰ τὸν μέλλοντα χρόνον ἀπόλλυσιν, οὐδ' ἀπὸ τίνων ἁπλῶν ὀνομάτων τὸ ΧΕΙΡΟΝ καὶ τὸ ΒΕΛΤΙΟΝ, καὶ τὸ

centiora etiam horum oraculorum documenta exſtiterunt: quæ oracula cum prorſus jam obmutuerint, operæ pretium eſt nos, cum apud Apollinem Pythium convenerimus, cauſam mutationis quærere.

VI. Dum hæc colloquimur, interea a templo progreſſi ad fores curiæ (ſeu leſchæ) venimus, in quam Cnidii ſolebant coire: ingreſſi, amicos, quos volebamus conventos, ſedentes offendimus et adventum noſtrum præſtolantes. Quieſcentibus ibi tum reliquis, quod ea diei erat hora, ut vel ungerentur, vel athletas ſpectarent, Demetrius leniter ſubridens:

Mentiar, an potius verum eloquar?—

inquit, nihil mihi præ manibus habere videmini, quod dignum diſquiſitione ſit: adeo vos ego otioſos et vultibus in hilaritatem ſolutis hic deſidere conſpicor. Ejus verba excipiens Heracleo Megarenſis, Non enim, ait, quærimus quæ ſit ratio quod Βάλλω habeat Futurum βαλῶ, uno, e duobus, Lambda abjecto: nec a quo ſimplici principio profecta ſint χεῖρον ac βέλτιον, item

ΧΕΙΡΙΣΤΟΝ καὶ τὸ ΒΕΛΤΙΣΤΟΝ ἐσχημάτισαι· ταῦτα γὰρ F ἴσως καὶ τὰ τοιαῦτα συντείνει καὶ συνίστησι τὸ πρόσωπον· τὰ δ' ἄλλα ἔξεστι τὰς ὀφρῦς κατὰ χώραν ἔχοντας φιλοσοφεῖν καὶ ζητεῖν, ἀτρέμα μὴ δεινὸν βλέποντας, μηδὲ χαλεπαίνοντας τοῖς παροῦσιν. Δέξασθε οὖν, ὁ Δημήτριος, ἡμᾶς, ἔφη, καὶ μεθ' ἡμῶν λόγον ὃς δὴ προσπέπτωκεν ἡμῖν οἰκεῖος ὢν τοῦ τόπου, καὶ διὰ τὸν θεὸν ἅπασι προσήκων· καὶ ὅπως οὐ συνάξετε τὰς ὀφρῦς ἐπιχειροῦντες σκοπεῖτε.

ζ. Ὡς οὖν ἀνεμίχθημεν διακαθεζόμενοι, καὶ προὔ-
13 βαλεν εἰς μέσον ὁ Δημήτριος τὸν λόγον, εὐθὺς ἀναπηδήσας ὁ κυνικὸς Δίδυμος, ἐπίκλησιν Πλανητιάδης, καὶ τῇ βακτηρίᾳ δὶς ἢ τρὶς πατάξας, ἀνεβόησεν, Ἰοὺ ἰοὺ, δύσκριτον πρᾶγμα καὶ ζητήσεως δεόμενον πολλῆς, ἥκετε κομίζοντες ἡμῖν· θαυμαστὸν γάρ ἐστιν εἰ τοσαύτης κακίας ὑποκεχυμένης μὴ μόνον, ὡς προεῖπεν Ἡσίο-

A. 5. εἰ τοσαύτης] Sic A. D. Venet. 1. 2. P. Colleg. Nov. Schott. Jannot. Coll. Mur. Baſ. Xyl. At Steph. et ceteri εἰ εἰς τοσαύτης.

χείριστον ac βέλτιστον. Hæc enim et alia id genus corrugant frontem: de aliis licet placide diſputare ac inquirere, ſuperciliis quietis, et abſque vultus triſtitia, aut adverſus præſentes moroſitate. Nos ergo, inquit Demetrius, accipite, et quæſtionem in quam incidimus, hujus loci propriam, et Apollinis cauſa ad omnes pertinentem: ac videte, ne inter ratiocinandum ſupercilia adducatis.

VII. Poſtquam permixti eis adſedimus, et quæſtionem in medium propoſuit Demetrius, confeſtim proſiluit Cynicæ ſectæ philoſophus Didymus, cognomento (quod ei a vagando tanquam erroni factum probabile videtur) Planetiades; ac ſcipione duobus aut tribus editis ictibus exclamavit, Eho, eho, ſcilicet rem difficilem et multæ indigentem diſquiſitionis adfertis nobis: enimvero, tanta malitia per humanum diſſipata genus, mirum eſt, ſi non tantum,

δος, αἰδὼς καὶ νέμεσις τὸν ἀνθρώπινον βίον ἀπολελοίπασιν, ἀλλὰ καὶ πρόνοια θεῶν συσκευασαμένη τὰ χρηστήρια πανταχόθεν οἴχεται. Τοὐναντίον δ' ὑμῖν ἐγὼ προβάλλω διαπορῆσαι, πῶς οὐχὶ καὶ τότε ἀπείρηκεν, οὐδ' Ἡρακλῆς αὖθις ἤ τις ἄλλος θεῶν ὑπέσπασε τὸν τρίπο- B
δα, καταπιμπλάμενον αἰσχρῶν καὶ ἀθέων ἐρωτημάτων, ἃ τῷ θεῷ προβάλλουσιν, οἱ μὲν ὡς σοφιστοῦ διάπειραν λαμβάνοντες, οἱ δὲ περὶ θησαυρῶν ἢ κληρονομιῶν, ἢ γάμων παρανόμων διερωτῶντες· ὥστε κατὰ κράτος ἐξελέγχεσθαι τὸν Πυθαγόραν εἰπόντα, βελτίστους ἑαυτῶν γίνεσθαι τοὺς ἀνθρώπους ὅταν πρὸς τοὺς θεοὺς βαδίζωσιν· οὕτως ἃ καλῶς εἶχεν, ἀνθρώπου πρεσβυτέρου παρόντος ἀρνεῖσθαι καὶ ἀποκρύπτειν νοσήματα τῆς ψυχῆς καὶ πάθη, ταῦτα γυμνὰ καὶ περιφανῆ κομίζουσιν ἐπὶ τὸν θεόν. Ἔτι δὲ αὐτοῦ βουλομένου λέγειν, ὅ, τε Ἡρακλέων ἐπελάβετο τοῦ τρίβωνος, κἀγὼ, σχεδὸν ἁπάντων αὐτῷ συνηθέστατος ὤν, C
Παῦε, ἔφην, ὦ φίλε Πλανητιάδη, παροξύνων τὸν θεὸν

quod prædixit Heſiodus, Verecundia et Juſta indignatio (quæ Nemeſis dicitur) humanam reliquerunt vitam, ſed Providentia etiam divina convaſatis Oraculis omnino abiit. Immo ego hoc contra vobis diſputandum propono, cur non jamdudum ab edendis oraculis animum Apollo averterit, aut ei Hercules rurſum aliuſve deorum tripodem ſuſtulerit, oppletum obſcenis et impiis quæſtionibus, quas deo proponunt; alii eum tanquam ſophiſtam tentantes, alii de theſauris, hæreditatibus, inceſtiſve nuptiis ſententiam ſcitantes; ut quidem palam coarguatur Pythagoras erroris, qui tunc ſibi ipſis maxime præſtare, quod ad probitatem attinet, homines dixerit, quando ad deos accedunt: cum quæ convenit vitia aut perturbationes animi coram ſeniore homine inficiari atque tegere, ea aperta ac nuda homines deo exponant. Plura dicturi lacernam Heracleo arripuit: et ego, de toto numero fere ei maxime familiaris, Deſine, aiebam, mi Planetiade, laceſſere deum irritabilem,

ηπος γὰρ ἐστι καὶ οὐ πρᾶος, κατεκρίθη δὲ θνα-
ἀγανώτατος ἔμμεν, ὥς φησιν ὁ Πίνδαρος· καὶ εἴτε
ἐστιν εἴτε κύριος ἡλίου καὶ πατὴρ, καὶ ἐπέκεινα τοῦ
οῦ παντὸς, οὐκ εἰκὸς ἀπαξιοῦν φωνῆς τοὺς νῦν ἀν-
πους, οἷς αἴτιός ἐστι γενέσεως καὶ τροφῆς, καὶ τοῦ εἶ-
αι φρονεῖν· οὐδ᾽ ἅμα τὴν πρόνοιαν, ὥσπερ εὐγνώ-
μητέρα καὶ χρηστὴν, πάντα ποιοῦσαν ἡμῖν καὶ
ττουσαν, ἐν μόνῃ μνησικακεῖν τῇ μαντικῇ, καὶ
ην ἀφαιρεῖσθαι ἣν ἔδωκεν ἐξ ἀρχῆς· ὥσπερ οὐχὶ καὶ
πλειόνων ὄντων ἐν πλείοσιν ἀνθρώπων πονηρῶν, ὅτε
αχόθεν τῆς οἰκουμένης χρηστήρια καθειστήκει. Δεῦρο
άλιν καθίσας, καὶ πρὸς τὴν κακίαν, ἣν εἴωθας
ῷ λόγῳ κολάζειν, Πυθικὰς ἐκεχειρίας σπεισάμενος,
ν τινὰ μεθ᾽ ἡμῶν αἰτίαν ζήτει τῆς λεγομένης ἐκ-
εως τῶν χρηστηρίων· τὸν δὲ θεὸν εὐμενῆ φύλαττε καὶ

ιατεκρίθη] Forte καίτοι κατεκρίθη ut Xyl. Ceterum de dicto, notatum ad p. 394. B.

genio nequaquam leni; ...quam, ut Pindarus ait, ...i eſt injunctum judicio ..., ut hominibus ſit be...ſſimus: et ſive is Sol eſt, ...dominus paterque Solis, ... omnem viſui expoſitam ...atus naturam, veriſimile ...ſt eum noſtra ætate ho...s voce ſua dedignari, qui...naſcendi, nutritionis, vi...: intelligendi cauſa ipſe ... neque hoc eſt conſen...um, Providentiam, quæ ...i benevola mater omnia ...ilitatem noſtram parat at...conſervat, in ſola divina-

tione rationem habere acceptarum injuriarum, et quam ab initio largita ſit nobis, eam adimere: quaſi vero non tum quoque inter homines mali bonos numero vicerint, cum Oracula multis in terræ partibus vocalia fuerunt. Itaque huc ſodes adſide, et pactis cum perverſitate, quam nunquam non oratione tua ſoles inceſſere, Pythicis induciis, nobiſcum aliam quandam, cur oracula deſitum ſit edi, cauſam perquire, quæ res propoſita eſt: Apollinem autem irritare cave, eumque propitium re-

ἀμήνιτον. Ἐγὼ μὲν οὖν ταῦτ' εἰπὼν, τοσοῦτον διεπραξάμην, ὅσον ἀπελθεῖν διὰ θυρῶν σιωπῇ τὸν Πλανητιάδην.

η΄. Ἡσυχίας δὲ γενομένης, ἐπ' ὀλίγον ὁ Ἀμμώνιος ἐμὲ προσαγορεύσας, Ὅρα τί ποιοῦμεν, εἶπεν, ὦ Λαμ- E
πρία, καὶ πρόσεχε τῷ λόγῳ τὴν διάνοιαν, ὅπως μὴ τὸν θεὸν ἀναίτιον ποιῶμεν· ὁ γὰρ ἄλλῳ τινὶ, καὶ μὴ θεοῦ γνώμῃ τὰ παυσάμενα τῶν χρηστηρίων ἐκλιπεῖν ἡγούμενος, ὑπόνοιαν δίδωσι τοῦ μὴ γενέσθαι μηδ' εἶναι διὰ τὸν θεὸν, ἀλλ' ἑτέρῳ τινὶ τρόπῳ νομίζειν· οὐ γὰρ ἄλλη γέ τις ἐστὶ μείζων οὐδὲ κρείττων δύναμις, ὥστε ἀναιρεῖν καὶ ἀφανίζειν ἔργον θεοῦ τὴν μαντικὴν οὖσαν. Ὁ μὲν οὖν Πλανητιάδου λόγος οὐκ ἀρεστὸς ἐμοὶ, διά τε τἄλλα καὶ τὴν ἀνωμαλίαν ἣν περὶ τὸν θεὸν ποιεῖ, τῇ μὲν ἀποστρεφόμενον, καὶ ἀπαξιοῦντα τὴν κακίαν, τῇ δὲ F
πάλιν αὖ προσιέμενον· ὥσπερ εἰ βασιλεύς τις ἢ τύραννος ἑτέραις ἀποκλείων θύραις τοὺς πονηροὺς, καθ' ἑτέρας εἰσδέχοιτο καὶ χρηματίζοι. Τοῦ δὲ μεγίστου καὶ ἱκανοῦ

F. 4. Τοῦ δὲ μεγίστου] Aut complura exciderunt; aut probanda Xylandri inter-

linque. His ergo verbis tantum perfeci, ut tacens per januam exiret Planetiades.

VIII. Silentio aliquamdiu exinde facto, Ammonius me compellans, Vide ſis, inquit, o Lampria, quam rem agamus, animumque diſputationi adverte, ne deum in cauſa hujus rei eſſe negemus. Qui enim alia quadam de cauſa, non voluntate dei putat oracula defiiſſe, ſuſpicionem injicit ea ne extitiſſe quidem divinitus, ſed alio quodam cepiſſe modo: neque enim major alia aut potentior vis eſt, quæ abolere divinationem poſſit, ſi quidem ea dei opus eſt. Sane mihi Planetiadæ ſermo cum ob alia non probabatur, tum ob inconſtantiam quam deo tribuebat, qui modo averſaretur improbitatem, modo rurſus admitteret: non aliter, quam ſi quis rex aut tyrannus alteris foribus malos excluderet, alteris intromitteret, iiſque reſponſa daret. Sed cum deos id opus maxime deceat, quod

καὶ μηδαμοῦ περιττοῦ, πανταχοῦ δὲ αὐτάρκους, μάλιστα
τοῖς θεοῖς πρέποντος ἔργου, εἰ ταύτην λαβὼν ἀρχὴν φαίη
τις ὅτι τῆς κοινῆς ὀλιγανδρίας ἣν αἱ πρότεραι στάσεις καὶ
οἱ πόλεμοι περὶ πᾶσαν ὁμοῦ τι τὴν οἰκουμένην ἀπειρ-
14 γάσαντο, πλεῖστον μέρος ἡ Ἑλλὰς μετέσχηκε, καὶ μόλις
ἂν νῦν ὅλη παράσχοι τρισχιλίους ὁπλίτας, ὅσους ἡ Με-
γαρέων μία πόλις ἐξέπεμψεν εἰς Πλαταιάς· οὐδὲν οὖν
ἕτερον ἦν τὸ πολλὰ καταλιπεῖν χρηστήρια τὸν θεόν, ἢ τῆς
Ἑλλάδος ἐλέγχειν τὴν ἐρημίαν· ἀκριβῶς ἂν αὐτῷ παράσχοι-
μι τῆς εὑρεσιλογίας. Τίνος γὰρ ἦν ἀγαθὸν ἐν Τεγύραις, ὡς
πρότερον ἦν μαντεῖον, ἢ περὶ τὸ Πτῷον, ὅπου μέρος ἡμέρας
ἐντυχεῖν ἔστιν ἀνθρώπῳ νέμοντι. Καὶ γὰρ τοῦτο δὴ τοῦ
ἐνταῦθα πρεσβύτατον ὂν χρόνῳ τε καὶ δόξῃ κλεινό-
τατον, ὑπὸ θηρίου χαλεποῦ δρακαίνης πολὺν χρόνον

pretatio : in qua tamen apodoſis laborat ultimorum verborum, quæ ita videntur concipienda ἀκριβῶς αὐτῷ μαρτυρίαν παράσχοιμι τῆς εὑρεσιλογίας.

A. 6. ἐν Τεγύραις] Forte εἰ Τεγύραις vel εἰ ἐν Τεγύραις: aut proximum ἦν mutandum in εἶναι cum Bryano ad Plut. Vit. T. II. p. 574.

A. 7. μέρος ἡμέρας] An ἔργον ἡμέρας *integri diei opus eſt unum deprehendere paſcentem.*

maximum ſit et ſufficiens, nuſquam ſupervacaneum, ubique plenum et nihil extra ſe requirens : ſi quis hoc ſumens, communis hominum penuriæ, quam ſuperiorum temporum ſeditiones et bella toti fere orbi terrarum invexerunt, maximam partem Græciam ſenſiſſe: (quippe univerſa Græcia hodie vix tria millia gravis armaturæ militum poſſet præbere, quantas copias olim ſola Megarenſium civitas miſit ad Platæas) ſic ratiocinetur, deum ſi multa reliquiſſet oracula, nihil aliud acturum fuiſſe, quam Græciæ vaſtitatem arguturum: hujus ego ſubtilitatem commenti admodum probavero. Quorſum enim prodeſſet oraculum, ſi ut quondam eſſet Tegyris aut apud Ptoum, ubi interdiu hominem invenires pecus paſcentem? Et vero huic ipſi hujus loci Oraculo, et tempore antiquiſſimo, et fama clariſſimo, illatam a dracone femina, bellua ſæva, ſo-

ἔρημον γενέσθαι καὶ ἀπροσπέλαστον ἱστοροῦσιν· οὐκ ὀρθῶς B τὴν ἀργίαν, ἀλλ' ἀνάπαλιν λαμβάνοντες· ἡ γὰρ ἐρημία τὸ θηρίον ἐπηγάγετο μᾶλλον ἢ τὸ θηρίον ἐποίησε τὴν ἐρημίαν. Ἐπεὶ δὲ τῷ θεῷ δόξαν οὕτως, ἥ τε Ἑλλὰς ἐῤῥώσθη πόλεσι, καὶ τὸ χωρίον ἀνθρώποις ἐπλήθυε, δυσὶν ἐχρῶντο προφήτισιν ἐν μέρει καθιεμέναις, καὶ τρίτη δ' ἔφεδρος ἦν ἀποδεδειγμένη. Νῦν δ' ἐστὶ μία προφῆτις καὶ οὐκ ἐγκαλοῦμεν· ἐξαρκεῖ γὰρ αὐτὴ τοῖς δεομένοις. Οὐ τοίνυν αἰτιατέον οὐδὲ τὸν θεόν· ἡ γὰρ οὖσα μαντικὴ καὶ διαμένουσα πᾶσίν ἐστιν ἱκανὴ, καὶ πάντας ἀποπέμπει τυγχάνοντας ὧν χρῄζουσιν. Ὥσπερ οὖν C ἐννέα κήρυξιν ὁ Ἀγαμέμνων ἐχρῆτο, καὶ μόλις κατεῖχε τὴν ἐκκλησίαν διὰ πλῆθος, ἐνταῦθα δὲ ὄψεσθε μεθ' ἡμέρας ὀλίγας ἐν τῷ θεάτρῳ μίαν φωνὴν ἐξικνουμένην εἰς πάντας· οὕτως τότε πλείοσιν ἐχρῆτο φωναῖς πρὸς πλείονας ἡ μαντικὴ, νῦν δὲ τοὐναντίον ἔδει θαυμάζειν τὸν

B. 2. ἀργίαν] Corrigendum αἰτίαν, ut et Mez. vidit. Mox καθημέναις ut Xyl. pro καθιεμέναις quod tamen tueri quis poſſit.

litudinem, idque longo tempore inacceſſum fuiſſe narrant, vacationem non recte, ſed præpoſtere accipientes. Solitudo enim beſtiam potius adduxit, quam beſtia ſolitudinem effecit. Poſtquam vero dei voluntate Græcia urbibus crevit et locus frequentari hominum copia cœpit, duabus uſi ſunt vatibus, quæ per vices ad cortinam ſederent: eratque etiam tertia deſignata, tanquam vicaria, adſidens iis. Nunc unica eſt antiſtita, neque incuſamus, cum ejus opera conſultoribus ſufficiat. Non igitur incuſandus eſt Apollo, divinatio enim quæ reliqua eſt, omnibus ſufficit, et unumquemque adeptum quod volebat dimittit. Itaque ſicut Agamemnon præconibus uſus novem vix continuit concionem præ multitudine, hic autem paucis poſt diebus unam vocem in theatro ad omnes pervenientem ſentietis: ita quondam pluribus vocibus ad plures uſa eſt vis fatidica,

θεὸν, εἰ περιεώρα τὴν μαντικὴν ἀχρήστως δίκην ὕδατος ἀπορρέουσαν, ἢ, καθάπερ αἱ πέτραι, ποιμένων ἐν ἐρημίᾳ καὶ βοσκημάτων φωναῖς ἀντηχοῦσαν.

θ'. Εἰπόντος δὲ ταῦτα τοῦ Ἀμμωνίου, κἀμοῦ σιω-
D πῶντος, ὁ Κλεόμβροτος ἐμὲ προσαγορεύσας, Ἤδη σὺ τοῦτο δέδωκας, ἔφη, τὸ καὶ ποιεῖν ταυτὶ τὰ μαντεῖα καὶ ἀναιρεῖν τὸν θεόν. Οὐκ ἔγωγε, εἶπον, ἀναιρεῖσθαι μὲν γὰρ οὐθὲν αἰτίᾳ θεοῦ φημὶ μαντεῖον, οὐδὲ χρηστήριον· ἀλλ' ὥσπερ ἄλλα πολλὰ ποιοῦντος ἡμῖν ἐκείνου καὶ παρασκευάζοντος, ἐπάγει φθορὰν ἐνίοις στέρησιν ἡ φύσις, μᾶλλον δ' ἡ ὕλη στέρησις οὖσα ἀναφεύγει πολλάκις καὶ ἀναλύει τὸ γινόμενον ὑπὸ τῆς κρείττονος αἰτίας, οὕτω μαντικῶν οἶμαι δυνάμεων σκοτώσεις ἑτέρας καὶ ἀναιρέσεις εἶναι, πολλὰ καλὰ τοῦ θεοῦ διδόντος ἀνθρώποις, ἀθάνα-
E τον δὲ μηθέν· ὥστε θνήσκειν καὶ τὰ θεῶν, θεοὺς δὲ οὐ κατὰ τὸν Σοφοκλέα. Τὴν δ' οὐσίαν αὐτῶν καὶ δύναμιν

D. 7. ἀναφεύγει] ἀνυφαίνει egregie conjecit Xyl. vertendo ſignificans. Vid. Gataker. Adverſ. p. 46.

nunc contra mirari debuiſſemus, ſi pateretur oracula inutiliter aquæ inſtar diffluere, aut reſonare quomodo in ſolitudine ſaxa paſtorum et pecoris voces reddunt.

IX. Cum hæc dixiſſet Ammonius, et ego tacerem, Cleombrotus me appellans, Jamne, inquit, hoc tu conceſſiſti, Oraculorum deum et autorem eſſe et everſorem? Non ſane, inquam. Nullum enim oraculum, nullum vaticinium aboleri a deo ipſe affirmo. Sed quemadmodum multis aliis rebus, quas dii nobis conficiunt atque apparant, interitum natura infert, aut materia potius privationi obnoxia retexit atque mutat quod a præſtantiore cauſa fuerat conditum: ita divinandi quoque facultatum arbitror obſcurationes eſſe aliunde atque abolitiones; quippe præclara multa hominibus deus dedit, immortale nihil, ut *deorum quoque pereant opera, ipſi non*, ſecundum Sophoclem. Naturam porro et vim oraculorum iis aiunt conſiderandam

τοὺς ἐν τῇ φύσει καὶ τῇ ὕλῃ φασὶν δεινοὺς ὀφείλειν ζητεῖν, τῷ θεῷ τῆς ἀρχῆς, ὥσπερ ἐστὶ δίκαιον, φυλαττομένης. Εὔηθες γάρ ἐστι καὶ παιδικὸν κομιδῇ τὸ οἴεσθαι τὸν θεὸν αὐτόν, ὥσπερ τοὺς ἐγγαστριμύθους, εὐρυκλέας πάλαι νυνὶ πύθωνας προσαγορευομένους, ἐνδυόμενον εἰς τὰ σώματα τῶν προφητῶν ὑποφθέγγεσθαι, τοῖς ἐκείνων στόμασι καὶ φωναῖς χρώμενον ὀργάνοις· καταμιγνὺς ἀνθρωπίναις χρείαις οὐ φείδεται τῆς σεμνότητος, οὐδὲ τηρεῖ τὸ ἀξίωμα καὶ τὸ μέγεθος αὐτὸ τῆς ἀρετῆς. F

ι. Καὶ ὁ Κλεόμβροτος, Ὀρθῶς λέγεις· ἀλλ' ἐπεὶ τὸ λαβεῖν καὶ διορίσαι πῶς χρηστέον καὶ μέχρι τίνων τῇ προνοίᾳ, χαλεπόν, οἱ μὲν οὐδενὸς ἁπλῶς τὸν θεόν, οἱ δὲ ὁμοῦ τι πάντων αἴτιον ποιοῦντες, ἀστοχοῦσι τοῦ μετρίου καὶ πρέποντος. Εὖ μὲν οὖν λέγουσιν οἱ λέγοντες ὅτι Πλάτων τὸ

E. 3. τοὺς—φασὶν δεινοὺς ὀφείλειν ζητεῖν] Puto corrigendum eſſe οὕτως ἐν τῇ φύσει καὶ τῇ ὕλῃ φημὶ δεῖν, ὦ φίλε, ζητεῖν.

E. 9. ὀργάνοις· καταμιγνὺς] Quædam excidiſſe videntur, ita ſupplenda: ὀργάνοις· ὁ γὰρ θεὸν καταμιγνύς. Atque ita Turneb. Amiot. Xyl. Mez. Mox pro αὐτὸ legendum vel αὐτῷ cum Pol. Leonic. Mez. vel αὐτοῦ cum Colleg. Nov. et ſic etiam θεὸς ponendum erit pro θεόν.

eſſe, qui naturæ rerum et rerum materia præditarum gnari ſunt, ita quidem ut Deo, ſicut par eſt, principium imputetur. Eſt enim nimis quam puerile et fatuum, opinari ipſum deum in corpora vatum, quos olim Engaſtrimythos Eurycleas (quod e ventre ſermonem fatidicum promerent) nunc Pythonas nominant, ſe immittere, eorumque ore loqui, et voce pro inſtrumento uti. * Qui enim deum humanis admiſcet neceſſitatibus, is majeſtati ejus non parcit, neque dignitatem et magnitudinem poteſtatis ejus conſervat.

X. Ad hæc Cleombrotus, Recte, inquit, dicis. Cæterum quando difficile eſt intelligere ac definire providentiam quo modo et quatenus explicandis rerum cauſis adhibere debeamus, quidam nullius rei, alii omnium in univerſum rerum cauſam deo inſcribentes, utrique a mediocritate et decoro aberrant. Non male quidem dicunt, qui Platonem aiunt principio quod

τὸ ταῖς γιγνομέναις ποιότησιν ὑποκείμενον στοιχεῖον ἐξευρὼν, ὃ νῦν ὕλην καὶ φύσιν καλοῦσιν, πολλῶν ἀπήλλαξε καὶ μεγάλων ἀποριῶν τοὺς φιλοσόφους· ἐμοὶ δὲ δοκοῦσι πλείονας λῦσαι καὶ μείζονας ἀπορίας οἱ τὸ τῶν δαιμόνων γένος ἐν μέσῳ θεῶν καὶ ἀνθρώπων, καὶ τρόπον τινὰ τὴν κοινωνίαν ἡμῶν συνάγον εἰς ταὐτὸ καὶ συνάπτον ἐξευρόντες· εἴτε μάγων τῶν τε περὶ Ζωροάστρην ὁ λόγος οὗτός ἐστιν, εἴτε Θρᾴκιος ἀπ' Ὀρφέως, εἴτ' Αἰγύπτιος, ἢ Φρύγιος, ὡς τεκμαιρόμεθα ταῖς ἑκατέρωθι τελεταῖς ἀναμεμιγμένα πολλὰ θνητὰ καὶ πένθιμα τῶν ὀργιαζομένων καὶ δρωμένων ἱερῶν ὁρῶντες. Ἑλλήνων δὲ Ὅμηρος μὲν φαίνεται κοινῶς ἀμφοτέροις χρώμενος τοῖς ὀνόμασι, καὶ τοὺς θεοὺς
B ἔστιν ὅτε δαίμονας προσαγορεύων. Ἡσίοδος δὲ καθαρῶς καὶ διωρισμένως πρῶτος ἐξέθηκε τῶν λογικῶν τέσσαρα γένη, θεοὺς, εἶτα δαίμονας πολλοὺς κἀγαθοὺς, εἶτα ἥρωας,

A. 8. πολλὰ θνητὰ] Sic Euſeb. qui hunc locum refert. Præp. Evang. V, 4: idem proxime omittit τινα ut F. et Venet. 2. Xyl. Verſ. et Mez. πολλὰ θρηνητά. Vulgo πρὸς τὰ θνητὰ καὶ πένθιμά τινα τῶν ὀργιαζομένων.

B. 3. εἶτα δαίμονας—ἀπαριθέντων] Plenius Euſeb. εἶτα δαίμονας, εἶτα ἥρωας, τὸ

qualitates quæ gignuntur ſubjectum ſuſtinet (materiam nunc vocant) excogitato, multis magniſque philoſophos liberaſſe difficultatibus: mihi tamen plures ac difficiliores dubitationes videntur ſolviſſe, qui geniorum ſeu dæmonum genus medio inter deos et homines loco conſtituerunt, et quod nos cum his quodam modo conciliat atque conjungit invenerunt: ſive hæc magorum ac Zoroaſtris doctrina eſt, ſive Thracica ab Orpheo profecta, ſive Ægyptiorum, aut Phrygum, ut colligimus ex utrorumque ſacrificiis, orgiis et ritibus ſacrorum multa admixta funebria et lugubria cernentes. De Græcis Homerus videtur promiſcue deorum ac geniorum uſus nominibus, ut diis quoque aliquando dæmonum nomen impoſuerit. Heſiodus pure et diſtincte primus quatuor genera præditorum ratione expoſuit: primum deos, deinde genios, poſt heroas, de-

εἶτα ἀνθρώπους, τῶν ἡμιθέων εἰς ἥρωας ἀποκριθέντων. Ἕτεροι δὲ μεταβολὴν τοῖς τε σώμασιν ὁμοίως ποιοῦσι καὶ ταῖς ψυχαῖς, ὥσπερ ἐκ γῆς ὕδωρ, ἐκ δὲ ὕδατος ἀὴρ, ἐκ δ' ἀέρος πῦρ γεννώμενον ὁρᾶται, τῆς οὐσίας ἄνω φερομένης· οὕτως ἐκ μὲν ἀνθρώπων εἰς ἥρωας, ἐκ δὲ ἡρώων εἰς δαίμονας, αἱ βελτίονες ψυχαὶ τὴν μεταβολὴν λαμβάνουσιν· ἐκ δὲ δαιμόνων ὀλίγαι μὲν ἔτι χρόνῳ πολλῷ δι' ἀρετῆς καθαρθεῖσαι παντάπασι θεότητος C
μετέσχον· ἐνίαις δὲ συμβαίνει μὴ κρατεῖν ἑαυτῶν, ἀλλ' ὑφιεμέναις καὶ ἀναλυομέναις πάλιν σώμασι θνητοῖς, ἀλαμπῆ καὶ ἀμυδρὰν ζωὴν, ὥσπερ ἀναθυμίασιν, ἴσχειν.

ια'. Ὁ δὲ Ἡσίοδος οἴεται καὶ περιόδοις τισὶ χρόνων γίνεσθαι τοῖς δαίμοσι τὰς τελευτάς· λέγει γὰρ ἐν τῷ τῆς Ναΐδος προσώπῳ, καὶ τὸν χρόνον αἰνιττόμενος,

Ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη,

δ' ἐπὶ πᾶσιν ἀνθρώπους· ἐξ ὧν ἔοικε ποιεῖν τὴν μεταβολήν· τοῦ μὲν χρυσοῦ γένους εἰς δαίμονας πολλοὺς κἀγαθούς, τῶν δ' ἡμιθέων εἰς ἥρωας ἀποκριθέντων. Quod vertit Xyl.

C. 3. ἀναλυομέναις] Rectius ἐνδυομέναις T.

nique homines: atque hinc mutationem inſtituit aurei generis in genios multos ac bonos, ſemideorum autem in heroas. Alii ut corporum, ita etiam animarum mutationem ſtatuunt: ſicut enim ex terra aqua, ex hac aër, ex aëre ignis fieri cernitur, ſurſum ſe efferente natura: ſic meliores animas ex humanis in heroicas, ex heroibus in genios mutari: e geniis quaſdam paucas longo tempore virtutis ope prorſus purgatas divinæ naturæ participes reddi: aliis uſu venire ſuimetipſarum impotes rurſum demittant ſe, inque humana corpora denuo illapſæ, fulgoris expertem obſcuramque nanciſcantur vitam.

XI. Heſiodus vero certis temporum converſionibus mortem geniis obtingere cenſet, et tempus etiam ſub involucro proponit, hæc ſub Naidis perſona loquens:

Quanta homini eſt ætas vegeta dum corpore durat,

Ἀνδρῶν ἡβώντων· ἔλαφος δέ τε τετρακόρωνος·
Τρεῖς δ' ἐλάφους ὁ κόραξ γηράσκεται· αὐτὰρ ὁ φοῖνιξ
Ἐννέα τοὺς κόρακας· δέκα δ' ἡμεῖς τοὺς φοίνικας
Νύμφαι ἐϋπλόκαμοι, κοῦραι Διὸς αἰγιόχοιο.

Τοῦτον τὸν χρόνον εἰς πολὺ πλῆθος ἀριθμοῦ συνάγουσιν οἱ μὴ καλῶς δεχόμενοι τὴν γενεάν· ἔστι γὰρ ἐνιαυτός· ὥστε γίνεσθαι τὸ σύμπαν ἐννεακισχίλια ἔτη καὶ ἑπτακόσια καὶ εἴκοσι τῆς τῶν δαιμόνων ζωῆς. Ἔλαττον μὲν οὖν νομίζουσιν οἱ πολλοὶ τῶν μαθηματικῶν, πλέον δ' οὐ· Πίνδαρος δὲ εἴρηκεν, εἰπὼν τὰς νύμφας ζῆν ἰσοδένδρου τέκμαρ αἰῶνος λαχούσας, διὸ καὶ καλεῖν αὐτὰς ἁμαδρυάδας. Ἔτι δ' αὐτοῦ λέγοντος, Δημήτριος ὑπολαβὼν, Πῶς, ἔφη, λέγεις, ὦ Κλεόμβροτε, γενεὰν ἀνδρὸς εἰρῆσθαι τὸν ἐνιαυτόν; οὔτε γὰρ ἡβῶντος οὔτε γηρῶντος, ὡς ἀναγινώσκουσιν ἔνιοι, χρόνος ἀνθρωπίνου βίου τοσοῦτός ἐστιν. Ἀλλ' οἱ μὲν ἡβῶντος ἀναγινώσκοντες, ἔτη τριά-

D. 1. δέκα δ' ἡμεῖς] Sic Schott. item Mez. addens *Nympha eſt quæ loquitur:* Vulgo δέκα δ' ὑμεῖς.
D. 7. πλέον δ' οὐ·—εἰπὼν] Scriptura minime certa. Ut in re incerta, præferam Turnebianum. πλεόν δ' οὐδὲ Πίνδαρος εἴρηκεν, εἰπὼν—.

Ter tres ætates humanas garrula cornix:
Vivax cornicis complet cervus quater ævum:
Triplicat et cervi vivendo tempora corvus.
At ſeclum corvi novies complectitur ætas
Phœnicis: ſed vos, ſoboles formoſa Tonantis
Nymphæ, phœnicis decuplos duratis in annos:

Hoc tempus in numerum ingentem extendunt, qui ætatem ſeu ævum non recte accipiunt. Eſt enim annus intelligendus: et fit totum ſpatium vitæ geniorum anni novem mille ſeptingenti et viginti. Ac multi quidem mathematicorum minus id ponunt: longius ne Pindarus quidem, qui *Nymphas* ait *vivere ævum tanti temporis, quantum durare arbor poteſt, indeque Hamadryadas*, quaſi cum quercubus viventes, *dici.* Hujus adhuc loquentis ſermonem excipiens Demetrius: Quomodo, inquit, dicis, Cleombrote, ætatem viri dictam annum? quando neque vigentis, neque, ut apud Heſiodum nonnulli legunt, ſeneſcentis ætas hominis tantilla eſt. Etenim qui *vigentis* le-

οὓς μὲν ἐκεῖνοι ποιοῦσιν ἀριθμούς, οὐδὲν ἔχουσι τῶν γενομένων
ἐπιφανῶν καὶ λαμπρῶν ὡς ἐν ἀριθμοῖς· ὁ δὲ τῶν ἐννακισχι-
λίων ἑπτακοσίων εἴκοσι τὴν γένεσιν ἔσχηκε, συντεθεισῶν μὲν ἐκ
τῶν ἀπὸ μονάδος τεσσάρων ἐφεξῆς τετράκις γενομένων τεσ- C
σάρων· τεσσαράκοντα γὰρ ἑκατέρως γίνεται· ταῦτα δὲ πεν-
τάκις τριγωνισθέντα τὸν ἐκκείμενον ἀριθμὸν παρέσχεν. Ἀλ-
λὰ περὶ μὲν τούτων οὐκ ἀναγκαῖον ἡμᾶς Δημητρίῳ διαφέρεσθαι· καὶ γὰρ ἂν πλείων ὁ χρόνος ᾖ, κἂν ἐλάττων ᾖ, κἂν
τεταγμένος, κἂν ἄτακτος, ἐν ᾧ μεταλλάττει δαίμονος
ψυχὴ καὶ ἥρωος βίος, οὐδὲν ἧττον ἐφ' ᾧ βούλεται δεδείξεται
μετὰ μαρτύρων σοφῶν καὶ παλαιῶν, ὅτι φύσεις εἰσί τινες
ὥσπερ ἐν μεθορίῳ θεῶν καὶ ἀνθρώπων, δεχόμεναι πάθη θνη-
τὰ καὶ μεταβολὰς ἀναγκαίας, οὓς δαίμονας ὀρθῶς ἔχει
κατὰ νόμον πατέρων ἡγουμένους καὶ ὀνομάζοντας σέβεσθαι.

C. 1. *γενομένων τεσσάρων*] Recte Mez. plenius legit *γενομένων ἢ δεκάκις τεσσάρων*. Rationem dabimus in Animadverſionibus.

C. 5. *χρόνος ᾖ—ψυχὴ*] Vulgo *χρόνος, ἢ κἂν ἐλάττων, ἢ κἂν τ.—ψυχήν*. Prius ſumſimus ex B. *ψυχὴ* ex Euſeb. Præp. Evang. V, 4.

C. 7. *ἐφ' ᾧ βούλεται δεδείξεται—σοφῶν*] Prius ita corrigendum videtur, *ἔχει, εἰ βούλεσθε, ἐνδείξασθαι*. Tum pro vulgato *σαφῶν* dedimus *σοφῶν* ex B. Colleg. Nov. Euſeb. T. P.

minavit. Quos enim iſti numeros faciunt, ii nihil eorum habent, quæ in numeris illuſtria ac præclara habentur. Numerus novem mille ſeptingenti et viginti procreatus eſt quatuor primis ab unitate numeris in unam ſummam collectis, eaque quater accepta: ſic enim conficiuntur quadraginta qui numerus quinquies trianguli in morem aſſumtus, propoſitum numerum producit. Verum de his me cum Demetrio contendere non eſt opus. Sive enim longius eſt, ſive brevius, ſive conſtitutum ſive incertum tempus, quo mutatur genii anima aut herois vita, quovis tamen dato judice, evincetur teſtibus productis ſapientibus atque antiquis, naturas eſſe quaſdam veluti in confinio deorum atque hominum interpoſitas, motibus quibus mortalia afficiuntur, mutationibuſque obnoxias neceſſariis: quas genios majorum inſtituto appellari rectum eſt ac cenſeri, et coli.

D ιγ'. Παράδειγμα δὲ τῷ λόγῳ Ξενοκράτης μὲν ὁ Πλάτωνος ἑταῖρος ἐποιήσατο τὸ τῶν τριγώνων, θείῳ μὲν ἀπεικάσας τὸ ἰσόπλευρον, θνητῷ δὲ τὸ σκαληνόν, τὸ δ' ἰσοσκελὲς δαιμονίῳ· τὸ μὲν γὰρ, ἴσον πάντῃ· τὸ δ', ἄνισον πάντῃ· τὸ δὲ, τῇ μὲν ἴσον, τῇ δ' ἄνισον, ὥσπερ ἡ δαιμόνων φύσις ἔχουσα καὶ πάθος θνητοῦ καὶ θεοῦ δύναμιν. Ἡ δὲ φύσις αἰσθητὰς εἰκόνας ἐξέθηκε καὶ ὁμοιότητας ὁρωμένας, θεῶν μὲν ἥλιον καὶ ἄστρα, θνητῶν δὲ σέλα καὶ κομήτας καὶ διάττοντας· ὡς Εὐριπίδης εἴ-
E κασεν, ἐν οἷς εἶπεν,

> Ὁ δ' ἄρτι θάλλων σάρκα, διοπετὴς ὅπως
> Ἀστὴρ ἀπέσβη, πνεῦμ' ἀφεὶς εἰς αἰθέρα.

Μικτὸν δὲ σῶμα καὶ μίμημα δαιμόνιον ὄντως τὴν σε-

D. 8. ὁρωμένας, θεῶν μὲν] Sic Amiot. Xyl. Turn. Mez. Vulgo ὁρωμένων θεῶν, ὡς.

E. 4. Μικτὸν δὲ σῶμα—δαιμόνιον] Vulgo, ut tertius verſus, duobus prioribus adjectus eſt et μίκρον habet pro μικτόν. Correxi ex Amiot. Turnebi Xyl. Mez.

XIII. Hujus argumenti exemplum Xenocrates Platonis ſodalis propoſuit formas triangulorum, cum divinæ naturæ conferret æquilaterum triangulum, mortali omnibus inæqualibus lateribus contentum, geniorum id, quod duo latera æqualia, eademque reliquo inæqualia habet: æquilaterum enim undiquaque æquale eſt, ſecundum uſquequaque inæquale, tertium et æqualitatem et inæqualitatem habet: atque huic geniorum natura reſpondet, affectiones humanas in ſe habens, juxtaque vim divinam. Ipſa vero natura ſenſiles imagines, et adſpectabilia nobis propoſuit ſimulachra: deorum quidem, Solem et aſtra, mortalium autem ſubitos fulgores, cometas, ignes in ſublimi trajicientes: quo etiam alluſit his verſibus Euripides:

> *Verum ille carne florens nuper, cœlitus*
> *Delapſa tanquam ſtella, exſtinctus in ætherem*
> *Emiſit animam.—*

Cæterum Lunam condidit, corpus mixtum, ac dæmonum

λήνην, τῷ τῇ τούτου τοῦ γένους συνᾴδειν διαφορᾷ, φθί-
σεις φαινομένας δεχομένην καὶ αὐξήσεις, μεταβολάς,
ὁρῶντες, οἱ μὲν ἄστρον γεῶδες, οἱ δ' ὀλυμπίαν γῆν, οἱ δὲ
χθονίας ὁμοῦ καὶ οὐρανίας κλῆρον Ἑκάτης προσεῖπον.
Ὥσπερ οὖν εἰ τὸν ἀέρα τις ἀνέλοι καὶ ὑποσπάσειε τὸν
μεταξὺ γῆς καὶ σελήνης τὴν ἑνότητα διαλύσει καὶ τὴν F
κοινωνίαν τοῦ παντός, ἐν μέσῳ κενῆς καὶ ἀσυνδέτου χώ-
ρας γενομένης, οὕτως οἱ δαιμόνων γένος μὴ ἀπολείποντες,
ἀνεπίμικτα τὰ τῶν θεῶν καὶ ἀνθρώπων ποιοῦσι καὶ ἀσυν-
άλλακτα, τὴν ἑρμηνευτικήν, ὡς Πλάτων ἔλεγεν, καὶ
διακονικὴν ἀναιροῦντες φύσιν, ἢ πάντα φύρειν ἅμα καὶ
ταράττειν ἀναγκάζουσιν ἡμᾶς τοῖς ἀνθρωπίνοις πάθεσι
καὶ πράγμασι τὸν θεὸν ἐμβιβάζοντας, καὶ κατασπῶν-
τας, ἐπὶ τὰς χρείας, ὥσπερ αἱ Θετταλαὶ λέγονται τὴν
σελήνην. Ἀλλ' ἐκείνων μὲν ἐν γυναιξὶ τὸ πανοῦργον 417
ἔσχε πίστιν, Ἀγλαονίκης τῆς Ἡγήτορος, ὥς φασιν, ἀστρο-
λογικῆς γυναικὸς ἐν ἐκλείψει σελήνης ἀεὶ προσποιουμέ-

ſimulachrum, quæ cum geniorum mutationibus convenit ob vices incrementorum et decrementorum: quod obſervantes alii, eam terreum aſtrum, alii cœleſtem terram, alii terreſtris juxta ac cœleſtis ſortem Hecates nominaverunt. Quemadmodum igitur ſi quis aërem qui inter terram et Lunam eſt interjectus ſubduceret, is univerſi unitatem ac cohærentiam ſolveret, vacuo in medium et nexus experte loco exiſtente: ita qui geniorum gentem non admittunt, ii inter deorum et hominum res nullum relinquunt commercium, vim interpretem, ut Plato nominat, atque adminiſtram perimentes: aut profecto confundere nos omnia et conturbare cogunt, deum in humanas res et affectiones conjicientes, detrahenteſque ad uſus, quo modo Theſſalæ Lunam deducere cœlo feruntur. Quanquam hoc quidem creditum fuit a mulieribus aſtutia Aglaonicæ Agetoris filiæ: quam aiunt aſtrologiæ peritam, Luna delinquente ſem-

της γοητεύειν καὶ καθαίρειν αὐτήν. Ἡμεῖς δὲ μήτε μαντείας τινὰς ἀθειάστους εἶναι λέγοντας, ἢ τελετὰς καὶ ὀργιασμοὺς ἀμελουμένους ὑπὸ θεῶν, ἀκούωμεν· μήτ' αὖ πάλιν τὸν θεὸν ἐν τούτοις ἀναστρέφεσθαι καὶ παρεῖναι καὶ συμπραγματεύεσθαι δοξάζωμεν, ἀλλ' οἷς δίκαιόν ἐστι ταῦτα λειτουργοῖς θεῶν ἀνατιθέντες, ὥσπερ ὑπηρέταις
B καὶ γραμματεῦσι δαίμονας νομίζωμεν, ἐπισκόπους θεῶν ἱερῶν καὶ μυστηρίων ὀργιαστάς· ἄλλους δὲ τῶν ὑπερηφάνων καὶ μεγάλων τιμωροὺς ἀδικιῶν περιπολεῖν· τοὺς δὲ πάνυ σεμνῶς ὁ Ἡσίοδος ἁγνοὺς προσεῖπε πλουτοδότας, καὶ τοῦτο γέρας βασιλήϊον ἔχοντας, ὡς βασιλικοῦ τοῦ εὖ ποιεῖν ὄντος. Εἰσὶ γὰρ ὡς ἐν ἀνθρώποις καὶ δαίμοσιν ἀρετῆς διαφοραὶ, καὶ τοῦ παθητικοῦ καὶ ἀλόγου τοῖς μὲν ἀσθενὲς καὶ ἀμαυρὸν ἔτι λείψανον, ὥσπερ περίττωμα, τοῖς δὲ πολὺ καὶ δυσκατάσβεστον ἔνεστιν, ὧν ἴχνη καὶ

B. 1. ἐπισκόπους θεῶν] Forte ἐπισκόπους θεῷ. Proxima tranſponendo corrigit Mez. ita :—μυστηρίων ὀργιαστάς· οὓς δὴ πάνυ σεμνῶς—εὖ ποιεῖν ὄντος· ἄλλους δὲ τῶν ὑπερηφάνων καὶ μεγ.—περιπολεῖν. Εἰσὶ γὰρ ὡς ἐν ἀνθρώποις &c.

per ſimulaſſe eam ſuis ſe deducere veneficiis. Nos autem neque his aures præbere debemus, qui vaticinium aliquod, aut ſacrificium, aut orgia negligi a deo dicunt: neque rurſum deum in his obverſari, adeſſe, et in agendo occupari opinemur: ſed adſcribentes iſta deorum quibus par eſt adminiſtris, veluti famulis ac ſcribis, ſtatuamus genios eſſe, qui ſacra deum et orgia inſpiciant atque obeant: tum alios circumire, vindices ſuperborum atque immanium ſcelerum. Sed et alios eſſe, quos Heſiodus admodum graviter *divitiarum datores* appellat *caſtos*, aitque hunc iis regium honorem obtigiſſe: quia ſcilicet regium eſt, beneficentia. Ut enim inter homines, ita etiam inter genios gradus ſunt et diſcrimina virtutis; et naturæ perturbationibus obnoxiæ ac brutæ, aliis reliquiæ languidæ et obſcuræ, tanquam excrementum quoddam adſunt, aliis copioſæ et deletu difficiles: quarum veſtigia atque notæ multiplices

σύμβολα πολλαχοῦ θυσίαι καὶ τελεταὶ καὶ μυθολογίαι σώζουσι καὶ διαφυλάττουσιν ἐνδιεσπαρμένα. C

ιδ'. Περὶ μὲν οὖν τῶν μυστικῶν ἐν οἷς τὰς μεγίστας ἐμφάσεις καὶ διαφάσεις λαβεῖν ἐστὶ τῆς περὶ δαιμόνων ἀληθείας, εὔστομά μοι κείσθω, καθ' Ἡρόδοτον· ἑορτὰς δὲ καὶ θυσίας ὥσπερ ἡμέρας ἀποφράδας καὶ σκυθρωπὰς ἐν αἷς ὠμοφαγίαι καὶ διασπασμοὶ, νηστεῖαί τε καὶ κοπετοὶ, πολλαχοῦ δὲ πάλιν αἰσχρολογίαι πρὸς ἱεροῖς, μανίαι τε ἄλλαι ὀρινόμεναι ῥιψαύχενι σὺν κλόνῳ, θεῶν μὲν οὐδενὶ, δαιμόνων δὲ φαύλων ἀποτροπῆς ἕνεκα φήσαιμ' ἂν τελεῖν μειλίχια καὶ παραμύθια· καὶ τὰς πάλαι ποιουμένας ἀνθρωποθυσίας οὔτε θεοὺς ἀπαιτεῖν ἢ προσδέχεσθαι πιθανόν ἐστιν, οὔτε μάτην ἂν ἐδέχοντο βασιλεῖς καὶ D στρατηγοὶ, παῖδας αὑτῶν ἐπιδιδόντες καὶ καταρχόμενοι καὶ σφάττοντες, ἀλλὰ χαλεπῶν καὶ δυστρόπων ὀργὰς καὶ βα-

C. 8. ἄλλαι ὀρινόμεναι] Legendum ἀλαλαί τε ὀρινόμεναι.
D. 1. μάτην ἂν ἐδέχοντο—καταρχόμενοι καὶ σφάττοντες—ἀφοσιούμενοι] Sic Euſeb. Præp. Evang. V, 4. unde has certe meliores lectiones recipere debuimus. Vulgo erat, μάχην ἀνέχονται—ἀρχόμενοι καὶ φυλάττοντες—ἀποσειόμενοι.

in ſacrificiis, imitationibus, et fabuloſis narrationibus diſperſæ conſervantur.

XIV. Ac de myſteriis quidem, ex quibus maxima indicia et argumenta veritatis de natura geniorum duci poſſunt, *os*, ut cum Herodoto loquar, *meum ſe contineat.* Quæ vero feriæ et ſacrificia, tanquam atri dies et nefaſti, peraguntur, in quibus cruda vorantur, diſcerpuntur homines, jejunia et planctus adhibentur, ſæpenumero etiam obſcena dicta, *furoreſque, et conclamationes bellicæ excitatæ cum fremitu et cervicum jactatione:* his ego nullum deum coli puto, ſed placandorum et depellendorum malorum geniorum gratia inſtituta ea dixerim: et quod olim homines immolati fuerunt, probabile eſt neque deos popoſciſſe aut admiſiſſe talia ſacrificia: neque reges tamen atque duces fruſtra ſuſtinuiſſe dare pro hoſtia prolem ſuam, et ſacra ipſos fuiſſe auſpicatos hoſtiamque jugulaſſe: ſed feciſſe hoc ut iras et indignationes maligno-

μίας ἀφοσιούμενοι καὶ ἀποπιμπλάντες ἀλαστόρων·
δὲ μανικοὺς καὶ τυραννικοὺς ἔρωτας, οὐ δυναμένων
βουλομένων σώμασι καὶ διὰ σωμάτων ὁμιλεῖν.
ὥσπερ Ἡρακλῆς Οἰχαλίαν ἐπολιόρκει διὰ παρ-
οὕτως ἰσχυροὶ καὶ βίαιοι δαίμονες, ἐξαιτούμενοι ψυ-
ἀνθρωπίνην περιεχομένην σώματι, καὶ διὰ σω-
ν ὁμιλεῖν οὐ δυνάμενοι ταύτῃ, λοιμούς τε πόλεσι καὶ
:φορίας ἐπάγουσι, καὶ πολέμους καὶ στάσεις ταράττουσιν,
; οὗ λάβωσι καὶ τύχωσιν οὗ ἐρῶσιν. Ἔνιοι δὲ τοὔ-
ν, ὥσπερ ἐν Κρήτῃ χρόνον συχνὸν διάγων ἔγνων
ιν τινα τελουμένην ἑορτὴν, ἐν ᾗ καὶ εἴδωλον ἀνδρὸς
ιλον ἀναδεικνύουσι καὶ λέγουσιν· ὡς οὗτος ἦν Μόλος
ηριόνου πατὴρ, νύμφῃ δὲ πρὸς βίαν συγγενόμενος,
ιλος εὑρεθείη.

. Καὶ μὴν ὅσας ἔν τε μύθοις καὶ ὕμνοις λέγουσι
δουσι, τοῦτο μὲν ἁρπαγὰς, τοῦτο δὲ πλάνας θεῶν,
ις τε καὶ φυγὰς καὶ λατρείας, οὐ θεῶν εἰσιν ἀλλὰ

ıorofſorumque averrun-
geniorum, aut diris ſa-
rent dæmonibus, non-
ım etiam inſanos et ty-
os exſatiarent amores,
n poſſent, aut non vel-
orpore corpori miſceri.
ıt Hercules Oechaliam
s cauſa oppugnavit, ita
violentique dæmones
centes dedi ſibi animam
am corpori incluſam,
orporis commixtione a-
ı ſuum non poſſint ex-
peſtes urbibus ac ſteri-
inferunt, belliſque eas
ionibus exagitant, do-

nec conſequantur amatam a-
nimam. Nonnulli contra.
Cum enim in Creta permul-
tum exegiſſem temporis, cog-
novi ibi ſacrum peragi abſur-
dum, in quo etiam ſimula-
chrum viri capite truncatum
oſtendunt, aiuntque hunc fu-
iſſe Molum Merionis patrem,
qui cum Nympham vi com-
preſſiſſet, abſque capite in-
ventus fuerit.

XV. Et vero quas deorum
raptiones, quos errores in fa-
bulis referunt atque agitant,
tum occultationes eorum, ex-
ſilia, et obita miniſteria: non

δαιμόνων παθήματα, καὶ τύχαι μνημονευόμεναι δι' ἀρετὴν καὶ δύναμιν αὐτῶν· καὶ οὔτε Αἰσχύλος εἶπεν ἁγνόν τε Ἀπόλλω φυγάδα ἀπ' οὐρανοῦ θεὸν, οὔτε ὁ Σοφοκλέους Ἄδμητος

Οὑμὸς δὲ ἀλέκτωρ αὐτὸν ἦγε πρὸς μύλην.

Πλεῖστον δὲ τῆς ἀληθείας διαμαρτάνουσιν οἱ Δελφῶν θεολόγοι, νομίζοντες ἐνταῦθά ποτε πρὸς ὄφιν τῷ θεῷ περὶ τοῦ χρηστηρίου μάχην γενέσθαι, καὶ ταῦτα ποιηταῖς καὶ λογογράφους ἐν θεάτροις ἀγωνιζομένους λέγειν ἐῶντες, ὥσπερ ἐπίτηδες ἀντιμαρτυροῦντας ὧν δρῶσιν ἱεροῖς τοῖς ἁγιωτάτοις. Θαυμάσαντος δὲ τοῦ Φιλίππου, παρῆν ὁ συγγραφεὺς, καὶ πυθομένου τίσιν ἀντιμαρτυρεῖν θεοῖς οἴεται τοὺς ἀνταγωνιζομένους, Τούτοις, ἔφη, τοῖς περὶ τὸ χρηστήριον, οἷς ἄρτι τοὺς ἔξω Πυλῶν πάντας Ἕλληνας ἡ πόλις κατοργιάζουσα μέχρι Τεμπῶν ἐλήλακεν. Ἥ τε

A. 2. παρῆν ὁ συγγραφεὺς] Melius quidem Anon. Xyl. Mez. παρῆν γὰρ ὁ συγγραφεύς. Vel ſic tamen quid vitii remanere videtur.

diis iſthæç evenerunt, ſed geniis, quorum caſus ob virtutem ipſorum et potentiam memoriæ ſunt proditi: et neque Æſchylus recte dixit,

Caſtumque Apollinem, extorrem cælo deum:

neque Sophoclis Admetus:

At vir meus ad molam excitans duxit eum.

Longiſſime autem a veritate aberrant Delphorum theologi, qui putant hic aliquando Apollinem cum dracone de oraculo decertaſſe: patiunturque iſta dici a poëtis et oratoribus in theatris de palma contendentibus ac quaſi dedita opera teſtimonio ſuo damnantibus ea quæ ipſi in ſanctiſſimis agunt ſacris. Admirante Philippo (aderat enim is hiſtoriarum ſcriptor) et quærente, contra quos tandem ritus putaret teſtimonium ferri ab iſtis concertatoribus: Contra hos ipſos, inquit Cleombrotus, qui apud Oraculum peraguntur hocce, quibus omnes Græcos qui ſunt extra Pylas initiavit urbs hæc, et uſque ad Tempe progreſſa eſt. Nam tabernaculum quod

γὰρ ἱσταμένη καλιὰς ἐνταῦθα περὶ τὴν ἅλω δι' ἐννέα ἐτῶν, οὐ φωλεώδης τοῦ δράκοντος χειά, ἀλλὰ μίμημα τυραννικῆς ἢ βασιλικῆς ἐστιν οἰκήσεως· ἥ τε μετὰ σιγῆς ἐπ' αὐτὴν διὰ τῆς ὀνομαζομένης Δολωνείας ἔφοδος, μὴ αἰό-
B λα δὲ τὸν ἀμφιθαλῆ κόρον ἡμμέναις δᾳσὶν ἄγουσι, καὶ προσβάλλοντες τὸ πῦρ τῇ καλιάδι, καὶ τὴν τράπεζαν ἀνατρέψαντες ἀνεπιστρεπτεὶ φεύγουσι διὰ τῶν θυρῶν τοῦ ἱεροῦ· καὶ τελευταῖον αἵ τε πλάναι καὶ ἡ λατρεία τοῦ παιδὸς, οἵ τε γινόμενοι περὶ τὰ Τέμπη καθαρμοὶ, μεγάλου τινὸς ἄγους καὶ τολμήματος ὑποψίαν ἔχουσι. Παγγέλοιον γάρ ἐστιν, ὦ ἑταῖρε, τὸν Ἀπόλλω κτείναντα θηρίον, φεύγειν ἐπὶ πέρατα τῆς Ἑλλάδος ἁγνισμοῦ δεόμενον, εἶτ' ἐκεῖ χοάς τινας χεῖσθαι καὶ δρᾷν, ἃ δρῶσιν ἄνθρωποι, μηνίματα δαιμόνων ἀφοσιούμενοι καὶ πραΰ-
C νοντες, οὓς ἀλάστορας καὶ παλαμναίους ὀνομάζουσιν, ὡς ἀλήστων τινῶν καὶ παλαιῶν μιασμάτων μνήμαις ἐπεξιόν-

A. 10. μὴ αἰόλα δὲ] Non dubium quin μὴ mutandum in ἢ. At iſtius αἰόλα δὲ probabilem nondum habemus correctionem : an Αἰολίδαι vel Ἀλευάδαι? De re hac quid exſtat Quæſt. Græc. XII.

nono quoque anno juxta aream excitatur, non cavernoſa draconis eſt ſpecus, ſed exemplum tyrannici aut regii domicilii, itemque irruptio in eam taciturna per locum qui Doloneia dicitur: tum patrimus matrimuſque puer facibus ardentibus adducitur, ignique tabernaculo injecto, ſubverſaque menſa offuſe, nunquam retro oculos rejicientes fugiunt: denique errores et miniſteria pueri, et piacula, quæ ad Tempe fiunt luſtrandi gratia, magni alicujus ſceleris facinoriſque audacter perpetrati ſuſpicionem præbent. Nimis quam enim ridiculum eſt, Socie, Apollinem ob interfectam beſtiam expiationis indigum ad Græciæ extrema fugiſſe, ibique libationes quaſdam feciſſe, et ea egiſſe, quæ homines agunt ut iram avertant ac placent geniorum quorundam, quos alaſtoras et palamnæos nominant, tanquam veterum aliquorum et nulla oblivione

τες. Ὃν δὲ ἤκουσα λόγον ἤδη περὶ τῆς φυγῆς ταύτης καὶ τῆς μεταστάσεως, ἄτοπος μὲν ἐστι δεινῶς καὶ παράδοξος· εἰ δ' ἀληθείας τι μετέχει, μὴ μικρὸν οἰώμεθα μηδὲ κοινὸν εἶναι τὸ πραχθὲν ἐν τοῖς τότε χρόνοις περὶ τὸ χρηστήριον. Ἀλλ' ἵνα μὴ τὸ Ἐμπεδόκλειον εἰπεῖν δόξω, κορυφὰς ἑτέρας ἑτέραις προσάπτων μύθων, μήτε λέγειν ἀτραπὸν μίαν, ἐάσατέ με τοῖς πρώτοις τὸ προσῆκον ἐπιθεῖναι τέλος· ἤδη γὰρ ἐπ' αὐτῷ γεγόναμεν· καὶ τετολμήσθω μετὰ πολλοὺς εἰρῆσθαι καὶ ἡμῖν, ὅτι τοῖς περὶ D τὰ μαντεῖα καὶ χρηστήρια τεταγμένοις δαιμονίοις ἐκλείπουσί τε κομιδῇ, συνεκλείπει τὰ τοιαῦτα, καὶ φυγόντων ἢ μεταστάντων ἀποβάλλει τὴν δύναμιν, εἶτα παρόντων αὐτῶν διὰ χρόνου πολλοῦ, καθάπερ ὄργανα, φθέγγεται τῶν χρωμένων ἐπιστάντων καὶ παρόντων.

ιϛʹ. Ταῦτα τοῦ Κλεομβρότου διελθόντος, ὁ Ἡρακλέων, Οὐδεὶς μὲν, ἔφη, τῶν βεβήλων καὶ ἀμυήτων καὶ περὶ θεῶν

C. 8. μήτε λέγειν] Forte μήτε λόγων.

conterendorum ſcelerum ultores. Quem vero ipſe de fuga hac et exſilio ſermonem audivi, valde quidem abſurdus et a probabilitate alienus eſt: ſed ſi quid tamen veri continet, exiſtimemus non exiguum aut vulgare aliquid iſtis temporibus circa oraculum eveniſſe. Sed ne videar, ut cum Empedocle loquar,

Culminibus nectens aliis faſtigia ſumma
Sermonum, variis incede e callibus,

finite me primis dictis finem convenientem imponere. Jam enim eo perventum eſt, audeamuſque id poſt multos alios ipſi quoque pronunciare, geniis qui oraculis ac vaticiniis præfecti ſunt vel deficientibus omnino, etiam intercidere iſta, vel fugientibus aut alio migrantibus vim ſuam amittere: rurſuſque longo poſt tempore reverſis iis, tanquam inſtrumenta ſonare fatidica loca eorum ob præſentiam.

XVI. Quæ cum dixiſſet Cleombrotus, Heracleo, Sane, inquit: nemo nobis adeſt profanus, aut qui de diis incon-

δόξας ἀσυγκράτους ἡμῖν ἐχόντων παρέστιν· αὐτοὶ δὲ παραφυλάττωμεν αὐτοὺς, ὦ Φίλιππε, μὴ λάθωμεν ἀτόπους ὑποθέσεις καὶ μεγάλας τῷ λόγῳ διδόντες. Εὖ λέγεις, ὁ Φίλιππος εἶπεν, ἀλλὰ τί μάλιστά σε δυσωπεῖ τῶν ὑπὸ Κλεομβρότου τιθεμένων; Καὶ ὁ Ἡρακλέων, Τὸ μὲν ἐφεστάναι τοῖς χρηστηρίοις, εἶπε, μὴ θεοὺς, οἷς ἀπηλλάχθαι τῶν περὶ γῆν προσῆκόν ἐστιν, ἀλλὰ δαίμονας ὑπηρέτας θεῶν, οὐ δοκεῖ μοι κακῶς ἀξιοῦσθαι· τὸ δὲ τοῖς δαίμοσι τούτοις, μονονουχὶ ῥάγδην λαμβάνοντας ἐκ τῶν ἐπῶν τῶν Ἐμπεδοκλέους, ἁμαρτίας καὶ ἄτας καὶ πλάνας θεηλάτους ἐπιφέρειν, τελευτῶντας δὲ καὶ θανάτους ὥσπερ ἀνθρώπων ὑποτίθεσθαι, θρασύτερον ἡγοῦ-
F μαι καὶ βαρβαρικώτερον· ἠρώτησεν οὖν ὁ Κλεόμβροτος τὸν Φίλιππον, ὅστις εἴη καὶ ὁπόθεν ὁ νεανίας· πυθόμενος δὲ τοὔνομα καὶ τὴν πόλιν, Οὐδ᾽ αὐτοὺς ἡμᾶς, ἔφη, λανθάνομεν, ὦ Ἡρακλέων, ἐν λόγοις ἀτόποις γεγονό-

E. 7. ῥάγδην] Non Empedoclis ſed Plutarchi eſt. Locum referunt Euſeb. Præp. Evang. V, 17, et 4. item Theodoret. Serm. X. p. 624, apud quem eſt δράξμην ut in margine Venet. 2. Puto δράγδην *plena injecta manu*, ſcriptum a Plutarcho.

cinnas foveat ſententias: ipſi interim tamen, Philippe, nos attendamus, ne imprudentes orationi principia grandia, eaque abſurda, largiamur. Recte mones, reſpondit Philippus: ſed quidnam in dictis a Cleombroto eſt, quod te potiſſimum terret? Tum Heracleo: Quod oraculis, inquit, præeſſe ſtatuuntur non dii, quos par eſt nihil habere cum terreſtribus negotii, ſed deorum adminiſtri genii, id videtur mihi non male pronunciatum eſſe: quod autem geniis iſtis tantum non ex verſibus Empedoclis palam arreptis peccata quædam, calamitates, et errores a diis injuncti adſcribuntur, denique morti perinde atque homines ſubjiciuntur, ferocius mihi videtur dictum, magiſque barbarice. Quæſivit e Philippo Cleombrotus, quiſnam et cujas eſſet hic adoleſcens: cognitoque nomine et patria, Ne nos quidem, inquit, mi Heracleo, ignoramus in ſermonem nos in-

νεῖν, ἀλλ' ἐὰν οὕτως, γνῶναι τὸν Θαμοῦν, ἐὰν μὲν ᾖ
πνεῦμα, παραπλεῖν ἡσυχίαν ἔχοντα, νηνεμίας δὲ καὶ γα-
λήνης περὶ τὸν τόπον γενομένης ἀνειπεῖν ὃ ἤκουσεν. Ὡς D
οὖν ἐγένετο κατὰ τὸ Παλῶδες, οὔτε πνεύματος ὄντος οὔτε
κλύδωνος, ἐκ πρύμνης βλέποντα τὸν Θαμοῦν πρὸς τὴν
γῆν εἰπεῖν, ὥσπερ ἤκουσεν, ὅτι, Ὁ μέγας Πὰν τέθνηκεν·
οὐ φθῆναι δὲ παυσάμενον αὐτὸν, καὶ γενέσθαι μέγαν οὐχ
ἑνὸς ἀλλὰ πολλῶν στεναγμὸν, ἅμα θαυμασμῷ μεμιγ-
μένον. Οἷα δὲ πολλῶν ἀνθρώπων παρόντων, ταχὺ τὸν
λόγον ἐν Ῥώμῃ σκεδασθῆναι, καὶ τὸν Θαμοῦν γενέσθαι
μετάπεμπτον ὑπὸ Τιβερίου Καίσαρος· οὕτω δὲ πιστεῦ-
σαι τῷ λόγῳ τὸν Τιβέριον, ὥστε διαπυνθάνεσθαι καὶ ζη-
τεῖν περὶ τοῦ Πανός· εἰκάζειν δὲ τοὺς περὶ αὐτὸν φιλο-
λόγους συχνοὺς ὄντας, τὸν ἐξ Ἑρμοῦ καὶ Πηνελόπης γε- E
γενημένον. Ὁ μὲν οὖν Φίλιππος εἶχε καὶ τῶν παρόν-
των ἐνίους μάρτυρας, Αἰμιλιανοῦ τοῦ γέροντος ἀκηκοότας.

que quicquam curioſe agere. Thamun autem ſtatuiſſe, ſi ventus ſpiraret, tacitum ſe prætervecturum: ſin malacia ad eum locum pervectis exſiſterit, expoſiturum quod audiviſſet. Poſtquam ad Palodes perventum fuit, cum neque ventus eſſet, neque fluctibus mare exagitaretur, Thamun e puppi verſus terram proſpexiſſe, ac quod inaudiverat dixiſſe, *Mortuus eſt magnus Pan.* Vix dum conticuiſſe illum, et gemitum magnum exauditum fuiſſe, non unius ſed multorum admiratione mixtum. Quod autem fieri ſolet cum evenit aliquid multis teſtibus præſentibus, ſtatim rei famam Romæ fuiſſe diditam, Thamunque a Tiberio Cæſare fuiſſe arceſſitum, ac Cæſarem ita pro certo credidiſſe, ut de Pane illo diligenter inquiſiverit. Doctos vero, quos ille multos ſecum habebat, conjeciſſe eum eſſe, qui Mercurio et Penelopa fuiſſet natus. Habuit autem Philippus teſtes quoſdam ex iis qui tum una aderant, et Æmiliani jam ſenis auditores fuerant.

ιη΄. Ὁ δὲ Δημήτριος ἔφη, Τῶν περὶ τὴν Βρεττανίαν νήσων εἶναι πολλὰς ἐρήμους σποράδας, ὧν ἐνίας δαιμόνων καὶ ἡρώων ὀνομάζεσθαι· πλεῦσαι δὲ αὐτὸς ἱστορίας καὶ θέας ἕνεκα, πομπῇ τοῦ βασιλέως, εἰς τὴν ἔγγιστα κειμένην τῶν ἐρήμων, ἔχουσαν οὐ πολλοὺς ἐποικοῦντας, ἱεροὺς δὲ καὶ ἀσύλους πάντας ὑπὸ τῶν Βρεττανῶν ὄντας· ἀφικομένου δ' αὐτοῦ νεωστὶ, σύγχυσιν μεγάλην περὶ τὸν ἀέρα καὶ διοσημείας πολλὰς γενέσθαι, καὶ πνεύματα καταρραγῆναι καὶ πεσεῖν πρηστῆρας. Ἐπεὶ δ' ἐλώφησε, λέγειν τοὺς νησιώτας ὅτι τῶν κρεισσόνων τινὸς ἔκλειψις γέγονεν· ὡς γὰρ λύχνος ἀναπτόμενος, φάναι, δεινὸν οὐδὲν ἔχει, σβεννύμενος δὲ πολλοῖς λυπηρός ἐστιν, οὕτως αἱ μεγάλαι ψυχαὶ τὰς μὲν ἀναλάμψεις εὐμενεῖς καὶ ἀλύπους ἔχουσιν, αἱ δὲ σβέσεις αὐτῶν καὶ φθοραὶ πολλάκις μὲν ὡς νυνὶ πνεύματα καὶ ζάλας τρέπουσι, πολλάκις δὲ λοιμικοῖς πάθεσιν ἀέρα φαρμάττουσιν.

XVIII. Demetrius porro narravit, inſulas circa Britanniam eſſe multas hinc inde ſparſas (quales ex eo Sporades Græcis dicuntur) eaſque deſertas, quarum nonnullæ geniorum et heroum dicantur. Se quoque mittente imperatore cognoſcendi atque perluſtrandi gratia profectum in eam quæ deſertis proxima, a paucis tenebatur incolis, ſed quos omnes Britanni ſacros inviolabileſque haberent: ſtatim vero poſt ipſius adventum magnam in aëre confuſionem exſtitiſſe, et portenta multa, ventoſque in procellas erupiſſe, et ignitos vortices in terram delatos fuiſſe: ſub horum finem, inſulares dixiſſe, aliquem eorum qui præſtantioris humana ſunt naturæ, eſſe deſiiſſe: ſicut enim lucerna, dum accenditur, nihil ſecum mali trahit: cum exſtinguitur, moleſtiam multis adfert, ſic magnas animas effulgere quidem placidas et innoxias, dum delentur autem atque occidunt, ſæpe, ſicut et in præſentia, ventos ac tempeſtates excitare, aliquando etiam peſtilentia aërem infi-

δυναμένων, ἀναιρεῖ, καὶ τιθεμένη πολλὰ συνεφέλκεται τῶν ἀδυνάτων καὶ ἀνυπάρκτων; Ὃ μέντοι μόνον ἀκήκοα B τῶν Ἐπικουρείων λεγόντων πρὸς τοὺς εἰσαγομένους ὑπὸ Ἐμπεδοκλέους δαίμονας, ὡς οὐ δυνατόν ἐστι φαύλους καὶ ἁμαρτητικοὺς ὄντας, μακαρίους καὶ μακραίωνας εἶναι, πολλὴν τυφλότητα τῆς κακίας ἐχούσης, καὶ τὸ περιπτωτικὸν τοῖς ἀναιρετικοῖς, εὔηθές ἐστιν. Οὕτω γὰρ Ἐπίκουρός τε χείρων Γοργίου φανεῖται τοῦ σοφιστοῦ, καὶ Μητρόδωρος Ἀλέξιδος τοῦ κωμῳδοποιοῦ· διπλάσιον γὰρ οὗτος ἔζησε τοῦ Μητροδώρου, Ἐπικούρου δ' ἐκεῖνος πλέον ἢ ἐπίτριτον. Ἄλλως γὰρ ἰσχυρὰν ἀρετὴν καὶ κακίαν εἶναι E ἀσθενεῖς λέγομεν, οὐ πρὸς διαμονὴν καὶ διάλυσιν σώματος· ἐπεὶ καὶ τῶν θείων πολλὰ δυσκίνητα καὶ νωθρὰ ταῖς ψυχαῖς ὄντα, πολλὰ δὲ ἀκόλαστα καὶ ἄτακτα, τῶν συνετῶν καὶ πανούργων χρόνους ζῇ μακροτέρους. Ὅτι

E. 2. ἀσθενεῖς λέγομεν, οὐ] Vera lectio in qua fere conſentiunt Amiot. Xyl. Turn. T. V. Mez. Vulgo ἀσθενοῦς λεγομένου.

E. 3. θείων] Legendum vel ζώων ex Anon. T. V. Mez. vel θηρίων quod propius eſt vulgato. Cum utroque conſentit Xyl. et Amiot.

ſin admittatur, multa ſecum trahere impoſſibilia et quæ non exſtiterint? Quod tamen unum audivi Epicureos adferre contra Empedoclem genios introducentem, non poſſe eos, mali cum ſint et vitioſi, beatos eſſe ac longævos, quod multa adſit pravitati cæcitas, proclivisque ad ea quæ interimunt lapſus: id vero fatuum eſt. Hac enim ratione efficitur, Epicurum Gorgia ſophiſta, et Metrodorum Alexide comœdiæ ſcriptore eſſe deteriorem; hic enim duplum annorum vitæ Metrodori vivendo confecit, Gorgias amplius triente ſeculum Epicuri ſuperavit. Alia nimirum ratione validam rem eſſe virtutem, vitium imbecillam dicimus, non quod ad corporis durationem aut diſſolutionem reſpiciamus: quando etiam animalium multa tarda hebetique indole prædita, multa etiam libidinoſa et incompoſita diutius vivunt, quam ingenioſa et callidiſſima alia. Ita-

οὐκ εὖ τῷ θεῷ τὴν ἀϊδιότητα ποιοῦσιν ἐκ φυλακῆς καὶ διακρούσεως τῶν ἀναιρετικῶν· ἔδει γὰρ ἐν τῇ φύσει τοῦ μακαρίου τὸ ἀπαθὲς καὶ ἄφθαρτον εἶναι, μηδεμιᾶς πραγματείας δεόμενον. Ἀλλ᾽ ἴσως τὸ λέγειν πρὸς μὴ παρόντας, οὐκ εὔγνωμον φαίνεται· πάλιν οὖν
F ὁ Κλεόμβροτος ἡμῖν, ὃν ἄρτι περὶ τῆς μεταστάσεως καὶ φυγῆς τῶν δαιμονίων ἀφῆκε λόγον, ἀναλαβεῖν δίκαιός ἐστι.

κα΄. Καὶ ὁ Κλεόμβροτος, Ἀλλὰ θαυμάσαιμ᾽ ἄν, εἶπεν, εἰ μὴ πολὺ φαίνεται τῶν εἰρημένων ἡμῖν ἀτοπώτερος· καίτοι δοκεῖ φυσιολογίας ἔχεσθαι, καὶ Πλάτων αὐτῷ παρέσχε τὸ ἐνδόσιμον, οὐχ ἁπλῶς ἀποφηνάμενος ἐκ δόξης ἀμαυρᾶς, καὶ ὑπόνοιαν ἐμβαλὼν αἰνιγματώδη μετ᾽ εὐλαβείας· ἀλλ᾽ ὅμως πολλὴ γέγονε κἀκείνῳ
11 καταβόησις ὑπὸ τῶν ἄλλων φιλοσόφων. Ἐπεὶ δὲ μύθων καὶ λόγων ἀναμεμιγμένων κρατὴρ ἐν μέσῳ πρό-

F. 9. πολλὴ] Sic A. B. Colleg. Nov. T. Mez. Vulgo πολύ.

que non recte deo Epicurei immortalitatem ideo tribuunt, quod caveat et repellere poſſit quæ vim habent interimendi; oportebat enim in ipſa natura beati immunitatem perpeſſionum ac interitus ineſſe, neque opus habere labore ad eam conſequendam ullo aut negotio. Sed fortaſſis parum æqui animi eſſe videatur diſputatio contra abſentes; itaque Cleombroti eſt quam de migratione et fuga geniorum intermiſit orationem reſumere ac perſequi.

XXI. Tum Cleombrotus, Atqui mirer profecto, inquit, ſi non multo abſurdior dictis vobis judicetur, quanquam cum naturæ rerum explicatione videatur cohærere, Platoque ei incentivum præbuerit, non aperte pronuncians, ſed obſcura opinione ſuſpicionem quandam de re ambagibus perplexam prodiderit: caute is quidem, ſed tamen multis ipſe quoque philoſophorum clamoribus impetitus. Verum quando in medium propoſitus eſt crater fabularum

κεῖται, καὶ πού τις ἐν εὐμενεστέροις ἀκροαταῖς ἐπιτυχὼν
ὥσπερ νομίσματα ξενικὰ, τούτους δοκιμάσαι τοὺς λόγους,
οὐκ ὀκνῶ χαρίζεσθαι βαρβάρου διήγησιν ἀνδρὸς, ὃν
πλάναις πολλαῖς, καὶ μήνυτρα τελέσας μεγάλα περὶ
τὴν ἐρυθρὰν θάλασσαν ἀνθρώποις ἀνὰ πᾶν ἔτος ἅπαξ
ἐντυγχάνοντα, τἄλλα δὲ σὺν ταῖς νύμφαις νομάσι καὶ
δαίμοσιν, ὡς ἔφασκε, μόλις ἐξανευρὼν, ἔτυχον λόγου
καὶ φιλοφροσύνης. Κάλλιστος μὲν ἦν ὧν εἶδον ἀνθρώ-
πων ὀφθῆναι, νόσου τε πάσης ἀπαθὴς διετέλει, καρπόν B
τινα πόας φαρμακώδη καὶ πικρὸν ἑκάστου μηνὸς ἅπαξ
προσφερόμενος· γλώσσαις δὲ πολλαῖς ἤσκητο χρῆσθαι,
πρὸς δ' ἐμὲ τὸ πλεῖστον ἐδώριζεν, οὐ πόῤῥω μελῶν·
φθεγγομένου δὲ, τὸν τόπον εὐωδία κατεῖχε, τοῦ στόματος ἥδιστον
ἀποπνέοντος. Ἡ μὲν οὖν ἄλλη μάθησις καὶ ἱστορία συνῆν

A. 3. πού τις ἐν] Legendum videtur οὔ τις ἄν. Mox inter θάλασσαν et ἀνθρώποις delevimus εὑρὸν, ſecundum F. Venet. 2. Ald. Baſ. Tum σὺν ταῖς mutandum in σύνοντα cum Reiſk.

B. 5. ἥδιστον] Forte πλεῖστον, ut Euſeb. Præp. Evang. V, 5.

ſermonibus permixtarum, neque temere in æquiores auditores incidere liceat, ubi hæ narrationes veluti peregrinum numiſma examinari poſſint: non gravate vobis barbari hominis narrationem largiar: quem hominem multis ipſe erroribus, indiciique mercede ampla perſoluta, apud rubrum mare ſemel quotannis hominum congreſſui ſe exhibentem, reliquum tempus (ut ipſe aiebat) cum vagis Nymphis et geniis degentem, ægre demum inveni, ab eoque comiter ad colloquium ſum admiſſus. Formoſiſſimus iſte hominum, quos ego quidem viderim, erat, et ab omni perpetuum morbo ſecurus vivebat, ſingulis menſibus ſemel fructu herbæ cujuſdam medicato et amaro veſcens: multis utebatur linguis, mecum autem Dorice maximam partem locutus eſt, ſermone non multum a carmine ac cantu differente: loquente autem ipſo ſuavis odor locum obtinebat, ore ipſius ſuaviſſime fragrante. Is cum totum tempus reli-

αὐτῷ τὸν πάντα χρόνον· εἰς δὲ μαντικὴν ἐνεπνεῖτο μίαν ἡμέραν ἔτους ἑκάστου, καὶ προεθέσπιζε κατιὼν ἐπὶ θάλατταν, ἐπεφοίτων δὲ καὶ δυνάσται καὶ γραμματεῖς βασιλέων, εἶτ' ἀπῄεσαν. Ἐκεῖνος οὖν τὴν μαντικὴν ἀνῆγεν
C εἰς δαίμονας· ἥδιστον δὲ Δελφῶν λόγον εἶχε, καὶ περὶ τῶν λεγομένων περὶ τὸν Διόνυσον ἐνταῦθα καὶ δρωμένων ἱερῶν, οὐδενὸς ἀνήκοος ἦν, ἀλλὰ κἀκεῖνα δαιμόνων ἔφασκεν εἶναι πάθη μεγάλα, καὶ ταῦτα δὴ περὶ Πύθωνα· τὸν δ' ἀποκτείναντα μήτ' ἐννέα ἐτῶν, μήτ' εἰς τὰ Τέμπη γενέσθαι τὴν φυγὴν ἀλλ' ἐκπεσόντα ἐλθεῖν εἰς ἕτερον κόσμον· ὕστερον δ' ἐκεῖθεν ἐνιαυτῶν μεγάλων ἐννέα περιόδοις ἁγνὸν γενόμενον, καὶ Φοῖβον ἀληθῶς, καὶ ἐλθόντα τὸ χρηστήριον παραλαβεῖν, τέως ὑπὸ Θέμιδος φυλαττόμενον. Οὕτως δὲ ἔχειν καὶ τὰ Τυφωνικά, καὶ τὰ Τι-
D τανικὰ δαιμόνων μάχας γεγονέναι πρὸς δαίμονας, εἶτα

C. 6. τὴν φυγὴν—κόσμον] Ita recepimus ex Euſebio. Vulgo μετὰ τὸ φυγεῖν αὐτὸν ἐκπεσόντα κόσμον.

C. 8. καὶ ἐλθόντα] Legendum κατελθόντα. Mox ἔχειν ex Euſeb. pro vulgato ἔχει. Poterat et ſcribere ἔφη.

qua cognitione et ſcientia rerum valeret uno die quotannis afflatu ad vaticinandum agebatur, et ad mare ſe conferens, futura prædicebat: accedebant autem eo et principes et regum ſcribæ, eoque audito diſcedebant. Hic ergo divinationem geniis acceptam ferebat, plurimuſque erat in Delphorum mentione: et quæ hic Baccho eveniſſe dicuntur, et ſacrificia peraguntur, omnia inaudiverat. Verum cum hæc eſſe magnos geniorum caſus affirmabat, tum ea ipſa quæ de Pythone feruntur. Quem qui occidit, eum neque per novem annos, neque apud Tempe exſulaſſe aiebat: verum ejectum veniſſe in alium mundum, atque inde circumactis novem magnorum annorum curriculis, expiatum, vereque Phœbum, id eſt mundum, rediiſſe, atque oraculum recepiſſe, quod interim cuſtoditum a Themide fuerat. Eandem eſſe rationem docebat Typhonicorum et Titanicorum, fuiſſe pugnas geniorum adverſus genios, tum exſilia

φυγὰς τῶν κρατηθέντων, ἢ δικαιώσεις ὑπὸ θεοῦ τῶν ἐξαμαρτόντων, οἷα Τυφῶν λέγεται περὶ Ὄσιριν ἐξαμαρτεῖν, καὶ Κρόνος περὶ Οὐρανόν, ὧν ἀμαυρότεραι γεγόνασιν αἱ τιμαί· ἢ καὶ παντάπασι μεταστάντων εἰς ἕτερον κόσμον. Ἐπεὶ καὶ Σολύμους πυνθάνομαι τοὺς Λυκίων περιοίκους ἐν τοῖς μάλιστα τιμᾶν τὸν Κρόνον· ἐπεὶ δὲ ἀποκτείνας τοὺς ἄρχοντας αὐτῶν, Ἄρσαλον καὶ Δρύον καὶ Τροσοβιόν, ἔφυγε καὶ μετεχώρησεν ὁπηδήποτε, (τοῦτο γὰρ οὐκ ἔχουσιν εἰπεῖν) ἐκεῖνον μὲν ἀμεληθῆναι, τοὺς δὲ περὶ τὸν Ἄρσαλον σκληροὺς θεοὺς προσαγορεύεσθαι, καὶ 1 τὰς κατάρας ἐπὶ τούτῳ ποιεῖσθαι δημοσίᾳ καὶ ἰδίᾳ Λυκίους. Τούτοις μὲν οὖν ὅμοια πολλὰ λαβεῖν ἔστιν ἐκ τῶν θεολογουμένων. Εἰ δὲ τοῖς νενομισμένοις τῶν θεῶν ὀνόμασι δαίμονάς τινας καλοῦμεν, οὐ θαυμαστέον, εἶπεν ὁ ξένος· ᾧ γὰρ ἕκαστος θεῷ συντέτακται, καὶ παρ' οὗ δυνά-

D. 8. Δρύον καὶ Τροσοβιὸν] Euſeb. Ἄρυτεν καὶ Τόσιβιν. Mox ἐκεῖνον ex eodem pro vulgato ἐκείνων; item ὁπουδήποτε pro ὁπηδήποτε: item προσαγορεύεσθαι accedentibus D. et Colleg. Nov. Idem Euſeb. Σκαιοὺς θεοὺς et ἐπὶ τούτων quod utrumque reddidit Xylander, nulla magnopere neceſſaria de cauſa.

ſuperatorum, aut pœnas a deo peccantibus impoſitas: quomodo Typhon in Oſiridem, et Saturnus in Cœlum fertur commiſiſſe: quorum obſcurior factus eſt cultus, aut etiam plane intercidit, cum ii in alium commigraverint mundum. Nam et Solymos audio Lyciorum vicinos Saturno quantos non alii majores habuiſſe honores: ſed cum is interfectis ipſorum principibus Arſalo, Dryo et Troſobio, fugit, et alio (incertum quo, neque ipſi poſſunt hoc dicere) commigravit; eo neglecto principes iſtos *Sciroru*m deorum appellatione adfeciſſe, perque eorum nomen publice ac privatim exſecrationes feciſſe Lycios. Hujus generis multa deſumi poſſunt ex his, quæ tradita ſunt de diis. Quod autem nominibus deorum receptis quoſdam genios appellamus, id, addebat hoſpes, mirum videri non debet: cui enim deo quivis geniorum adjunctus eſt, et a

μένους καὶ τιμῆς εἴληχεν, ἀπὸ τούτου φιλεῖ καλεῖσθαι. Καὶ γὰρ ἡμῶν ὁ μέν τις Ἐπὶ Δίιος, ὁ δὲ Ἀθηναῖος, ὁ δὲ Ἀπολλώνιος, ἢ Διονύσιος, ἢ Ἑρμαῖος· ἀλλ' ἔνιοι μὲν οὕτως ὀρθῶς κατὰ τύχην ἐκλήθησαν, οἱ δὲ πολλοὶ μηδὲν
F προσηκούσας, ἀλλ' ἐνηλλαγμένας ἐκτήσαντο θεῶν παρωνυμίας.

κβ'. Σιωπήσαντος δὲ τοῦ Κλεομβρότου, πᾶσι μὲν ὁ λόγος ἐφάνη θαυμαστός· τοῦ δ' Ἡρακλέωνος πυθομένου πῆ ταῦτα προσήκει Πλάτωνι, καὶ πῶς ἐκεῖνος τὸ ἐνδόσιμον τῷ λόγῳ τούτῳ παρέσχεν, Ὁ Κλεόμβροτος, Εὖ μνημονεύεις, εἶπεν, ὅτι τὴν μὲν ἀπειρίαν αὐτόθεν ἀπέγνω τῶν κόσμων, περὶ δὲ πλήθους ὡρισμένου διηπόρησε, καὶ μέχρι τῶν πέντε τοῖς ὑποτιθεμένοις κατὰ στοιχεῖον ἕνα κόσμον ἐπιχωρήσας τὸ εἰκός, αὐτὸς ἑαυτὸν ἐφ' ἑνὸς ἐτήρησεν· καὶ δοκεῖ τοῦτο Πλάτωνος ἴδιον εἶναι, τῶν ἄλλων

F. 5. πῆ ταῦτα προσήκει] Ita Anon. T. V. Mez. Ceteri, μὴ ταῦτα προσήκειν.

quo vim honoremque adeptus, ab eo nomen habere gaudet: ſicut et noſtrum alius Jovius, alius Minervius, alius Apollonius, alius Dionyſius, alius Mercurialis dicitur. Sed quidam etiam fortuito recte appellati ſunt: alii nihil ad ſe pertinentes, ſed alienas deorum denominationes nacti.

XXII. His dictis cum obticuiſſet Cleombrotus, nemo fuit cui non admirabilis ſermo hic videretur. Heracleone autem interrogante, Quonam modo iſta ad Platonem pertinerent, et quomodo is occaſionem huic præbuiſſet ſermoni: Probe, inquit Cleombrotus, meminiſti, Platoni infinitatem mundorum abſque ulla dubitatione improbatam, de multitudine autem definita eum dubitaſſe: cumque iis qui ſingulos mundos ſingulis elementis adſignant, uſque ad quinarium mundorum numerum probabilia ſecutus argumenta conceſſiſſet, ipſum in unius mundi aſſertione ſe continuiſſe. Videturque hoc Platoni eſſe peculiare, reliquis

σφόδρα φοβηθέντων τὸ πλῆθος, ὡς τοὺς ἐπὶ τὴν ὕλην μὴ ὁρίσαντας, ἀλλ' ἐκβάντας εὐθὺς ἀορίστου καὶ χαλεπῆς ἀπειρίας ὑπολαμβανούσης. Ὁ δὲ ξένος, ἔφην ἐγὼ, περὶ πλήθους κόσμων ὥριζεν ἢ Πλάτων, ὅθεν εὖ ἐγίνου τῷ ἀνδρὶ τούτῳ, οὐδὲ διεπειράθης; Ἀλλ' οὐκ ἔμελλον, εἶπεν ὁ Κλεόμβροτος, εἰ μηδὲν ἄλλο τῷ περὶ ταῦτα λιπαρὴς εἶναι καὶ πρόθυμος ἀκροατὴς, ἐνδιδόντος ἑαυτὸν ἵλεω καὶ παρέχοντος. Ἔλεγε δὲ μήτ' ἀπείρους, μήθ' ἕνα, μήτε πέντε κόσμους, ἀλλὰ τρεῖς καὶ ὀγδοήκοντα καὶ ἑκατὸν εἶναι, συντεταγμένους σχῆμα τριγωνοειδὲς, οὗ πλευρὰν ἑκάστην ἑξήκοντα κόσμους ἔχειν· τριῶν δὲ τῶν λοιπῶν ἕκαστον ἱδρῦσθαι κατὰ γωνίαν, ἅπτεσθαι δὲ τοὺς ἐφεξῆς ἀλλήλων, ἀτρέμα περιιόντας, ὥσπερ ἐν χορείᾳ· τὸ δ' ἐντὸς ἐπίπεδον τοῦ τριγώνου κοινὴν ἑστίαν εἶναι πάντων, καλεῖσθαι δὲ πεδίον ἀληθείας, ἐν ᾧ τοὺς λόγους καὶ τὰ

A. 5. ἐπὶ τὴν ὕλην] Lege ἐνὶ τὴν ὕλην quod vertendo reddidimus.
A. 8. ἢ Πλάτων, ὅθεν εὖ ἐγίνου] Legendum ἢ Πλάτων; ἦ, ὅτε συνεγίνου—ut Xyl. vertit. Mox τῷ περὶ ταῦτα, melius Mez. et Reiſk. τῶν περὶ ταῦτα.

a mundorum multitudine valde abhorrentibus, quod qui materiam non uno mundo definirent, hunc egreſſi ſtatim in infinitam et moleſtam inciderent infinitatem. Tum ego: Peregrinus vero, aiebam, iſte tuus eandemne quam Plato mundorum multitudinem cenſebat? aut in tuo cum eo congreſſu ne exploraviſti quidem ejus ſententiam? Reſpondit hæc Cleombrotus. An vero mihi quicquam prius eſſe debuit, quam ut de talibus rebus interrogarem audiremque alacriter, cum ſe ille mihi tam facilem præberet? Dicebat ergo ille, mundos neque innumeros eſſe, neque unum, neque quinque mundos, ſed numero centum octoginta tres, triquetra figura collocatos, ita ut in quovis latere ſint ſexaginta, in quovis angulo unus: qui vero deinceps ſint poſiti, horum proximum a proximo ſemper ſenſim tangi, ac circuire eos veluti in chorea. Planitiem porro, quæ triangula hac figura includitur, communem eſſe omnium larem ſive focum, et campum veritatis dici, ubi repoſitæ ſint

εἶναι καὶ τὰ παραδείγματα τῶν γεγονότων καὶ γενησομέ-
C νων ἀκίνητα κεῖσθαι, καὶ περὶ αὐτὰ τοῦ αἰῶνος ὄντος, οἷον ἀπορροὴν ἐπὶ τοὺς κόσμους φέρεσθαι τὸν χρόνον. Ὄψιν δὲ τούτων καὶ θέαν ψυχαῖς ἀνθρωπίναις ἅπαξ ἐν ἔτεσι μυρίοις ὑπάρχειν, ἄν γε εὖ βιώσωσι· καὶ τῶν ἐνταῦθα τελετῶν τὰς ἀρίστας, ἐκείνης ὄνειρον εἶναι τῆς ἐποπτείας καὶ τελετῆς, καὶ τοὺς λόγους ἀναμνήσεως, ἕνεκα τῶν ἐκεῖ φιλοσοφεῖσθαι καλῶν, ἢ μάτην περαίνεσθαι. Ταῦτ', ἔφη, περὶ τούτων μυθολογοῦντος ἤκουον ἀτεχνῶς, καθάπερ ἐν τελετῇ καὶ μυήσει, μηδεμίαν ἀπόδειξιν τοῦ λόγου μηδὲ πίστιν ἐπιφέροντος.

κγ'. Κἀγὼ τὸν Δημήτριον προσαγορεύσας, πῶς
D ἔχει, ἔφην, τὰ τῶν μνηστήρων ἔπη, τὸν Ὀδυσσέα θαυμασάντων τὸ τόξον μεταχειριζόμενον; Ὑπομνησθέντος δὲ

C. 2. ἐπὶ τοὺς κόσμους] Ita T. V. Verſiones Turn. et Amiot. Anon. Mez. Vulgo ἐπὶ τοὺς χρόνους.

C. 6. ἀναμνήσεως,—ἔφη] Prius ex noſtra correctione ad quam unus proxime accedit liber Colleg. Nov. ἀνίμνησας, reliqui ἀνίμνησεν. Poſterius ex D. Anon. Mez. Vulgo ἔφην.

rationes et formæ atque exemplaria eorum quæ exſtiterunt et exiſtent, immobilia hæc omnia, circaque ea eſſe æternitatem, a qua tempus, quaſi defluens quædam portio, feratur ad mundos. Hæc videnda et contemplanda offerri humanis animis ſemel intra annos decem millia, ſiquidem recte vivant: et quæ hic optima ſacra aut myſteria putantur, ſomnium eſſe iſtius contemplationis atque ſacri ſpectaculi: addebatque aut propter recordationem illorum, quæ illic ſunt bona, hic homines litteris philoſophiæque ſtudere, aut inanem ſumere operam. Hæc, aiebat, ego ipſum hiſce de rebus audivi ſcilicet ut ſit in ſacrificiorum et myſteriorum traditione differentem, cum nullam dictis demonſtrationem adderet, neque argumentis fidem conciliaret.

XXIII. Hic ego e Demetrio quærere, qui haberent procorum verba Ulyſſem admirantium, cum is arcum manibus tractaret. Cumque me-

Δημήτριον, ταῦτ', ἔφην, ἐπέρχεταί μοι περὶ τοῦ ξένου εἰπεῖν, Εἴ τις θηρητὴρ καὶ ἐπίκλοπος ἔπλετο δογμάτων τε καὶ λόγων παντοδαπῶν, καὶ πολυπλανὴς ἐν γράμμασι, καὶ οὐ βάρβαρος, ἀλλ' Ἕλλην γένος ἦν, πολλῆς Ἑλληνίδος μεστῆς ἀνάπλεως· ἐλέγχει δ' αὐτὸν ὁ τῶν κόσμων ἀριθμὸς, οὐκ ὢν Αἰγύπτιος οὐδὲ Ἰνδὸς, ἀλλὰ Δωριεὺς ἀπὸ Σικελίας, ἀνδρὸς Ἱμεραίου τοὔνομα Πέτρωνος. Αὐτοῦ μὲν ἐκείνου βιβλίδιον οὐκ ἀνέγνων, οὐδὲ οἶδα διασωζόμε- E νον· Ἵππυς δὲ ὁ Ῥηγῖνος, οὗ μέμνηται Φανίας ὁ Ἐρέσιος, ἱστορεῖ δόξαν εἶναι ταύτην Πέτρωνος καὶ λόγον, ὡς ἑκατὸν καὶ ὀγδοήκοντα καὶ τρεῖς κόσμους ὄντας, ἁπτομένους δ' ἀλλήλων κατὰ στοιχεῖον· ὅ, τι δὴ τοῦτ' ἐστὶ, κατὰ στοιχεῖον ἅπτεσθαι, μὴ προσδιασαφῶν, μηδ' ἄλλην τινὰ πιθανότητα προσάπτων. Ὑπολαβὼν δὲ Δημήτριος, Τίς δ' ἂν, εἶπεν, ἐν τοιούτοις πράγμασιν εἴη πιθανότης, ὅπου καὶ Πλάτων οὐδὲν εἰπὼν εὔλογον οὐδ' εἰκὸς οὐ-

D. 4. θηρητὴρ] θηητὴρ Xyl. et Mez. ex Homero Od.

moria ipſe ea ſuggeſſiſſet: Idem, inquam, mihi ſubit dicere de peregrino iſto:

En contemplator fuit, ac fur callidus iſte

ſententiarum ſermonumque omnis generis, varieque pervagatus litteras: neque barbarus fuit, ſed Græcus, et eruditione Græcanica affatim refertus. Arguit hoc numerus mundorum, non Ægyptius aut Indus, ſed Dorienſis, e Sicilia propagatus, cujus autor Petro fuit Himeræus. Hujus quidem libellum ipſe non legi, neque ſcio an extet etiamnum. Sed Hippys Rheginus, cujus meminit Phanias Ereſius, hanc ait opinionem ac ſententiam eſſe Petronis, Mundos eſſe centum octoginta tres, qui ſeſe invicem elemento attingant: quid autem ſit contactus ratione elementi, non explicat, neque quicquam aliud adjicit, quod rem probabilem faciat. Sub hæc Demetrius: Et quæ, inquit, probabilitas his in rebus inſit? quando ipſe Plato nihil conſentaneum aut veriſimile

τοὺς κατέβαλε τὸν λόγον; καὶ ὁ Ἡρακλέων, Ἀλλὰ μὴν ὑμῶν, ἔφη, τῶν γραμματικῶν ἀκούομεν εἰς Ὅμηρον ἀγόντων τὴν δόξαν, ὡς ἐκείνου τὸ πᾶν εἰς πέντε κόσμους διανέμοντος, οὐρανὸν, ὕδωρ, ἀέρα, γῆν, ὄλυμπον· ὧν τὰ μὲν δύο, κοινὰ καταλείπει· γῆν μὲν τοῦ κάτω παντὸς οὖσαν, ὄλυμπον δὲ τοῦ ἄνω παντός· οἱ δ' ἐν μέσῳ τρεῖς τοῖς τρισὶ θεοῖς ἀπεδόθησαν. Οὕτω δὲ καὶ Πλάτων ἔοικε τὰ κάλλιστα καὶ πρῶτα σωμάτων εἴδη καὶ
3 σχήματα συννέμων ταῖς τοῦ ὅλου διαφοραῖς, πέντε κόσμους καλεῖν, τὸν γῆς, τὸν ὕδατος, τὸν ἀέρος, τὸν πυρός· ἔσχατον δὲ τὸν περιέχοντα τούτους, τὸν τοῦ δωδεκαέδρου, πολύχυτον καὶ πολύτρεπτον, ὃ μάλιστα δὴ ταῖς ψυχικαῖς
1 περιόδοις καὶ κινήσεσι πρέπον σχῆμα καὶ συναρμόττον ἀπέδωκε. Καὶ ὁ Δημήτριος, Ὅμηρον, ἔφη, τί κινοῦμεν ἐν τῷ παρόντι; μύθων γὰρ ἅλις. Πλάτων δὲ πολλοῦ δεῖ τὰς πέντε τοῦ κόσμου διαφορὰς πέντε κόσμους προσ-

effatus, autor duntaxat hujus fuit ſententiæ. Vos tamen grammaticos, inquit Heracleo, audimus nos, opinionem iſtam Homero vindicantes, qui univerſum in quinque diviſerit mundos, Cœlum, Aquam, Aërem, Terram, Olympum: de quibus duos relinquat communes, ſcilicet terram univerſi infimam, et Olympum ſupremam partem, reliquos autem tres tribus diis attribuat. Eodem etiam modo Plato, qui videtur pulcherrimas eaſdemque primas corporum ſpecies univerſi diſtinctis partibus accommodans, quinque facere mundos, Terræ unum, unum Aquæ, alios Aëris, et Ignis: extremum, qui hos contineat, quem duodecim baſium corpori ob varietatem motus et multitudinem laterum comparavit, quod illam figuram maxime converſionibus motibuſque animalibus congruere exiſtimaret. Intulit hæc Demetrius: Quid in præſentia Homerum movemus? ſatis jam eſt fabularum. Plato au-
e tem nequaquam quinque in partes dividendo univerſum, quinque mundos voluit appel-

ἀγορεύειν, ἐν οἷς τε μάχεται τοῖς ἀπείρους κόσμους ὑποτιθεμένοις, ταῦτα δή φησι, δοκεῖν ἕνα τοῦτον εἶναι μονογενῆ τῷ θεῷ καὶ ἀγαπητόν, ἐκ τοῦ σωματοειδοῦς παντὸς ὅλον καὶ τέλειον καὶ αὐτάρκη γεγενημένον. Ὅθεν ἄν τις καὶ θαυμάσειεν ὅτι τἀληθὲς εἰπὼν αὐτὸς ἑτέροις ἀπιθάνου καὶ λόγον οὐκ ἐχούσης ἀρχὴν παρέσχε δόξης. Τὸ μὲν γὰρ ἕνα μὴ φυλάξαι κόσμον, εἶχεν ἀμωσγέπως ὑπόθεσιν τὴν τοῦ παντὸς ἀπειρίαν· τὸ δὲ ἀφωρισμένως ποιῆσαι τοσούτους, καὶ μήτε πλείους τῶν πέντε, μήτ' ἐλάττους, κομιδῇ παράλογον καὶ πάσης πιθανότητος ἀπηρτημένον, εἰ μή τι σὺ λέγεις, ἔφη, πρὸς ἐμὲ βλέψας. Κἀγώ, Δοκεῖ γὰρ οὕτως, ἔφην, ἀφέντας ἤδη τὸν περὶ χρηστηρίων λόγον, ὡς τέλος ἔχοντα, μεταλαμβάνειν ἕτερον τοσοῦτον. Οὐκ ἀφέντας, εἶπεν ὁ Δημήτριος, ἐκεῖνον, ἀλλὰ μὴ παρελθόντας τοῦτον ἀντιλαμβανόμενον ἡμῶν· οὐ γὰρ ἐνδιατρίψομεν, ἀλλ' ὅσον ἱστορῆσαι τὴν πιθα-

A. 9. ἐν οἷς τε—ταῦτα δὴ] Legendum ὅς γε—αὐτῷ δή.

lari: quo enim loco pugnat adverſum eos, qui infinitos ponunt mundos, ſibi, inquit, videri unicum a deo factum eſſe eoque contentum deum, quod ex univerſa corporea mole totus perfectus, nihilque extra ſe poſitum requirens exſtiterit. Unde etiam non nemini mirari ſubeat, qui verum ipſe dicens, aliis anſam præbuerit ſententiæ probabilitatem non habentis neque rationem ullam. Univerſi quidem infinitas pro argumento ſumi utcumque poterat ſi quis ab unitate mundi diſcederet: quod autem præciſe quinque, non plures neque pauciores, mundi ſtatuuntur, id nimis quam eſt ab omni veri ſpecie et ratione alienum: niſi tu quid dicis, aiebat in me reſpiciens. Ego autem: Nimirum videtur, inquam, vobis omiſſa de oraculis diſputatione, quaſi ad finem jam perducta, aliam ſuſcipere. Non, inquit Demetrius, iſtam miſſam faciemus: ſed hanc nobis ſeſe ingerentem non præteribimus: non enim huic immorabimur, ſed ita attingentes, ut quid pro-

νόητα, θέλοντες αὐτοῦ, μέτιμεν ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν.

κδ'. Πρῶτον τοίνυν (ἔφην ἐγὼ) τὰ κωλύοντα ποιεῖν κόσμους ἀπείρους, οὐκ ἀπείργει πλείονας ἑνὸς ποιεῖν· καὶ γὰρ ὅσον ἐστὶν εἶναι καὶ μαντικὴν καὶ πρόνοιαν ἐν πλείοσι κόσμοις, καὶ τὸ μικροτάτην τύχην παρεμπίπτειν, τὰ δὲ πλεῖστα καὶ μέγιστα τάξιν λαμβάνειν γένεσιν
D καὶ μεταβολήν, ὧν οὐδὲν ἡ ἀπειρία δέχεσθαι πέφυκεν. Ἔπειτα τῷ λόγῳ μᾶλλον ἕπεται τὸ τοῦ θεοῦ μὴ μονογενῆ μηδ' ἔρημον εἶναι τὸν κόσμον. Ἀγαθὸς γὰρ ὢν τελέως οὐδεμιᾶς ἀρετῆς ἐνδεής ἐστιν, ἥκιστα δὲ τῶν περὶ δικαιοσύνην καὶ φιλίαν· κάλλισται γὰρ αὐτοῦ καὶ θεοῖς πρέπουσαι· μάτην δὲ οὐδὲν ἔχειν οὐδὲ ἄχρηστον θεὸς πέφυκεν· εἰσὶν οὖν ἐκτὸς ἕτεροι θεοὶ καὶ κόσμοι, πρὸς οὓς χρῆται ταῖς κοινωνικαῖς ἀρεταῖς· οὐδὲ γὰρ πρὸς αὑτόν, οὐδὲ μέρος

C. 9. ὅσον ἐστὶν] Legendum οἷόν τ' ἐστὶν. Mez. et Xyl.
D. 4. ἥκιστα δὲ τῶν] Vulgo ἥκιστα δὲ τῷ. Mox κάλλισται γὰρ αὗται κ. corrigendum.

babile ſit nobis appareat, ad propoſitam initio quæſtionem nos referamus.

XXIV. Tum ego ſic; Primum, inquam, ea quæ non ſinunt infinitos mundos ſtatuere, non impediunt quo minus uno plures cenſeantur mundi: fieri enim ſic quoque poteſt ut pluribus in mundis divinationi locus ſit, et fortunæ minimus interventus, pleraque autem et maxima ordinatis motibus ac viciſſitudinibus ferantur: quorum nihil infinitas admittere poteſt. Deinde rationi magis conſentaneum eſt divinæ naturæ, non eſſe unicum ac ſolitarium mundum. Deus enim perfecte bonus cum ſit, nullius virtutis eſt expers, minime omnium juſtitiæ et amicitiæ: quæ pulcherrimæ ſunt, deumque apprime decent. Ad hæc nihil fruſtra ut habeat aut quo non utatur, dei fert natura. Sunt ergo extra alii dii aliique mundi, erga quos utitur virtutibus iſtis ad communitatem pertinentibus: non enim erga ſe aut partem ſui utitur

αὐτοῦ χρῆσις ἐπὶ δικαιοσύνης, ἢ χάριτος, ἢ χρηστότητος; ἀλλὰ πρὸς ἄλλους· ὥστε οὐκ εἰκὸς ἄφιλον οὐδ' ἀγείτονα τόνδ', οὐδ' ἄμικτον ἐν ἀπείρῳ κενῷ τὸν κόσμον σαλεύειν. Ἐπεὶ καὶ τὴν φύσιν ὁρῶμεν τὰ καθ' ἕκαστα γένεσι καὶ εἴδεσιν οἷον ἀγγείοις ἢ περικαρπίοις σπέρματος περιέχουσαν· οὐδὲν γὰρ ἐν ἀριθμῷ τῶν ὄντων ἐστίν· οὐδὲ μὴν λόγος ὑπάρχει κοινός, οὐδὲ τυγχάνει τῆς τοιᾶσδε προσηγορίας, ὃ μὴ κοινῶς ποιόν, ἰδίως ἐστίν· ὁ δὲ κόσμος οὐ λέγεται κοινὸς εἶναι· ποιοὶ δ' ὡς τοίνυν ποιός ἐστιν ἐκ διαφορᾶς τῆς πρὸς ἄλληλα συγγενὴς καὶ μονοειδὴς γεγονὼς τοιοῦτος. Εἰ γὰρ οὔτε ἄνθρωπος εἷς, οὔτε ἵππος ἐν τῇ φύσει γέγονεν, οὔτε ἄστρον, οὔτε θεός, οὔτε δαίμων, τί κωλύει μηδὲ κόσμον ἕνα τὴν φύσιν ἔχειν, ἀλ-

E. 4. ἢ περικαρπίοις—γεγονὼς τοιοῦτος] Sophiſma Dialecticum, cujus hæc pars mire a librariis corrupta, ſic refingenda videtur: ὥσπερ καρποὺς σπέρματι περιέχουσαν· οὐδὲν γὰρ ἓν τῶν ὄντων· οὔτε τί ἐστιν, οὗ γε μὴ λόγος ὑπάρχει κοινός· οὐδὲ τυγχάνει τῆς τοιᾶσδε προσηγορίας, ὃ μὴ κοινῶς ποιόν ἰδίως τ' ἐστιν. Ὁ δὲ κόσμος λέγεται, τῷ κοινῶς εἶναι ποιός· ἰδίως δ' αὖ ποιός ἐστιν ἐκ διαφόρας τῆς πρὸς ἄλλα συγγενῆ καὶ ὁμοειδῆ γεγονὼς τοιοῦτος. Ratio in Animadverſionibus reddetur.

juſtitia, gratia, benignitate, quippe quarum uſus ad alios refertur. Quare probabile non eſt amicitiæ, vicinitatis, ac commerciorum exſortem mundum in vacua infinitate fluctuare. Jam ipſam videmus naturam ea quæ ſunt ſingula, generum et formarum complexu tanquam vaſculis aut ſeminum involucris continere. Neque enim ulla res naturalis ſubſiſtit, cujus non ſit etiam communis aliqua ratio ſive notio: neque appellatio ei ſui generis congrueret, niſi præter eam communem rationem ſuis peculiaribus qualitatibus ab aliis ejuſdem generis rebus diſtingueretur. Atqui mundus non dicitur communis eſſe, ſed certis qualitatibus ſive proprietatibus deſcribitur; ergo certis differentiis ab aliis ejuſdem generis mundis diſtinctus, ſuam peculiarem hanc formam obtinet. Præterea cum neque homo unicus, neque unicus equus in natura rerum ſit, neque aſtrum, neque deus, neque genius; quid obſtat quin dicamus non unicum, ſed plures numero mundos natu-

πλείονας; Ὁ γὰρ λέγων ὅτι καὶ γῆν μίαν ἔχει καὶ ιτταν, ἐμφανές τι παρορᾷ τὸ τῶν ὁμοιομερῶν· τὴν γὰρ γῆν εἰς ὁμώνυμα μέρη, καὶ τὴν θάλατταν ιτως διαιρούμεθα· τοῦ δὲ κόσμου μέρος οὐκ ἔτι ος, ἀλλ' ἐκ διαφόρων φύσεων συνέστηκε.

ε'. Καὶ μὴν ὅ γε μάλιστα φοβηθέντες ἔνιοι καταναουσιν τὴν ὕλην εἰς τὸν κόσμον ἅπασαν, ὡς μηδὲν ολειπόμενον ἐκτὸς ἐνστάσεσιν ἢ πληγαῖς διαταροι τὴν τοῦδε σύστασιν, οὐκ ὀρθῶς ἔδεισαν. Πλειόνων ὄντων κόσμων, ἰδίᾳ δ' ἑκάστου συνειληχότος οὐσίᾳ καὶ μέτρον ὡρισμένον ἐχούσῃ καὶ πέρας, οὐδὲν ἄτακτον ἀκατακόσμητον, οἷον περίττωμα, λειφθήσεσθαι περιττὸν ἔξωθεν. Ὁ γὰρ περὶ ἕκαστον λόγος ἐγκρατὴς συννενεμημένης ὕλης, οὐδὲν ἔκφορον ἐάσει καὶ πλανον ἐμπεσεῖν εἰς ἄλλον, οὐδὲ εἰς ἑαυτὸν ἐξ ἄλλου· δια

ὑπολειπόμενον—διαταράττοι] Prius ex Anon. Mez. Poſterius ex Ald. Baſ. D. F. Ven. 1. Vulgo ὑπολειπομένην—διαταράττον.
ἕκαστον λόγος] Sic Anon. Mez. Vulgo ἕκαστον λόγον.

:omplecti? Qui enim diınam quoque duntaxat erram, unicum mare, is :inatur, partium ſimilitu- ı in rebus evidentem non ıdvertens. Terra enim ıſdem nominis partes diır, itemque mare: mun- ·s jam non itidem mun- :ſt, ſed diverſæ naturæ

ΧV. Porro quod nonuniverſam materiam uni lo impendunt, maxime id :ntes, ne ſi quid extra iſelinqueretur, id alliſionibus atque ictibus hujus mundi compagem diſturbaret: inanis eſt metus. Cum enim ſint plures mundi, quorum quiſque ſua contineatur ſubſtantia atque materie quam certa menſura definit ſuæque extremitates; nihil ordinis exſors et incompoſitum ac tanquam excrementum foras prolapſum relinquetur. Uniuſcujuſque enim mundi forma materiam ſibi deſtinatam continens, nihil patietur temerario motu citatum in alium decidere mundum, aut ex alio

τὸ μήτε πλῆθος ἀόριστον καὶ ἄπειρον τὴν φύσιν ἔχειν, μήτε κίνησιν ἄλογον καὶ ἄτακτον. Εἰ δὲ καί τις ἀπόρροια φέρεται πρὸς ἑτέρους ἀφ' ἑτέρων, ὁμόφυλον εἶναι καὶ προσηνῆ καὶ πᾶσιν οἰκείως ἐπιμιγνυμένην, ὥσπερ αἱ τῶν ἀστέρων αὐγαὶ καὶ συγκράσεις, αὐτούς τε τέρπεσθαι καθορῶντας ἀλλήλους εὐμενῶς, θεοῖς τε πολλοῖς καὶ ἀγαθοῖς καθ' ἕκαστον οὖσι, παρέχειν ἐπιμιξίας, καὶ φιλοφροσύνας. Ἀδύνατον γὰρ οὐδὲν ἐπὶ τούτων, οὔτε μυθῶδες, οὔτε παράλογον· εἰ μὴ, νὴ Δία, τοῖς τοῦ Ἀριστοτέλους ὑποψονταί τινες, ὡς φυσικὰς αἰτίας ἔχουσι. Τῶν γὰρ σωμάτων ἑκάστου τόπον οἰκεῖον ἔχοντος, ὥς φησιν, ἀνάγκη τὴν γῆν πανταχόθεν ἐπὶ τὸ μέσον φέρεσθαι, καὶ τὸ ὕδωρ ἐπ' αὐτῆς διὰ βάρος ὑφιστάμενον τοῖς κουφοτέροις· ἂν οὖν πλείονες ὦσι κόσμοι, συμβήσεται τὴν γῆν πολλαχοῦ μὲν ἐπάνω τοῦ πυρὸς καὶ τοῦ ἀέρος κεῖσθαι, πολλα-

B. 4. οἰκείως] D. ἠπίως. Unde ſuſpicor veram lectionem fuiſſe ἠπίως εἰκός. Certe ſententia loci requirit *veriſimile eſt*, vel quid ejus modi.

in ſe; eo quod natura neque infinitam admittit multitudinem, neque temerarias et ordine rationeque carentes motiones. Quod ſi quid ab uno mundo in alium defluit: neceſſe eſt hujuſmodi influxus cognatos inter ſe, gratoſque eſſe, et mixtione fieri optime mundorum naturæ conveniente: quo modo ſiderum fulgores ſive radii inter ſe contemperantur: ipſoſque mundos delectari dum benigno invicem ſe contemplantur vultu: diiſque qui in ſingulis ſunt multi ac boni, congreſſus amicos exhibere. Horum omnium, quæ dixi, nihil eſt quod fieri nequeat, nihil fabuloſum, nihil rationi adverſum. Niſi, mehercle, Ariſtotelis aliquis ſententia terretur, tanquam naturæ conſentanea. Cum enim, ut ipſe inquit, quodvis corpus ſuum habeat proprium locum: neceſſe eſt terram undiquaque ad medium ferri, et aquam ſuper hanc levioribus ſubſidentem; ergo ſi plures ſint mundi, eveniet ut terra multifariam igni et aëri ſupe-

ῦ δ' ὑποκάτω· καὶ τὸν ἀέρα καὶ τὸ ὕδωρ ὁμοίως, ποῖ
ἐν ταῖς κατὰ φύσιν χώραις ὑπάρχειν, ποῖ δὲ ἐν
ς παρὰ φύσιν· ὧν ἀδυνάτων ὄντων, ὡς οἴεται, μήτε
, μήτε πλείονας εἶναι κόσμους, ἀλλ' ἕνα τοῦτον ἐκ
; οὐσίας ἁπάσης συγκείμενον, ἱδρυμένον κατὰ φύσιν, ὡς
ροσήκει ταῖς τῶν σωμάτων διαφοραῖς.

κϛ'. Ἀλλὰ καὶ ταῦτα πιθανῶς μᾶλλον ἢ ἀληθῶς
ται. Σκόπει δὲ οὕτως, ἔφη, ὦ φίλε Δημήτριε· τῶν
ρ σωμάτων τὰ μὲν ἐπὶ τὸ μέσον καὶ κάτω κινεῖσθαι
κων, τὰ δὲ ἀπὸ τοῦ μέσου καὶ ἄνω, τὰ δὲ περὶ τὸ
ρον καὶ κύκλῳ, πρὸς τί λαμβάνει τὸ μέσον; οὐ δή-
υ πρὸς τὸ κενόν· οὐ γὰρ ἔστι κατ' αὐτόν· καθ' οὓς
ἐστίν, οὐκ ἔχει μέσον, ὥσπερ οὐδὲ πρῶτον, οὐδ'
κτον· πέρατα καὶ ταῦτα· τὸ δὲ ἄπειρον, καὶ ἀπερά-
ντον. Εἰ δὲ καὶ βιάσαιτό τις αὐτὸν λόγῳ βίᾳ κινῦ-

5. ποῖ μὲν—ποῖ δὲ] Rectius ποῦ μὲν—ποῦ δέ: prius habent D. F. poſterius B. Colleg. Nov.

7. Εἰ δὲ καὶ βιάσαιτο—τολμῆσαι] Corruptiſſimus locus, prior certe ejus pars. Forte Εἰ δὲ καὶ βιάσαιτό τις αὐτὸν λέγειν κενοῦ μέσον, ἄπορον τὸ νοῆσαι: tale quid etiam Xylander vertendo ſecutus eſt.

r, multifariam item inferior
ſtet: idemque de aëre et
ua intelligendum, quæ ali-
i ſuis in locis a natura at-
butis erunt, alicubi non e-
nt: quæ cum ſint, ut ipſe
ſet, impoſſibilia; neque
os eſſe, neque plures mun-
s ſtatuit, ſed unum hunc
 univerſa compactum ſub-
ntia: in quo corpora juxta
rem naturæ ſint locorum
ferentiis diſpoſita.

XXVI. Verum hæc ipſa
obabiliter magis quam vere
ita ab eo ſunt, idque mi
Demetri, ſic diſpiciamus. Cor-
porum alia ad medium et de-
orſum, alia a medio et ſur-
ſum, quædam circa medium
et in orbem moveri dicens,
cujuſnam rei reſpectu medium
ſumit? Non quidem inanis
comparatione ſumit, quod nul-
lum eſt ipſius ſententia: et
qui vacuum ponunt, medio
hoc ipſorum opinione caret,
ut et principio, et fine: quæ
ſunt extremitates, quibus in
infinito non eſt locus. Atque
ut extorqueas Ariſtoteli aſſer-
tionem inanis, tamen intel-

μενον, ἄπειρον τολμῆσαι, τίς ἡ πρὸς τοῦτο γινομένη τῶν κινήσεων διαφορὰ τοῖς σώμασιν; οὔτε γὰρ ἐν τῷ κενῷ δύναμίς ἐστι τῶν σωμάτων, οὔτε τὰ σώματα προαίρεσιν ἔχει καὶ ὁρμὴν ἢ τοῦ μέσου γλίχεται, καὶ πρὸς τοῦτο συντείνει πανταχόθεν· ἀλλ' ὅμως ἄπορον ἐστιν ἀψύχων σωμάτων 1
πρὸς ἀσώματον χωρεῖν καὶ ἀδιάφορον, ἢ φορὰν ἐξ αὐτῶν ἢ ὁλκὴν ὑπ' ἐκείνης γινομένην νοῆσαι. Λείπεται τοίνυν, τὸ μέσον οὐ τοπικῶς ἀλλὰ σωματικῶς λέγεσθαι. Τοῦδε γὰρ τοῦ κόσμου μίαν ἐκ πλειόνων σωμάτων καὶ ἀνομοίων ἑνότητα καὶ σύνταξιν ἔχοντος, αἱ διαφοραὶ τὰς κινήσεις ἄλλους πρὸς ἄλλας ποιοῦσιν ἐξ ἀνάγκης· δῆλον δὲ τῷ μετακοσμούμενα ταῖς οὐσίαις ἕκαστα καὶ τὰς χώ- 1
ρας ἅμα συμμεταβάλλειν· αἱ μὲν γὰρ διακρίσεις ἀπὸ τοῦ μέσου τὴν ὕλην αἰρομένην ἄνω, κύκλῳ διανέμουσιν· αἱ δὲ συγκρίσεις καὶ πυκνώσεις πιέζουσι κάτω πρὸς τὸ μέσον καὶ συνελαύνουσι.

E. 1. ἀλλ' ὅμως ἀπορόν] Legendum ἄλλως δ' ἄπορον. Mox χωρεῖν in χώραν mutandum, cum Mez.

lectu arduum eſt, quænam ejus ratione corporibus differentia motuum debeat tribui; nam neque in inani vis eſt corporum, neque voluntatem habent corpora et appetitum quo medium affectent et undiquaque ad illud contendant: ſed tamen difficile eſt intelligere, quo modo corpora ad incorpoream atque indifferentem rem ferantur, aut ab ea motum momentumve conſequantur. Reſtat ut medium non loci ratione, ſed corporis accipiamus. Cum enim mundus hic ex multis ac diſſimilibus corporibus in unam compactus ſit ac concinnatus molem, neceſſario differentiæ eorum motus viciſſitudines efficiunt. Id ex eo fit evidens, quod ſingula dum ſubſtantiam mutant, ſimul etiam locum alium a priore occupant; diſſipatio enim a medio ſurſum elatam materiam per circulum didit: concretio et ſtipatio deorſum eam ad medium cogit atque deprimit.

κζ'. Περὶ ὧν οὐκ ἀναγκαῖον ἐνταῦθα πλείοσι λόγοις χρῆσθαι· ἣν γὰρ ἄν τις ὑποθῆται τῶν παθῶν τούτων καὶ τῶν μεταβολῶν αἰτίαν εἶναι δημιουργόν, αὕτη συνέξει τὸν κόσμον ἕκαστον ἐν ἑαυτῷ. Καὶ γὰρ γῆν καὶ θάλατταν ἕκαστος ἔχει κόσμος· ἔχει γὰρ καὶ μέσον ἕκαστος ἴδιον, καὶ πάθη σωμάτων, καὶ μεταβολάς, καὶ φύσιν, καὶ δύναμιν ἣ σώζει κατὰ χώραν καὶ φυλάττει ἕκαστον. Τὸ μὲν γὰρ ἐκτὸς εἴτ' οὐδέν ἐστιν, εἴτε κενὸν ἄπειρον, οὐ παρέχει μέσον, ὡς εἴρηται· πλειόνων δὲ κόσμων ὄντων, καθ' ἕκαστόν ἐστιν ἴδιον μέσον· ὥστε κίνησις ἰδία τοῖς μὲν ἐπὶ τοῦτο, τοῖς δ' ἀπὸ τούτου, τοῖς δὲ περὶ τοῦτο, καθάπερ αὐτοὶ διαιροῦσιν. Ὁ δ' ἀξιῶν, πολλῶν μέσων ὄντων, ἐφ' ἓν μόνον ὠθεῖσθαι τὰ βάρη πανταχόθεν, οὐθὲν διαφέρει τοῦ, πολλῶν ὄντων ἀνθρώπων, ἀξιοῦντος εἰς μίαν φλέβα τὸ πανταχόθεν αἷμα συρρεῖν, καὶ μιᾷ μήνιγγι τοὺς

A. 3. ἣ σώζει] Addidi ἣ ex Mez. Mox Τὸ pro vulgato Τοῦ ex Anon. In utroque aſſentitur Xyl.

XXVII. Qua de re non eſt opus hoc loco copioſius diſſerere. Quam enim cauſam harum affectionum atque mutationum effectricem poſueris, ea unumquemvis in ſeipſo continebit mundum: quivis enim peculiare habet medium, ſuas corporum affectiones, mutationeſque, ſuam naturam et vim, quæ ſuo quodque in loco conſervet. Quod enim extra eſt, ſive id nihil eſt, ſive infinitum inane, non præbet medium: ſicut docuimus ſupra. Cum autem plures ſint mundi, unicuique ſuum eſt medium, ac proinde peculiaris etiam cuivis motus, aliis ad medium, aliis circa id, aliis ab eo: ſicut ipſi diſtinguunt. Qui autem propoſita mediorum multitudine contendit undique omnia gravia ad unum medium compelli: is perinde facit ac ſi poſtulet omnium hominum, qui numero ſunt permulti, ſanguinem in unam aliquam venam confluere, omniaque cerebra una contineri membrana; quia nimirum in-

πάντων ἐγκεφάλους περιέχεσθαι, δεινὸν ἡγούμενος εἰ τῶν φυσικῶν καὶ σωματικῶν οὐ μίαν ἅπαντα τὰ στερεὰ καὶ B μίαν τὰ μανὰ χώραν ἐφέξει. Καὶ γὰρ οὗτος ἄτοπος ἐστι, κἀκεῖνος, ἀγανακτῶν εἰ τὰ ὅλα τοῖς αὑτῶν μέρεσι χρῆται, τὴν κατὰ φύσιν θέσιν ἔχουσιν ἐν ἑκάστῳ καὶ τάξιν· ἐκεῖνο γὰρ ἦν ἄτοπον, εἴ τις ἔλεγε κόσμον εἶναι τὸν ἐν αὑτῷ σελήνην ἔχοντα, καθάπερ ἄνθρωπον ἐν ταῖς πτέρναις τὸν ἐγκέφαλον φοροῦντα, καὶ τὴν καρδίαν ἐν τοῖς κροτάφοις. Τὸ δὲ, πλείονας ποιοῦντα χωρὶς ἀλλήλων κόσμους, ἅμα τοῖς ὅλοις τὰ μέρη συναφορίζειν καὶ συνδιαιρεῖν οὐκ ἄτοπον· ἡ γὰρ ἐν ἑκάστῳ γῆ καὶ θάλασσα καὶ οὐρανὸς κείσεται κατὰ φύσιν ὡς προσήκει, τό, τε ἄνω καὶ κάτω, C καὶ κύκλῳ, καὶ μέσον, οὐ πρὸς ἄλλον, οὐδ' ἐκτὸς, ἀλλ' ἐν ἑαυτῷ καὶ πρὸς ἑαυτὸν ἔχει τῶν κόσμων ἕκαστος.

κη'. Ὃν μὲν γὰρ ἔξω τοῦ κόσμου λίθον ὑποτίθενταί

B. 3. χρῆται] Ita A. B. D. F. Venet. 1. Colleg. Nov. Pol. Jannot. Anon. Mez. Ceteri et vulgo χρῆσθαι.
B. 6. σελήνην ἔχοντα] Complura videntur excidiſſe verba: Mez. quidem inſerit κάτω, quod non ſatisfacit.

mnino evanuerunt, in aliis quaſi ſubterfugerunt ac delituerunt: aliquanto poſt tempore rurſum iiſdem aut vicinis locis exſtiterunt. Jam metalla quædam recentiore ætate defeciſſe novimus, ut in Attica ſecturas argentarias, et in Eubœa æris venas, ex quo cudebantur gladii qui aquæ tinctura durabantur, quorum ſic meminit Æſchylus:

Sumens acutum mucronem Euboicum manu.

Τῆς δ' ἐν Καρύστῳ πέτρας, χρόνος οὐ πολὺς ἀφ' οὗ πέπαυται μηρύματα λίθων μαλακὰ νηματώδη συναναφέρουσα· καὶ γὰρ ὑμῶν ἑωρακέναι τινὰς οἴομαι χειρόμακτρα καὶ δίκτυα καὶ κεκρυφάλους ἐκεῖθεν, οὔτε περικαομένους, ἀλλ' ὅσ' ἂν ῥυπανθῇ χρωμένων, ἐμβαλόντες εἰς φλόγα, λαμπρὰ καὶ διαφανῆ κομίζονται· νῦν δ' ἠφάνισται, καὶ μόλις οἷον ἶνες ἢ τρίχες ἀραιαὶ διατρέχουσιν ἐν τοῖς μετάλλοις.

μδ'. Καὶ πάντων τούτων οἱ περὶ Ἀριστοτέλην δημιουργὸν ἐν τῇ γῇ τὴν ἀναθυμίασιν ἀποφαίνουσιν, ᾗ καὶ συνεκλείπειν καὶ συμμεθίστασθαι, καὶ συνεξανθεῖν πάλιν τὰς τοιαύτας φύσεις ἀναγκαῖόν ἐστι. Ταῦτα δὲ περὶ μαντικῶν πνευμάτων διανοητέον, ὡς οὐκ ἐχόντων ἀΐδιον οὐδ' ἀγήρω τὴν δύναμιν, ἀλλ' ὑποκειμένην μεταβολαῖς. Καὶ γὰρ ὄμβρους ὑπερβάλλοντας εἰκός ἐστι κατασβεννύναι καὶ κεραυνῶν ἐμπεσόντων διαφορεῖσθαι, μάλιστα δὲ C

B. 8. Ταῦτα] Rectius ταὐτὰ ut Anon.

Neque diu eſt quod Caryſtia rupes deſiit ſimul cum marmore proferre ſtamina quædam mollia ac quaſi fila lapidea: exiſtimo enim quoſdam veſtrum vidiſſe mantilia, retia, et involucra capitis ea ex materia confecta, quæ neque uruntur, et cum uſu ſordes contraxerunt, in ignem conjecta nitorem ſplendoremque ſuum recipiunt: plane enim deſiit, et vix graciles quædam tanquam fibræ et quaſi capilli ejus materiæ per metalla diſcurrunt.

XLIV. At enim horum omnium opificem Ariſtoteles facit vaporem qui eſt in terra: cujus defectum, migrationem, novumque ortum neceſſe eſt iſta omnia ſequi. Hæc itaque de ſpiritibus divinationi ſervientibus cogitanda ſunt, vim eorum non eſſe ſempiternam aut ſenii immunem, ſed mutationibus obnoxiam. Nam conſentaneum eſt et magnis eos extingui imbribus, et diſſipari fulmine

τῆς γῆς ὑπὸ σάλυ γινομένης καὶ λαμβανούσης ἱζήματα καὶ σύγχυσιν, ἐν βάθει μεθίστασθαι τὰς ἀναθυμιάσεις, ἢ τυφλοῦσθαι παντάπαν, ὥσπερ ἐνταῦθα φασὶ παραμένειν τὰ περὶ τὸν μέγαν σεισμὸν, ὃς καὶ τὴν πόλιν ἀνέτρεψεν. Ἐν δὲ Ὀρχομενῷ λέγουσι λοιμοῦ γενομένου πολλοὺς μὲν ἀνθρώπων διαφθαρῆναι, τὸ δὲ τοῦ Τειρεσίου χρηστήριον ἐκλιπεῖν παντάπασι, καὶ μέχρι τοῦ νῦν ἀργὸν διαμένειν καὶ ἄναυδον. Εἰ δὲ καὶ τοῖς περὶ Κιλικίαν ὅμοια συμβέβηκε παθεῖν, ὡς ἀκούομεν, οὐδεὶς ἂν ἡμῖν, ὦ Δημήτριε, σοῦ φράσειε σαφέστερον.

με'. Καὶ ὁ Δημήτριος, Οὐκ οἶδα ἔγωγε τάδε νῦν· ἀποδημῶ γὰρ, ὡς ἴστε, πάμπολυν ἤδη χρόνον. Ἔτι δ' ἤκμαζεν ἐμοῦ παρόντος καὶ τὸ Μόψου καὶ τὸ Ἀμφιλόχου μαντεῖον· ἔχω δ' εἰπεῖν τῷ Μόψου παραγενόμενος πρᾶγμα θαυμασιώτατον. Ὁ γὰρ ἡγεμὼν τῆς Κιλι-

C. 2. ὑπὸ σάλυ γινομένης] ὑποσάλη γινομένης Anon. Mez. Reiſk. ὑπὸ σάλου κινουμένης item Anon. quod præferendum.
C. 4. ὥσπερ ἐνταῦθα—σεισμὸν] Forte, ὥσπερ τὸ ἐνταῦθα ὄ φασιν παραμένειν περὶ τὸν μέγαν σεισμόν· *ut hoc Delphicum Oraculum non viguiſſe aiunt, ſub illum terræ motum,* &c.
C. 12. τάδε νῦν] Immo τα γε νῦν.
D. 3. τῷ Μόψου] Ita Colleg. Nov. Vulgo τὸ Μόψου.

iſtis locis, maxime autem cum terræ motu concuſſæ in ſeſe ſubſidunt ac confunduntur, petere ima aut etiam plane elidi: ſicut hic aiunt veſtigia apparere magni terræ motus, ejus qui urbem ſubvertit. Orchomeni aiunt peſte multis abſumtis hominibus, Tireſiæ oraculum plane defeciſſe, et in hunc uſque diem manere otioſum et mutum. Idem de Ciliciæ oraculis auditu accepimus: verene dictum, tu Demetri, omnium optime expoſueris.

XLV. Hic Demetrius, Ut nunc, inquit, res habeat, ignoro; ſcitis enim me permultum temporis jam peregrinando confeciſſe. Cum autem eſſem in patria, florebant adhuc Mopſi et Amphilochi Oracula. Habeo autem rem apprime admirabilem, quæ me præſente apud Oraculum Mopſi evenit, quam vobis referam. Præfectus Ciliciæ, homo du-

κίας αὐτὸς μὲν ἀμφίδοξος ὢν ἔτι περὶ τὰ θεῖα, δι' ἀσθένειαν ἀπιστίας οἶμαι· τἆλλα γὰρ ἦν ὑβριστὴς καὶ φαῦλος· ἔχων δὲ περὶ αὐτὸν Ἐπικουρείους τινὰς τὴν καλὴν δὴ καὶ φυσιολόγον ἐνυβρίζοντας, ὥς αὐτοὶ λέγουσι, τοῖς τοιούτοις εἰσέπεμψεν ἀπελεύθερον, οἷον εἰς πολεμίων κατάσκοπον ἐνσκευάσας, ἔχοντα κατεσφραγισμένην δέλτον, ἐν ᾗ τὸ ἐρώτημα ἦν ἐγγεγραμμένον, οὐδενὸς εἰδότος· ἐννυχεύσας οὖν ὁ ἄνθρωπος, ὥσπερ ἔθος ἐστὶ, τῷ σηκῷ καὶ κατακοιμηθεὶς ἀπήγγειλε μεθ' ἡμέραν ἐνύπνιον τοιοῦτον· ἄνθρωπον ἔδοξεν αὐτῷ καλὸν ἐπιστάντα φθέγξασθαι τοσοῦτον, ΜΕΛΑΝΑ, καὶ πλέον οὐθὲν, ἀλλ' εὐθὺς οἴχεσθαι. Τοῦτο ἡμῖν μὲν ἄτοπον ἐφάνη καὶ πολλὴν ἀπορίαν παρεῖχεν· ὁ δ' ἡγεμὼν ἐκεῖνο ἐξεπλάγη καὶ προσεκύνησεν, καὶ τὴν δέλτον ἀνοίξας, ἐπεδείκνυεν ἐρώτημα τοιοῦτον γεγραμμένον, ΠΟΤΕΡΟΝ ΣΟΙ ΛΕΥΚΟΝ Η ΜΕΛΑΝΑ ΘΥΣΩ ΤΑΥΡΟΝ; ὥστε

D. 5. ὢν ἔτι—ἀπελεύθερον] ὢν ἔτι recepimus ex Colleg. Nov. pro ἐςί. Proxime ita refingantur—Ἐπικουρείους τινὰς διὰ τὴν καλὴν δὴ, ὥς αὐτοὶ λέγουσι, φυσιολογίαν ἐνυβρίζοντας τοῖς τοιούτοις, εἰσέπεμψεν ἀπελεύθερον—.

biæ de diis ſententiæ, quod ei accidiſſe puto propter imbecillitatem incredulitatis de diis conceptæ, cæteroqui contumelioſus et pravus, cum circa ſe haberet Epicureos, qui freti pulchra (ſi diis placet) iſta ſua phyſiologia religioni illudunt, motus eorum vocibus, libertum ad oraculum Mopſi miſit, tanquam exploratorem in caſtra hoſtium, cum tabella obſignata, in qua nemine conſcio quæſtionem ſcripſerat. Libertus cum pro more noctem in delubro exegiſſet, ac obdormiviſſet, facta die tale narravit ſomnium: viſum fuiſſe ſibi adſtare virum pulchrum, qui una hac voce, *Nigrum*, edita, ſtatim diſceſſerit. Abſurdum nobis hoc videbatur, multumque hæſitationis injiciebat. At præfectus conſternatus, flexiſque genibus veneratus Mopſum, aperuit tabulam, oſtenditque nobis hanc inſcriptam quæſtionem, *Albumne tibi, an vero nigrum immolabo taurum?* Itaque et

καὶ τοὺς Ἐπικουρείους διατετραπῆναι, κἀκεῖνον αὐτόν τήν τε θυσίαν ἐπιτελεῖν, καὶ σέβεσθαι διὰ τέλους τὸν Μόψον.

μϛ΄. Ὁ μὲν οὖν Δημήτριος ταῦτ᾽ εἰπὼν, ἐσιώπησεν· ἐγὼ δὲ βουλόμενος, ὥσπερ τι κεφάλαιον ἐπιθεῖναι τῷ λόγῳ, πρὸς τὸν Φίλιππον αὖθις ἀπέβλεψα καὶ τὸν Ἀμμώνιον, ὁμοῦ καθημένους· ἔδοξαν οὖν μοι βούλεσθαί τι διαλεχθῆναι, καὶ πάλιν ἐπέχον. Ὁ δὲ Ἀμμώνιος, Ἔχει μὲν, ἔφη, καὶ Φίλιππος, ὦ Λαμπρία, περὶ τῶν εἰρημένων εἰπεῖν· οἴεται γὰρ, ὥσπερ οἱ πολλοὶ, καὶ αὐτὸς, οὐχ ἕτερον εἶναι τὸν Ἀπόλλωνα θεὸν, ἀλλὰ τῷ ἡλίῳ τὸν αὐτόν· ἡ δ᾽ ἐμὴ μείζων ἀπορία καὶ περὶ μειζόνων. Ἄρτι γὰρ οὐκ οἶδ᾽ ὅπως τῷ λόγῳ παρεχωρήσαμεν ἐκ τῶν θεῶν τὴν μαντικὴν ἐς δαίμονας ἀτεχνῶς ἀποδιοπομπούμενοι· νυνὶ δέ μοι δοκοῦμεν αὐτοὺς πάλιν ἐκείνους ἐξωθεῖν καὶ ἀπελαύνειν ἐνθένδε τοῦ χρηστηρίου καὶ τοῦ τρίποδος, εἰς πνεύματα καὶ ἀτμοὺς καὶ ἀναθυμιάσεις τὴν τῆς μαντικῆς ἀρχὴν, μᾶλλον δὲ τὴν οὐσίαν αὐτὴν καὶ τὴν

Epicureis pudor eſt injectus, et præfectus ſacrificio peracto iſto, deinceps Mopſum coluit.

XLVI. His dictis Demetrius conticuit. Ego autem, qui ſummam diſputationi imponere cuperem, ſum in Philippum ac Ammonium intuitus, qui ſimul ſedebant: videbanturque mihi velle aliquid dicere, et rurſum vocem inhibere. Tum Ammonius, Habet, inquit, mi Lampria, Philippus etiam quæ dicat de diſputatis. Ipſe enim quoque in eam, quæ plerorumque eſt, venit ſententiam, Apollinem non eſſe a Sole alium, ſed eundem cum eo deum. Mea autem gravior eſt, ac majoribus de rebus dubitatio. Ante, neſcio quo modo, oratione eo rem deduximus, ut a diis divinationem ad genios utcunque rejiceremus. Nunc videmur mihi hos iterum Oraculo et tripode detrudere atque exturbare, divinationis principium, immo ipſam ſubſtantiam ac vim, in ſpiritum, vapores, exhalationeſque refe-

δὴ τοῦτο μὴ μῦθος ἐστι, μηδὲ πλάσμα κενόν, ὡς ἔγωγε ἡγοῦμαι· καὶ λογιζόμενος πηλίκων ἀγαθῶν τουτὶ τὸ μαντεῖον αἴτιον γέγονε τοῖς Ἕλλησιν ἔν τε πολέμοις καὶ κτίσεσι πόλεων ἔν τε λοιμοῖς καὶ καρπῶν ἀφορίαις, δεινὸν E
ἡγοῦμαι μὴ θεῷ καὶ προνοίᾳ τὴν εὕρεσιν αὐτοῦ καὶ ἀρχήν, ἀλλὰ τῷ κατὰ τύχην καὶ αὐτομάτῳ ἀνατίθεσθαι. Πρὸς δὴ ταῦτ', εἶπεν, ὦ Λαμπρία, βούλομαι διαλεχθῆναι· περιμένοις δέ; Πάνυ μὲν οὖν, ὁ Φίλιππος ἔφη, καὶ πάντες οὗτοι· πάντας γὰρ ἡμᾶς ὁ λόγος κεκίνηκε.

μζ΄. Κἀγὼ πρὸς αὐτόν, Ἐμὲ δ', εἶπον, οὐ κεκίνηκεν, ὦ Φίλιππε, μόνον, ἀλλὰ καὶ συγκέχυκεν, εἰ τοσούτοις καὶ τηλικούτοις οὖσιν ὑμῖν, δοκῶ παρ' ἡλικίαν τῷ πιθανῷ τοῦ λόγου καλλωπιζόμενος, ἀναιρεῖν τι καὶ κινεῖν τῶν ἀληθῶς καὶ θείως περὶ τοῦ θείου νενομισμένων. Ἀπολο- F
γήσομαι δέ, μάρτυρα καὶ σύνδικον ὁμοῦ Πλάτωνα παρ-

E. 3. αὐτομάτῳ] Sic A. B. Venet. 1. Vulgo αὐτομάτως, minus bene.
E. 4. ὦ Λαμπρία] Rectius legatur τῷ Λαμπρίᾳ, vel τὸν Λαμπρίαν.
E. 9. οὖσιν ὑμῖν] Sic B. Ven. 1. pro vulgato οὖσιν ἡμῖν. Forte etiam ex iiſdem et A. præſtabat εἰ ἐν τοσούτοις κ. τ. ἑ.

narratio de eo non eſt fabula et inane commentum. Mihi quidem nugæ videntur: et quoties ratiocinor, quantorum bonorum cauſam Græcis hoc præbuerit oraculum in bellis, condendis urbibus, peſtilentiis, ſterilitatibus, indignum facinus judico, inventionem ejus atque principium non deo, ac providentiæ, ſed fortunæ et caſui imputari. Hac de re cum Lampria paratus ſum diſſerere: modo tu, Philippe, moram hanc æquo animo feras. Maxime, inquit Philippus, cum ego, tum omnes iſti: oratio enim hæc tua omnes nos commovit.

XLVII. Me vero, inquam ego, non movit tantum oratio hæc, ſed plane pudorem incuſſit, ſi in tanto tantorum hominum cœtu vobis videar præter ætatem probabilitate ſermonis fucum faciens convellere aliquid aut in dubium vocare voluiſſe eorum quæ vere et divinitus de rebus divinis ſtatuta ac recepta ſunt. Purgabo tamen me, teſte ac patrono interim Platone ad-

ιστάμενος· ἐκεῖνος γὰρ ἀνὴρ Ἀναξαγόραν μὲν ἐμέμψατο τὸν παλαιόν, ὅτι ταῖς φυσικαῖς ἄγαν ἐνδεδυμένος αἰτίαις, καὶ τὸ κατ᾽ ἀνάγκην τοῖς τῶν σωμάτων ἀποτελούμενον πάθεσι μετιὼν ἀεὶ διώκων, τὸ οὗ ἕνεκα καὶ ὑφ᾽ οὗ, βελτίονας αἰτίας οὔσας καὶ ἀρχάς, ἀφῆκεν· αὐτὸς δὲ πρῶτος ἢ μάλιστα τῶν φιλοσόφων ἀμφοτέρας ἐπεξῆλθεν, τῷ μὲν θεῷ τὴν ἀρχὴν ἀποδιδοὺς τῶν κατὰ λόγον
16 ἐχόντων, οὐκ ἀποστερῶν δὲ τὴν ὕλην τῶν ἀναγκαίων πρὸς τὸ γινόμενον αἰτιῶν, ἀλλὰ συνορῶν ὅτι τῇ δέ πῃ καὶ τὸ πᾶν αἰσθητὸν διακεκοσμημένον, οὐ καθαρὸν δὲ οὐδ᾽ ἀμιγές ἐστιν, ἀλλὰ τῆς ὕλης συμπλεκομένης τῷ λόγῳ λαμβάνει τὴν γένεσιν. Ὅρα δὲ πρῶτον ἐπὶ τῶν τεχνιτῶν· οἷον εὐθὺς ἡ περιβόητος ἐνταῦθα τοῦ κρατῆρος ἕδρα καὶ βάσις, ἣν Ἡρόδοτος ὑποκρητηρίδιον ὠνό-

F. 4. τὸν παλαιὸν—ἐνδεδυμένος] τὸν aſſumtum ex B. Venet. 1. Colleg. Nov. Pro ἐνδεδυμένος, quod non repudiandum, haud eſt deterius ἐνδεδεμένος in Colleg. Nov.

A. 7. βάσις] Sic Colleg. Nov. Anon. T. V. B. Vulgo φύσις. Mox ὑποκρητηρίδιον ex Anon. Mez. Herodot. Vulgo ἐπικρητηρίδιον.

ſcito. Hic enim Anaxagoram veterem culpavit, quod nimis in naturales immerſus cauſas, ſemperque neceſſitatem earum quæ corporibus naturalibus accidunt affectionum conſectans atque perſequens, finalem et efficientem cauſam præſtantiores in genere cauſarum, et potiora principia omiſiſſet. Interim ipſe aut primus aut maxime omnium philoſophorum has utraſque tractavit, ita quidem ut deo principium eorum quæ ratione fiunt adſcriberet: neque tamen materiam neceſſariis cauſis ad rerum ortum pertinentibus ſpoliaret: perſpiciebat quippe, quod his cauſis quævis res naturalis ac expoſita ſenſui cum adornetur, non ſimplex eſt aut mixtionis expers, ſed materiæ cum forma implicatione oritur. Conſideremus primum hoc in operibus artium. Offert ſe nobis ſtatim famoſus iſte crateris fundus ſive baſis, quam hypocrateridium (id eſt fundamentum crateri ſubſtratum) Herodotus appellavit: materiales hic crater habet cauſas,

μασιν, αἰτίας μὲν ἔχοντος ὑλικὰς, πῦρ καὶ σίδηρον, καὶ μάλαξιν διὰ πυρὸς, καὶ ὕδατος βαφὴν, ὧν ἄνευ γενέσθαι τὸ ἔργον οὐδεμία μηχανή· τὴν δὲ κυριωτέραν ἀρχὴν καὶ ταῦτα κινοῦσαν, καὶ διὰ τούτων ἐνεργοῦσαν, ἡ B
τέχνη καὶ ὁ λόγος τῷ ἔργῳ παρέσχε. Καὶ μὴν τῶν γε μιμημάτων τούτων καὶ εἰδώλων ὁ ποιητὴς καὶ δημιουργὸς ἐπιγέγραπται,

Γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
Υἱὸς, περθομέναν Ἰλίου ἀκρόπολιν,

ὡς ὁρᾶται γράψας· ἄνευ δὲ φαρμάκων συντριβέντων καὶ συμφθαρέντων ἀλλήλοις, οὐδὲν ἦν οἷόν τε τοιαύτην διάθεσιν λαβεῖν καὶ ὄψιν. Ἆρ᾽ οὖν ὁ βουλόμενος ἅπτεσθαι τῆς ὑλικῆς ἀρχῆς, ζητῶν δὲ καὶ διδάσκων τὰ παθήματα καὶ τὰς μεταβολὰς, ἃς ὤχρα μιχθεῖσα σιν- C
ωπὶς ἴσχει, καὶ μέλανι μηλιὰς, ἀφαιρεῖται τὴν τοῦ Πολυγνώτου δόξαν; ὁ δὲ τοῦ σιδήρου τὴν στόμωσιν ἐπεξιὼν,

B. 7. ὁρᾶται—φαρμάκων] Verſ. Xyl. Am. ὁρᾶτε. Sed totum hoc ὡς ὁρᾶται γράψας non ſanum videtur. Φαρμάκων pro vulgato φαρμακείων ex B. T. V. P. Anon. Mez.

ignem, ferrum, mollitionem vi ignis, immerſionem in aquam, ſine quibus nullo pacto opus hoc potuit confici: præſtantiorem tamen cauſam, et quæ his movendis operaretur, ars et ratio operi præbuit. Præterea exemplaribus his atque ſimulachris, auctor et opifex inſcriptus eſt.

Aglaophonte ſatus, patria Thaſius, Polygnotus
Arcis depinxit Dardaniæ excidium.

ac pinxit, ut videtis, excidium Ilii: verum id fieri non potuit, ut niſi multis pigmentis tritis ac inter ſe permixtis picturæ hæc efficeretur forma. An ergo qui vult materialem cauſam attingere, quæritque et docet affectiones et mutationes, quæ accidunt Sinopidi rubricæ cum ochra permixtæ, aut atramento cum melide, aliquid pictoris detrahit gloriæ? Aut qui explicat qua ratione ferro durities ac

καὶ τὴν μάλαξιν, ὅτι τῷ μὲν πυρὶ χαλασθεὶς ἐπιδίδωσι
καὶ ὑπείκει τοῖς ἐλαύνουσι καὶ πλήττουσιν, ἐμπεσὼν δὲ
πάλιν εἰς ὕδωρ ἀκραιφνὲς, καὶ τῇ ψυχρότητι διὰ τὴν
ὑπὸ πυρὸς ἐγγενομένην ἁπαλότητα καὶ μανότητα, πι-
ληθεὶς καὶ καταπυκνωθεὶς, εὐτονίαν ἴσχει καὶ πῆξιν, ἣν
Ὅμηρος σιδήρου κράτος εἶπεν, ἧττόν τι τῷ τεχνίτῃ τη-
ρεῖ τὴν αἰτίαν τῆς τοῦ ἔργου γενέσεως; ἐγὼ μὲν οὐκ οἴο-
μαι. Καὶ γὰρ τῶν ἰατρικῶν δυνάμεων ἔνιοι τὰς ποιό-
D τητας ἐλέγχουσιν, τὴν δ' ἰατρικὴν οὐκ ἀναιροῦσιν. Ὥσπερ
ἀμέλει καὶ Πλάτων ὁρᾶν μὲν ἡμᾶς τῇ περὶ τὸν ὀφθαλμὸν
αὐγῇ συγκεραννυμένῃ πρὸς τὸ τοῦ ἡλίου φῶς, ἀκούειν δὲ
τῇ πληγῇ τοῦ ἀέρος ἀποφαινόμενος, οὐκ ἀνῄρει τὸ κατὰ
λόγον καὶ πρόνοιαν ὁρατικοὺς καὶ ἀκουστικοὺς γεγονέναι.

μη'. Καθόλου γὰρ, ὥς φημι, δύο πάσης γενέσεως αἰτίας ἐχούσης, οἱ μὲν σφόδρα παλαιοὶ θεολόγοι καὶ ποιηταὶ τῇ κρείττονι μόνῃ τὸν νοῦν προσέχειν εἵλοντο, τοῦτο δὴ τὸ κοινὸν ἐπιφθεγγόμενοι πᾶσι πράγμασι,

mollities inducantur, nempe quod igni laxatum tundentibus et percutientibus cedit, in aquam autem recentem immerſum, ac frigore ob partam vi ignis teneritatem ac raritatem, coactum in ſe atque denſatum, robur acquirit et craſſitiem, quam Homerus vim ferri appellat, idcirco operis effectionem non relinquit artifici integram? Non equidem opinor. Nam et ſunt qui vires medicamentorum aut qualitates examinent, nequaquam ii artem medicam abolentes. Sicut etiam haud dubie Plato videre nos oculorum ſplendore cum Solis luce contemperato, ictoque aëre audire dicens, non hoc negat, ratione et providentia nobis facultatem videndi atque audiendi obtigiſſe.

XLVIII. In univerſum enim, cum, ut dixi, quivis ortus duas habeat cauſas: antiquiſſimi theologi atque poëtæ ſoli præſtantiori animum advertere dignati ſunt, commune hoc omnibus rebus accinentes:

Ζεὺς ἀρχή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα πέλονται·

ταῖς δ' ἀναγκαίαις καὶ φυσικαῖς οὐκ ἔτι προσήεσαν αἰτίαις. Οἱ δὲ νεώτεροι τούτων καὶ φυσικοὶ προσαγορευόμενοι τοὐναντίον ἐκείνοις τῆς καλῆς καὶ θείας ἀποπλανηθέντες ἀρχῆς, ἐν σώμασι καὶ πάθεσι σωμάτων, πληγαῖς τε καὶ μεταβολαῖς καὶ κράσεσι τίθενται τὸ σύμπαν. Ὅθεν ἀμφοτέροις ὁ λόγος ἐνδεὴς τοῦ προσήκοντός ἐστι, τοῖς μὲν τὸ δι' οὗ καὶ ὑφ' οὗ, τοῖς δὲ τὸ ἐξ ὧν καὶ δι' ὧν ἀγνοοῦσιν, ἢ παραλείπουσιν. Ὁ δὲ πρῶτος ἐκφανῶς ἁψάμενος ἀμφοῖν, καὶ τῷ κατὰ λόγον ποιοῦντι καὶ κινοῦντι προσλαβὼν ἀναγκαίως τὸ ὑποκείμενον καὶ πάσχον, ἀπολύεται καὶ ὑπὲρ ἡμῶν πᾶσαν ὑποψίαν καὶ διαβολήν. Οὐ γὰρ ἄθεον ποιοῦμεν οὐδ' ἄλογον τὴν μαντικήν, ὕλην μὲν αὐτῇ τὴν ψυχὴν τοῦ ἀνθρώπου, τὸ δ' ἐνθουσιαστικὸν πνεῦμα καὶ τὴν ἀναθυμίασιν, οἷον ὄργανον ἢ πλῆκτρον ἀποδιδόντες. Πρῶτον μὲν γὰρ ἡ γεννήσασα

F. 4. Πρῶτον μὲν γὰρ] γὰρ aſſumtum ex Colleg. Nov. P.

Principium Jupiter, medium Jovis, omnia ab ipſo.

Ad naturales autem et neceſſarias cauſas nunquam acceſſerunt. His poſteriores, quibus phyſicorum nomen fuit inditum, diverſo a prioribus inſtituto, a pulcherrimo illo et divino aberravere principio; omnia corporibus, eorumque perpeſſionibus, colliſionibus, mutationibus, mixtionibus accepta ferre maluerunt. Quo fit, ut utrorumque ratio imperfecta ſit; his per quem, et quapropter, illis e quibus rebus, et ob quas cauſas factæ ſint, ignorantibus, aut ſaltem non exponentibus. Enimvero is, qui primus liquido utrumque cauſarum genus attigit, certaque ratione efficienti et moventi cauſæ adjunxit ſubjectum neceſſario motionum capax, is nos quoque omni ſiniſtra ſuſpicione et calumnia exonerat. Non enim dei aut rationis expertem facimus divinationem, dum ei pro ſubjecto animum humanum, ſpiritum autem ſeu vaporem enthuſiaſmos cientem inſtrumenti plectrive loco tribuimus. Jam primum terra

ις ἀναθυμιάσεις, ὁ δὲ πᾶσαν ἐνδιδοὺς κράσεως τῇ γῇ μεταβολῆς δύναμιν ἥλιος, νόμῳ πατέρων θεὸς ἡμῖν. Ἔπειτα δαίμονας ἐπιστάτας καὶ περιπόλους λακας, οἷον ἁρμονίας, τῆς κράσεως ταύτης, τὰ μὲν ας ἐν καιρῷ, τὰ δ' ἐπιτείνοντας, καὶ τὸ ἄγαν ἐκ-κὸν αὐτῆς καὶ ταρακτικὸν ἀφαιροῦντας, τὸ δὲ κινητι-ἀλύπως καὶ ἀβλαβῶς τοῖς χρωμένοις καταμιγ-ας ἀπολείποντες, οὐδὲν ἄλογον ποιεῖν οὐδ' ἀδύνατον μεν.

μθ'. Οὐδέ γε προθυόμενοι καὶ καταστέφοντες ἱερεῖα αταςπένδοντες, ἐναντία τῷ λόγῳ τούτῳ πράττο- Οἱ γὰρ ἱερεῖς καὶ ὅσιοι θύειν φασὶ τὸ ἱερεῖον καὶ πένδειν, καὶ τὴν κίνησιν αὐτοῦ καὶ τὸν τρόμον ἀπο-ῦν, ἑτέρου τινὸς τοῦθ' ἡμῖν ἢ τοῦ θεμιστεύειν τὸν θεὸν βάνοντες· δεῖ γὰρ τὸ θύσιμον τῷ τε σώματι καὶ τῇ

ἀνιέντας] Sic A. B. P. Anon. Mez. Vulgo ἐνιέντας.
Οἱ γὰρ ἱερεῖς—λαμβάνοντες·] Corrigendum Οἱ γὰρ ἱερεῖς καὶ ὅσιοι θύειν φασὶ τὸ ἱερεῖον καὶ κατασπένδειν καὶ τὴν κίνησιν καὶ τὸν τρόμον ἀποθεωρεῖν ἑτέρου οὐδενὸς τὸ σημεῖον ἢ τοῦ θεμιστεύειν τὸν θεὸν λαμβάνοντες. Sumſimus ὅσιοι et τρόμον ex T. V.

exhalationes iſtas parit, qui omnis temperiei ac ıtionis facultatem terræ tur Sol, Dii majorum orum inſtituto cenſentur. ıde huic temperiei ge- tanquam præſides, in- ores, cuſtodeſque cum nus, qui alia tempeſtive erant, alia intendant, ni- nque abalienationem men- t conturbationem reſtrin- , ſpiritumque ita tem- nt, ut ſine noxa et dolore eat correptos, non vide-bimur aliquid vel abſurdum vel impoſſibile facere.

XLIX. Præterea noſtræ ratiocinationi hoc non adverſatur, quod ante quam oraculum petimus, victimam immolamus, coronamus, libamus. Sacerdotes enim, et Hoſii aiunt, ſe immolare victimam et libare, ac tremorem ejus et motum obſervare, unice ſignum hinc petentes an Deus reſponſurus ſit. Nam hoſtiam oportet et quod ad corpus, et quod ad animum

ψυχῇ καθαρὸν ἐστὶ καὶ ἀσινὲς καὶ ἀδιάφθορον. Μήνυ- B
τρα μὲν οὖν περὶ τὸ σῶμα καταδεῖν, οὐ πάνυ χαλεπὸν ἐστὶ, τὴν δὲ ψυχὴν δοκιμάζουσι, τοῖς μὲν ταύροις ἄλφιτα, τοῖς δὲ κάπροις ἐρεβίνθους παρατιθέντες· τὸ γὰρ μὴ γευσάμενον, ὑγιαίνειν οὐκ οἴονται· τὴν δ' αἶγα διελέγχειν τὸ ψυχρὸν ὕδωρ· οὐ γὰρ εἶναι ψυχῆς κατὰ φύσιν ἐχούσης τὸ πρὸς τὴν κατάσεισιν ἀπαθὲς καὶ ἀκίνητον. Ἐγὼ δὲ κἂν ᾖ βέβαιον ὅτι σημεῖόν ἐστι τοῦ θεμιστεύειν τὸ σείσασθαι, καὶ τοῦ μὴ θεμιστεύειν τοὐναντίον, οὐχ ὁρῶ τί συμβαίνει δυσχερὲς ἀπ' αὐτοῦ τοῖς εἰρημένοις. Πᾶσα γὰρ δύναμις ᾧ πέφυκε σὺν καιρῷ βέλτιον ἢ χεῖ- C
ρον ἀποδίδωσι· τοῦ δὲ καιροῦ διαφεύγοντος, ἡμᾶς σημεῖα διδόναι τὸν θεὸν εἰκός ἐστιν.

ν. Οἴομαι μὲν οὖν μήτε τὴν ἀναθυμίασιν ὡσαύτως ἔχειν ἀεὶ διὰ παντὸς, ἀνέσεις δέ τινας ἴσχειν καὶ πάλιν σφο-

B. 1. Μήνυτρα] Sic T. V. Anon. Mez. Τὰ. Forte, ſanum vulgatum Μέτρα.
B. 9. σείσασθαι] Ita F. Colleg. Nov. Vulgo σπείσασθαι.

attinet, puram eſſe, integram, atque incorruptam. De corporibus judicium non eſt difficile: animam explorant, farinam tauris, ciceres ſuibus apponentes: ſi enim non guſtent, non eſſe ſanos judicant. Capram argui frigida affuſa, ſi non moveatur; non enim eſſe animæ ſecundum naturam affectæ, non moveri neque affici cum libamenta inverguntur. Quod ſi conſtanter verum ſit, tremorem hoſtiæ ſignum eſſe exituræ ſortis, non tremendo demonſtrari reſponſum nullum acceptum iri, non tamen ego video quid adverſum iis, quæ ſupra ſunt dicta, conſequatur. Nimirum unaquævis facultas ſuo tempore melius quam alieno id ad quod natura eam deſtinavit, præſtat: et cum ille temporis idoneus articulus nos fugiat, conſentaneum eſt a deo nobis ejus ſigna monſtrari.

L. Id quoque ſentio, exhalationem iſtam non perpetuo eſſe ejuſdem modi, ſed intendi atque remitti interdum.

τας· ᾧ δὲ τεκμηρίῳ χρῶμαι, μάρτυρας ἔχω καὶ ξένους λοὺς καὶ τοὺς θεραπεύοντας τὸ ἱερὸν ἅπαντας. Ὁ γὰρ οἶκος ν τοὺς χρωμένους τοῦ θεοῦ καθίζουσιν, οὔτε πολλάκις οὔτε ιγμένως, ἀλλ' ὡς ἔτυχε διὰ χρόνων εὐωδίας ἀναπλαται καὶ πνεύματος, οἵας ἂν τὰ ἥδιστα καὶ ποιλέστατα τῶν μύρων ἀποφορὰς, ὥσπερ ἐκ πηγῆς ἀδύτου προσβάλλοντος· ἐξανθεῖν γὰρ εἰκὸς ὑπὸ ιότητος, ἤ τινος ἄλλης ἐγγινομένης δυνάμεως. Εἰ δὲ ὸ μὴ δοκεῖ πιθανὸν, ἀλλά γε τὴν Πυθίαν αὐτὴν ἐν σι καὶ διαφοραῖς ἄλλοτε ἄλλαις ἐκεῖνο τὸ μέρος ψυχῆς ἴσχειν ᾧ πλησιάζει τὸ πνεῦμα, καὶ μὴ μίιεὶ κρᾶσιν, ὥσπερ ἁρμονίαν ἀμετάβολον ἐν παντὶ ῷ διαφυλάττειν, ὁμολογήσετε. Πολλαὶ μὲν γὰρ αἰσύνης, πλείονες δὲ ἄδηλοι, τό, τε σῶμα καταλαμβάκαὶ τὴν ψυχὴν ὑπορρέουσι δυσχέρειαι καὶ κινή-

ἐξανθεῖν] Exhibui ex Colleg. Nov. Ceteri omnes ἐξωθεῖν. Anon. ἐξωθεῖν.

ὁμολογήσετε] Sumſi e margine codicis B. Malim tamen ὁμολογήσαιτε. Vulgo ὡμολογήσατε.

nei argumenti, quo id rmo, teſtes habeo cum os peregrinos, tum eos s qui aſſiduo ſacrarium beunt adminiſtros. Cella , in qua collocantur cones oraculi, neque ſæpe, e ſtatis temporibus, ſed itis interſtitiis ſuavi odopletur, ac ſpiritu e delutanquam fonte quodam, o: qui fragrantia ſuaviſſi- quodque et pretioſiſſi- æquet unguentum: exautem veriſimile eſt a calore, aut alia quadam innata vi. Hoc ſi cui non videtur probabile, at illud quidem univerſi fatebimini, ipſam Pythiam alias aliis et diverſis inter ſe affectionibus citatam habere eam animi partem, quam tangit ſpiritus, neque ab ea unam ſemper animi temperiem, inſtar harmoniæ nullo temporis puncto mutabilis, conſervari. Multæ enim ſentiente ipſa, plures non animadvertente corpus ejus invadunt, animoque obrepunt mo-

σεις· ὧν ἀναπιμπλαμένην οὐκ ἄμεινον ἐκεῖ βαδίζειν, οὐδὲ παρέχειν ἑαυτὴν τῷ θεῷ μὴ παντάπασι καθαρὰν οὖσαν, ὥσπερ ὄργανον ἐξηρτυμένον, καὶ εὐηχές, ἀλλ᾽ ἐμπαθῆ καὶ ἀκατάστατον. Οὔτε γὰρ ὁ οἶνος ὡσαύτως ἀεὶ E τὸν μεθυστικόν, οὔθ᾽ ὁ αὐλὸς τὸν ἐνθουσιαστικὸν ὁμοίως διατίθησιν, ἀλλὰ νῦν μὲν ἧττον οἱ αὐτοὶ, νῦν δὲ μᾶλλον ἐκβακχεύονται καὶ παροινοῦσι, τῆς κράσεως ἐν αὐτοῖς ἑτέρας γενομένης. Μάλιστα δὲ τὸ φανταστικὸν ἔοικε τῆς ψυχῆς ὑπὸ τοῦ σώματος ἀλλοιουμένου κρατεῖσθαι, καὶ συμμεταβάλλειν· ὡς δηλόν ἐστιν ἀπὸ τῶν ὀνείρων. Ποτὲ μὲν γὰρ ἐν πολλαῖς γινόμεθα καὶ παντοδαπαῖς ἐνυπνίων ὄψεσι, ποτὲ δ᾽ αὖ πάλιν πᾶσα γίνεται γαλήνη καὶ ἡσυχία τῶν τοιούτων. Καὶ Κλέωνα μὲν ἴσμεν αὐτοὶ τὸν ἐκ Δαυλείας τοῦτον ἐν πολλοῖς ἔτεσιν F οἷς βεβίωκε φάσκοντα μηδὲν ἰδεῖν πώποτε ἐνύπνιον. Τῶν δὲ πρεσβυτέρων ταὐτὸ τοῦτο λέγεται περὶ Θρασυμήδους τοῦ Ἡραιέως. Αἰτία δ᾽ ἡ κρᾶσις τοῦ σώμα-

leſtiæ et commotiones: quibus oppletam nefas eſt ire ad cortinam et deo ſeſe utendam exhibere, cum ſit tunc non pura, ſed inſtrumentum quaſi non ſatis recte adornatum aut bene ſonum redditurum, verum turbulentum atque incompoſitum. Nam neque vinum ebrioſum, neque fiſtula enthuſiaſmis captum eodem ſemper afficit modo, ſed pro eo atque aliud vel aliud temperamentum in corpore obortum eſt, iidem alias magis, alias minus bacchantur ac inſaniunt. Maxime omnium partium animi ea, qua imaginamur, videtur corporis alterationibus permoveri, ejuſque mutationes imitari. Quod manifeſtum faciunt ſomnia, quæ aliquando nobis varia et multiplicia offeruntur, aliquando eorum vacui, animoque ad hæc quod attinet tranquillo ſumus. Ipſi novimus Cleonem a Daulia iſtum, qui toto vitæ ſuæ decurſu (vixit autem ſatis multos annos) ullum ſe vidiſſe ſomnium negat. Antiquiores idem tradunt de Thraſymede Heræenſe. In cauſa eſt cor-

τος· ὥσπερ αὖ πάλιν ἡ τῶν μελαγχολικῶν πολυόνειρος καὶ πολυφάντασος, εἰ καὶ δοκεῖ τὸ εὐθυόνειρον αὐτοῖς ὑπάρχειν·
38 ἐπ' ἄλλα γὰρ ἄλλοτε τῷ φανταστικῷ τρεπόμενοι, καθάπερ οἱ πολλὰ βάλλοντες, ἐπιτυγχάνουσι πολλάκις.

να'. Ὅταν οὖν ἁρμοστῶς ἔχῃ πρὸς τὴν τοῦ πνεύματος, ὥσπερ φαρμάκου, κρᾶσιν ἡ φανταστικὴ καὶ μαντικὴ δύναμις, ἐν τοῖς προφητεύουσιν ἀνάγκη γίνεσθαι τὸν ἐνθουσιασμόν· ὅταν μὴ οὕτως, μὴ γίνεσθαι, ἢ γίνεσθαι παράφορον καὶ οὐκ ἀκέραιον καὶ ταρακτικόν, ὥσπερ ἴσμεν ἐπὶ τῆς ἔναγχος ἀποθανούσης Πυθιάδος. Θεοπρόπων γὰρ ἀπὸ ξένης παραγενομένων, λέγεται τὰς πρώτας κατασπείσεις ἀκίνητον ὑπομεῖναι καὶ ἀπαθὲς τὸ ἱερεῖον· ὑπερβαλ-
B λομένων δὲ φιλοτιμίᾳ τῶν ἱερέων καὶ προσλιπαρούντων, μόλις ὑπόβρεχον γενόμενον καὶ κατακλυσθέν, ἐνδοῦναι. Τί οὖν συνέβη περὶ τὴν Πυθιάδα; κατέβη μὲν εἰς

A. 7. οὐκ ἀκέραιον καὶ ταρακτικὸν] Aſſumſi οὐκ ex A. B. Venet. 2. Alioqui magis placeat Xylandri ἄκαιρον ταρακτικὸν ex Anon. Xyl. Mez. In T. V. eadem correctio e conjectura refertur. Vulgo ἀκέραιον καὶ πρακτικόν.
B. 2. ἐνδοῦναι] Sic Anon. T. V. Mez. Vulgo ἔνδον ὄν.

poris temperies. Sicut ab altera parte melancholicis frequentia viſa et ſomnia offeruntur: quæ quod veracia creduntur, id eo fit, quod alias alio vim imaginandi convertentes, ſicuti ii qui crebro jaciunt, ſæpenumero ſcopum attingunt.

LI. Ergo quoties facultas imaginandi atque divinandi, ad ſpiritus, tanquam medicamenti, temperamentum concinne affecta eſt, neceſſe eſt vates inſtinctu divino cieri: ſin vero, aut nullus erit enthuſiaſmus, aut incompoſitus, intempeſtivus, et turbulentus: ſicut nuper mortuæ Pythiadi accidiſſe novimus. Cum enim quidam ſcitatum oraculum peregre veniſſent, fertur ad primas libationes victima immobilis manſiſſe, neque paſſa quicquam: tandem inſtantibus certatim libando ſacerdotibus, velut imbre rigata ac madefacta contremuiſſe aliquantum. Quid ergo Pythiadi uſu venit? Deſcen-

τὸ μαντεῖον, ὥς φασιν, ἄκουσα καὶ ἀπρόθυμος, εὐθὺς δ' ἐπὶ τὰς πρώτας ἀποκρίσεις ἦν καταφανὴς τῇ τραχύτητι τῆς φωνῆς οὐκ ἀναφέρουσα, δίκην νεὼς ἐπειγομένης, ἀλάλου καὶ κακοῦ πνεύματος οὖσα πλήρης· τέλος δὲ παντάπασιν ἐκταραχθεῖσα καὶ μετὰ κραυγῆς φοβερᾶς φερομένη πρὸς τὴν ἔξοδον, ἔρριψεν ἑαυτὴν ὥστε φυγεῖν μὴ μόνον τοὺς θεοπρόπους, ἀλλὰ καὶ τὸν προφήτην Νίκανδρον, καὶ τοὺς παρόντας τῶν ὁσίων. Ἀνείλοντο μέντοι μετὰ μικρὸν αὐτὴν εἰσελθόντες ἔκφρονα, καὶ C
διεβίωσεν ὀλίγας ἡμέρας. Τούτων ἕνεκα, καὶ συνουσίας ἁγνὸν τὸ σῶμα καὶ τὸν βίον ὅλως ἀνεπίμικτον ἀλλοδαπαῖς ὁμιλίαις καὶ ἄθικτον φυλάττουσι τῆς Πυθιάδος, καὶ πρὸ τοῦ χρηστηρίου τὰ σημεῖα λαμβάνουσιν, οἰόμενοι τῷ θεῷ κατάδηλον εἶναι ποτὲ τὴν πρόσφορον ἔχουσα κρᾶσιν καὶ διάθεσιν, ἀβλαβῶς ὑπομένει τὸν ἐνθουσιασμόν. Οὔτε γὰρ πάντας, οὔτε τοὺς αὐτοὺς ἀεὶ

C. 1. ἔκφρονα] Forte rectius ἔμφρονα, ut Ald. Baſ. Xyl. A. B. Venet. 2. Vulgatum habent Pol. Leonic. Anon. Schott. unde Stephanus ſumſit.
C. 4. φυλάττουσι] Ex F. Colleg. Nov. T. V. Vulgo φυλαττούσης. Mox ὑπομενεῖ pro ὑπομένει ex Anon. T. V. Mez.

dit in opertum oraculi invita, ut aiunt, et animo minime alacri: ſtatim autem in primis reſponſionibus apparuit ex aſperitate vocis eam inſtar navis vento impulſæ non ſuſtinere vim ſpiritus, adeoque repletam eſſe ſpiritu maligno et muto: tandem prorſus exagitata cum terribili clamore ad exitum contendit, ibique ſeſe projecit, ita ut non tantum conſultores fugerint, ſed et Nicander vates, et quotquot Hoſiorum aderant. Paulo tamen poſt ingreſſi ſuſtulerunt eam mente captam, ac ſupervixit paucos dies. Eam ob rem Pythias neceſſe eſt ut corpus et a viris intactum, et ab omni alieno commercio purum conſervet, et ſigna ante oraculum exigunt, exiſtimantes deo notum eſſe quando ea commode affecta atque temperata ſuſtinere inſtinctum divinum poſſit. Neque enim omnes, neque eoſdem eodem

διατίθησιν ὡσαύτως ἡ τοῦ πνεύματος δύναμις, ἀλλ' ὑπέκ-
καυμα παρέχει καὶ ἀρχὴν, ὥσπερ εἴρηται, τοῖς πρὸς τὸ
D παθεῖν καὶ μεταβαλεῖν οἰκείως ἔχουσιν. Ἔστι δὲ θεία
μὲν ὄντως καὶ δαιμόνιος, οὐ μὴν ἀνέκλειπτος, οὐδ' ἄφθαρ-
τος, οὐδ' ἀγήρως καὶ διαρκὴς εἰς τὸν ἄπειρον χρόνον· ὑφ'
οὗ πάντα κάμνει τὰ μεταξὺ γῆς καὶ σελήνης, κατὰ τὸν
ἡμέτερον λόγον· εἰσὶ δ' οἳ καὶ τὰ ἐπάνω φάσκοντες οὐχ
ὑπομένειν, ἀλλ' ἀπαυδῶντα πρὸς τὸ ἀΐδιον καὶ ἄπει-
ρον, ὀξέσι χρῆσθαι μεταβολαῖς καὶ παλιγγενεσίαις.

νβ'. Ταῦτ' ἔφην ἐγὼ πολλάκις ἀνασκέπτεσθαι καὶ
ὑμᾶς παρακαλῶ καὶ ἐμαυτὸν, ὡς ἔχοντα πολλὰς ἀντι-
λήψεις καὶ ὑπονοίας πρὸς τοὐναντίον, ἃς ὁ καιρὸς οὐ παρ-
E έχει πάσας ἐπεξελθεῖν· ὥστε καὶ ταῦτα ὑπερκείσθω, καὶ ἃ
Φίλιππος διαπορεῖ περὶ ἡλίου καὶ Ἀπόλλωνος.

D. 3. ὑφ' οὗ] Sic Anon. T. V. Xyl. Mez. Vulgo ὑφ' ὧν.
D. 7. ὀξέσι] Non placet. Forte rectius ſit συνεχέσι.

ſemper modo vis ſpiritus afficit: ſed fomitis inſtar initium, ſicuti diximus, præbet iis qui ita comparati ſunt, ut commode affici ac mutari poſſint. Eſt autem vis ea divina quidem, non tamen quæ deficere nunquam aut ſenectute elangueſcere, ſed durare per infinitum tempus poſſit: quo ſane omnia debilitantur, quæ inter Lunam ſunt et terram, ut quidem noſtra doctrina perhibet. Sunt enim qui ſuperiora etiam non perdurare putent, ſed cum æternitatem atque infinitatem aſſequi non poſſint, celeribus uti mutationibus ac renovationibus ortuum.

LII. Hæc, inquam ego, ſæpenumero perpendere et vos jubeo, et meipſum, cum multis videantur expoſita reprehenſionibus, et in contrariam ſententiam ſuſpiciones præbeant, quas omnes perſequi diſputando tempeſtivum in præſentia non eſt. Ergo et hæc in aliud rejiciamus tempus, et quæ Philippus de Sole et Apolline dubia explicanda habet.

ΠΛΟΥΤΑΡΧΟΥ

ΟΤΙ ΔΙΔΑΚΤΟΝ Η ΑΡΕΤΗ.

ΠΛΟΥΤΑΡΧΟΥ

ΟΤΙ ΔΙΔΑΚΤΟΝ Η ΑΡΕΤΗ.

PLUTARCHI

VIRTUTEM DOCERI POSSE.

α'. ΠΕΡΙ τῆς Ἀρετῆς βουλευόμεθα καὶ διαπορεῦμεν εἰ διδακτὸν ἐστὶ τὸ φρονεῖν, τὸ δικαιοπραγεῖν, τὸ εὖ ζῆν· εἶτα θαυμάζομεν εἰ ῥητόρων μὲν
B ἔργα καὶ κυβερνητῶν καὶ οἰκοδόμων καὶ γεωργῶν, μυρία δ' ἐστὶν· ἀγαθοὶ δὲ ἄνδρες ὀνομάζονται καὶ λέγονται μόνον, ὡς ἱππο-

A. 1. ΠΛΟΥΤΑΡΧΟΥ] Non integra videtur eſſe nec continua diſputatio, ſed diſputationis, Plutarcheæ tamen, excerptum compendium.
B. 2. μυρία δ' ἐστὶν·] Lege μυρία ἐστίν.

I. DE Virtute conſultamus ac diſputamus, docerine poſſit prudentia, juſtitia, vitæ rectitudo. Ergo rhetorum præclara opera, et gubernatorum, et architectorum, et ruſticorum admiramur: ſunt enim ſexcenta: viri autem boni nominantur tantum eo pacto, quo hippocen-

κένταυροι καὶ γίγαντες καὶ κύκλωπες, ἔργον δὲ ἀμεμφὲς εἰς ἀρετὴν καὶ ἀκέραιον οὐκ ἔστιν εὑρεῖν, οὐδὲ πάθους ἀκέραιον ἦθος καὶ ἄθικτον· ἀλλ' εἰ καί τι καλὸν ἡ φύσις αὐτομάτως ἐκφέρει, τοῦτο πολλῷ τῷ ἀλλοτρίῳ, καθάπερ ὕλη καρπὸς ἀγρία καὶ ἀκαθάρτῳ μιγνύμενος, ἐξαμαυροῦται. Ψάλλειν μανθάνουσιν ἄνθρωποι, καὶ ὀρχεῖσθαι, καὶ ἀναγινώσκειν γράμματα, καὶ γεωργεῖν, καὶ ἱππεύειν· ὑποδεῖσθαι μανθάνουσι, περιβάλλεσθαι· οἰνο- C
χοεῖν διδάσκουσιν, ὀψοποιεῖν· ταῦτα ἄνευ τοῦ μαθεῖν, οὐκ ἔστι χρησίμως ποιεῖν· δι' ὃ δὲ ταῦτα πάντα, τὸ εὖ βιοῦν, ἀδίδακτον καὶ ἄλογον καὶ ἄτεχνον καὶ αὐτόματον.

β'. Ὦ ἄνθρωποι, τί τὴν Ἀρετὴν λέγοντες ἀδίδακτον εἶναι, ποιοῦμεν ἀνύπαρκτον; εἰ γὰρ ἡ μάθησις, γένεσίς ἐστιν, ἡ τοῦ μαθεῖν κώλυσις, ἀναίρεσις. Καί τοι γε, ὥς φησιν ὁ Πλάτων, διὰ τὴν τοῦ ποδὸς πρὸς τὴν λύραν ἀμετρίαν καὶ ἀναρμοστίαν, οὔτε ἀδελφὸς ἀδελ-

B. 5. καὶ ἀκέραιον] Forte delendum.
C. 3. δι' ὃ] Sic B. C. E. T. V. Schott. Anon. Jun. Salm. Vulgo διό.

tauri, gigantes, et cyclopes: opus autem reprehenſioni non obnoxium Virtutis atque ſincerum nullum eſt, neque mores malarum perturbationum vacui; ſed ſi quid ſponte ſua natura producit boni, id multo alieno obſcuratur, tanquam fructus ſylveſtri et immunda permixtus materia. Fidibus canere diſcunt homines, et ſaltare, et legere litteras, et agros colere, et equitare: calceis ſe et veſtibus induere diſcunt, vinum infundere, cibos parare: atque hæc omnia niſi diſcantur, recte non fiunt: bene autem vivere, cujus rei gratia iſthæc ſunt omnia, diſciplina, ratione, atque arte caret, et fortuitum eſt.

II. O mortales! cur Virtutem non doceri dum affirmamus, Virtutem eſſe ullam negamus? Si enim diſcendo ea naſcitur, qui diſci eam vetat, is ne exſiſtat ea impedit. Atqui, ut eſt apud Platonem, *ob pedis ad lyram inconcinnitatem, neque frater fratri bellum*

φῷ πολεμεῖ, οὔτε φίλος φίλῳ διαφέρεται, οὔτε πόλεις πόλεσι δι' ἀπεχθείας γενόμεναι, τὰ ἔσχατα κακὰ δρῶσί τε καὶ πάσχουσιν ὑπ' ἀλλήλων· οὐδὲ περὶ προσῳδίας
D ἔχει τις εἰπεῖν στάσιν ἐν πόλει γινομένην, πότερον ΤΕΛΧΙΝΑΣ ἀναγνωστέον· οὐδ' ἐν οἰκίᾳ διαφορὰν ἀνδρὸς καὶ γυναικὸς ὑπὲρ κρόκης ἢ στήμονος. Ἀλλ' ὅμως οὔτ' ἂν ἱστὸν, οὔτε βιβλίον ἢ λύραν ὁ μὴ μαθὼν μεταχειρίσαιτο, καίπερ εἰς οὐδὲν μέγα βλαβησόμενος, ἀλλ' αἰδεῖται γενέσθαι καταγέλαστος· ἀμαθίαν γὰρ Ἡράκλειτός φησι κρύπτειν ἄμεινον· οἶκον δὲ καὶ γάμον καὶ πολιτείαν καὶ ἀρχὴν οἴεται καλῶς μεταχειρίζεσθαι. Παιδὸς ὀψοφαγοῦντος, ὁ Διογένης τῷ παιδαγωγῷ κόνδυλον ἔδωκεν· ὀρθῶς οὐ τοῦ μὴ μαθόντος, ἀλλὰ τοῦ μὴ διδάξαντος, τὸ ἁμάρτημα ποιήσας. Εἶτα παροψίδος μὲν ἢ κύλικος
E οὐκ ἔστι κοινωνεῖν ἐπιδεξίως, ἂν μὴ μάθῃ τις εὐθὺς ἐκ παίδων ἀρξάμενος· ὡς Ἀριστοφάνης,

D. 9. κόνδυλον] Sic Baſ. Xyl. C. Mez. T. Vulgo δάκτυλον.
D. 10. μαθόντος] Ita B. T. Vulgo μανθάνοντος.
E. 2. Ἀριστοφάνης] Addendum videtur φησίν. Mox Anon. T. V. ἐναλλάξ. ex ipſo Comici loco Nub. 979.

facit, neque amicus cum amico litigat, neque civitates civitatibus orta contentione extrema mala viciſſim inferunt: neque ſeditionem ortam dicere poſſis in civitate propter accentum, et quomodo pronunciandum ſit *Telchines:* neque in familia jurgium inter maritum et uxorem de ſtamine aut ſubtegmine. Et tamen telam, librum, aut lyram non tractabit qui non didicit, quanquam nullum inde magnum damnum accepturus: ſed ridiculus fieri veretur; nam, ut Heraclitus ait, *præſtat inſcitiam celare.* Domum autem, conjugium, rempublicam, magiſtratum putat recte tractari. Pueri obſoniis edendis dediti pædagogo Diogenes pugnum incuſſit, recte non ei qui non didiciſſet, ſed qui non docuiſſet culpam imputans. Jam participare patinam aut calicem dextre non poteſt qui non ſtatim a puero didicerit, ut Ariſtophanes ait,

Μὴ κιχλίζειν, μηδ' ὀψοφαγεῖν, μηδ' ἔχειν τὼ πόδ' ἐπαλλάξ,

οὐκ οὖν δὲ καὶ πόλεως καὶ γάμου καὶ βίου καὶ ἀρχῆς κοινωνίαν, ἀνέγκλητον ἐνδέχεται γενέσθαι, μὴ μαθόντων ὅν τινα χρὴ τρόπον ἀλλήλοις συμφέρεσθαι; Ὁ Ἀρίστιππος ἐρωτηθεὶς ὑπό τινος, Πανταχοῦ σὺ ἄρα εἶ; γελάσας, Οὐκοῦν, ἔφη, ἀπόλλυμι τὸ ναῦλον, εἴγε πανταχοῦ εἰμι. Τί οὖν οὐκ ἂν εἴποις καὶ αὐτὸς, Εἰ μὴ γίνονται μαθήσει βελτίονες ἄνθρωποι, ἀπόλλυται ὁ μισθὸς τῶν παιδαγωγῶν. Πρῶτον γὰρ οὗτοι λαμβάνοντες ἐκ γάλακτος, ὥσπερ αἱ τίτθαι ταῖς χερσὶ τὸ σῶμα πλάττουσιν, οὕτως ῥυθμίζουσι τοῖς ἔθεσιν, εἰς ἴχνος τι πρῶτον ἀρετῆς καθιστάντες. Καὶ ὁ Λάκων ἐρωτηθεὶς τί παρέχει παιδαγωγῶν, Τὰ καλά, ἔφη, τοῖς παισὶν ἡδέα ποιῶ. Καὶ αὐτοὶ διδάσκουσιν οἱ παιδαγωγοί, κεκυφότας ἐν ταῖς ὁδοῖς περιπατεῖν, ἑνὶ δακτύλῳ τὸ τάριχον ἅψασθαι, δυσὶ τὸν ἰχθὺν, σῖτον, ἢ κρέας· οὕτω κνᾶσθαι, τὸ ἱμάτιον οὕτως ἀναλαβεῖν.

F. 3. οὗτοι] Sic Pol. Jannot. Vulgo οὕτω.
F. 7. ποιῶ.] Sic B. Vulgo ποιεῖν.
A. 1. τὸ τάριχον] Forte τοῦ ταρίχου ut C. Jun.

Non obſonia, non turdos avere, non pedes
Alternos ponere:
familiæ autem, civitatis, conjugii, vitæ, magiſtratus ſocietas iniri inculpata poteſt ab his, qui non didicerunt quomodo ſe invicem gerere homines debeant? Ariſtippus interrogatus a quodam, *Ergo ubique tu es?* ridens, *Nonne*, inquit, *ego naulum perdo, ſi ubique ſum?* Cur ergo non ipſe quoque dicis, ſi homines diſcendo non fiunt meliores, perit merces pædagogis data? Hi enim primum accipientes ab ipſo lacte puerum, ſicut nutrices corpus manibus formant, ita ipſi animum fingunt, conſuetudine ad prima virtutis veſtigia adducentes. Et Laco interrogatus quid utilitatis adferret pueris quos inſtituebat: *Facio*, reſpondit, *ut honeſta eis fiant ſuavia.* Atque ipſi pædagogi docent in via ambulare capite demiſſo, uno digito ſalſamentum, duobus tangere piſcem, panem, carnem, ſic ſcabere, ſic veſtem gerere.

γʹ. Τί οὖν ὁ λέγων λειχῆνος ἰατρικὴν εἶναι καὶ παρωνυχίας, πλευρίτιδος δὲ καὶ πυρετοῦ καὶ φρενίτιδος μὴ εἶναι, τί διαφέρει τοῦ λέγοντος ὅτι τῶν μικρῶν καὶ παιδικῶν καθηκόντων εἰσὶ διδασκαλεῖα καὶ λόγοι καὶ ὑποθῆκαι· τῶν δὲ μεγάλων καὶ τελείων ἄλογος τριβὴ καὶ περίπτωσίς ἐστι; Ὡς γὰρ ὁ λέγων, Δεῖ κώπην ἐλαύνειν μὴ μαθόντα, γελοῖός ἐστιν· οὕτως ὁ μὲν τῶν ἄλλων ἀπολείπων τεχνῶν μάθησιν, ἀρετῆς δὲ ἀναιρῶν, τοὐναντίον ἔοικε τοῖς Σκύθαις ποιεῖν. Ἐκεῖνοι μὲν γάρ, ὥς φησιν Ἡρόδοτος, τοὺς οἰκέτας ἐκτυφλοῦσιν, ὅπως παραμένωσιν
B αὐτοῖς· οὗτος δὲ ταῖς δούλαις καὶ ὑπηρέτισι τέχναις ὥσπερ ὄμμα τὸν λόγον ἐντιθείς, τῆς ἀρετῆς ἀφαιρεῖ. Καίτοι γε ὁ στρατηγὸς Ἰφικράτης πρὸς τὸν Χαβρίου Καλλίαν, ἐρωτῶντα καὶ λέγοντα, Τίς εἶ; τοξότης, πελταστής, ἱππεύς, ὁπλίτης; Οὐδείς, ἔφη, τούτων, ἀλλ' ὁ τούτοις πᾶσιν ἐπιτάττων. Γελοῖος οὖν ὁ λέγων ὅτι τοξικὴ

A. 6. καθηκόντων] B. C. T. Mez. At vulgo καθηκόντας.
A. 8. Δεῖ κώπην—] Forte legendum auctoribus Jannot. Coll. Mur. Mez. Δεῖ κώπην ἐλαύνειν μαθόντα, κυβερνᾶν δὲ καὶ μὴ μαθόντα.
A. 12. παραμένωσιν] Revocavi ex Ald. Baſ. pro pervulgato in Plutarchi codicibus παραδῶσιν. Mox στρατηγία mutem in στρατηγική.

III. Quid, dicens vitiliginis eſſe et reduviæ medicinam, non eſſe pleuritidis, febris, phrenitidis, differtne ab eo qui rerum puerilium affirmet recte ſcholas eſſe, doctrinam, præcepta, magnarum et perfectarum uſum rationis expertem atque fortuitum? Sicut enim ridiculus eſt qui remum agitari ait ab eo qui didicerit: ita qui aliarum artium diſciplinam ponens, virtutis tollens, contrarium videtur ejus facere quod Scythæ ſolent. Hi enim, ut Herodotus ait, ſervis oculos eruunt, ut ipſis adſiſtant: hic ancillis et inſervientibus artibus rationem veluti oculum tribuens, Virtuti eum adimit. Atqui Iphicrates imperator Calliæ Chabriæ F. interroganti, *Quid es, ſagittarius, cetratus, eques, gravis armaturæ miles? Nihil*, inquit, *horum, ſed qui his omnibus præcipio.* Ridiculus proinde ſit,

καὶ ὁπλιτικὴ καὶ τὸ σφενδονᾶν καὶ τὸ ἱππεύειν διδακτόν ἐστι, στρατηγία δὲ καὶ τὸ στρατηγεῖν, ὡς ἔτυχε παραγίνεται. Οὐκοῦν ἔτι γελοιότερος ὁ μόνην τὴν φρόνησιν μὴ διδακτὴν ἀποφαίνων, ἧς ἄνευ, τῶν ἄλλων τεχνῶν ὄφελος οὐδὲν οὔτε ὄνησίς ἐστιν; Εἰ δὲ ἡγεμὼν αὕτη, καὶ κόσμος οὖσα πασῶν καὶ τάξις, εἰς τὸ χρήσιμον ἕκαστον καθίστησιν, αὐτίκα τίς δείπνου χάρις, ἠσκημένων καὶ μεμαθηκότων παίδων δαιτρεῦσαι καὶ ὀπτῆσαι καὶ οἰνοχοῆσαι, εἰ μὴ διάθεσις μηδὲ διάταξις εἴη πρὸς τοὺς διακονοῦντας;

C. 5. πρὸς τοὺς διακονοῦντας] Malim περὶ τοὺς δαιτυμόνας.

qui dicat artem ſagittandi, arma tractandi, funda jaciendi, equitandi, poſſe doceri, ducendi exercitus rationem eſſe fortuitam. Nonne magis etiam ridiculus ille, qui ſolam prudentiam doceri poſſe neget, ſine qua reliquarum artium uſus eſt nullus, nullum emolumentum? Quod ſi ea princeps eſt, ornatuſque et ordo omnium, quodvis ad utilitatem componens, jam primum quæ gratia eſt cœnæ, pueris ita inſtitutis ut coquere, aſſare, et vinum infundere poſſint, ſi nulla ſit diſpoſitio, nulla ordinatio adminiſtrantium?

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΗΣ ΗΘΙΚΗΣ ΑΡΕΤΗΣ.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΗΣ ΗΘΙΚΗΣ ΑΡΕΤΗΣ.

PLUTARCHI

DE

VIRTUTE MORALI.

α΄. ΠΕΡΙ τῆς Ἠθικῆς λεγομένης Ἀρετῆς καὶ δοκούσης, ᾧ δὴ μάλιστα τῆς Θεωρητικῆς διαφέρει, τῷ τὸ μὲν πάθος ὕλην ἔχειν, τὸν δὲ λόγον εἶδος, εἰπεῖν πρόκειται, τίνα τε οὐσίαν ἔχει, καὶ πῶς ὑφίστασθαι πέφυκε· καὶ πότερον οἰκείῳ λόγῳ κεκόσμηται τὸ δεχόμενον μόριον αὐτὴν τῆς ψυχῆς, ἢ μετέσχηκεν ἀλλοτρίου· καὶ εἰ μετέσχηκε, πότερον ὡς τὰ μεμιγμένα πρὸς τὸ βέλτιον, ἢ μᾶλλον,

I. DE Virtute, quæ cum appellatur tum videtur Moralis, eoque præcipue a contemplativa differt, quia pro materia animi motus, pro forma rationem rectam habet, propoſitum nobis eſt diſſerere: quænam ſit ejus natura, quomodo ſubſiſtat, an quæ ejus capax eſt animi pars peculiari ſit ratione ornata, an alienæ particeps: mixtane ea pars cum meliore ſit, aut potius ea tanquam

ὡς ἐπιστασίᾳ τινὶ χρωμένην καὶ ἀρχῇ μετέχειν λέγεται τῆς τοῦ ἄρχοντος δυνάμεως· ὅτι μὲν γὰρ δύναται καὶ Ἀρετὴ γεγονέναι, καὶ μένειν παντάπασιν ἄϋλον καὶ ἄκρατον, οἴομαι δῆλον εἶναι. Βέλτιον δὲ βραχέως ἐπιδραμεῖν καὶ τὰς τῶν ἑτέρων, οὐχ ἱστορίας ἕνεκα μᾶλλον ἢ τοῦ σαφέστερα γενέσθαι τὰ οἰκεῖα καὶ βεβαιότερα, προεκτεθέντων ἐκείνων.

β'. Μενέδημος μὲν ὁ ἐξ Ἐρετρίας ἀνῄρει τῶν ἀρετῶν καὶ τὸ πλῆθος καὶ τὰς διαφορὰς, ὡς μιᾶς οὔσης καὶ χρωμένης πολλοῖς ὀνόμασι· τὸ γὰρ αὐτὸ σωφροσύνην καὶ ἀνδρείαν καὶ δικαιοσύνην λέγεσθαι, καθάπερ βροτὸν καὶ ἄνθρωπον. Ἀρίστων δὲ ὁ Χῖος τῇ μὲν οὐσίᾳ μίαν καὶ αὐτὸς Ἀρετὴν ἐποίει, καὶ Ὑγίαν ὠνόμαζε· τῷ δὲ πρός τι πως διαφόρους καὶ πλείονας, ὡς εἴ τις ἐθέλοι τὴν ὅρασιν ἡμῶν, λευκῶν μὲν ἀντιλαμβανομένην, λευκοθέαν καλεῖν, μελάνων δὲ, μελανθέαν, ἤ τι τοιοῦτον ἕτερον. Καὶ

E. 2. δύναται καὶ Ἀρετὴ] Sic B. Prius etiam eſt in Ald. Baſ. Xyl. E. Venet. 3. P. Vulgo δυνατὸν καὶ ἀρετήν.

magiſtra et principe utens, particeps dicatur imperantis facultatis; quod enim poſſit Virtus etiam exſiſtere atque permanere omnis materiæ expers, omniſque mixtionis, exiſtimo manifeſtum eſſe. Expedit autem breviter aliorum ſententias percurrere, non tam recenſionis gratia, quam ut iis prius expoſitis, noſtra et evidentiæ plus habeant et firmitatis.

II. Menedemus, cui patria fuit Eretria, Virtutum et multitudinem ſuſtulit, et differentias: quod unam eſſe arbitraretur, quæ diverſis uteretur nominibus: idem enim dici temperantiam, fortitudinem, juſtitiam, quomodo idem ſunt mortalis et homo. Ariſto autem Chius, unicam et ipſe quod ad ſubſtantiam attinet, Virtutem fecit, ac *ſanitatem* appellavit: certarum autem reſpectu rerum, plures; ut ſi quis vellet viſum noſtrum, quando res albas intuetur, leucotheam, (id eſt alborum:) quando nigra, melantheam, (id eſt nigrorum ſpectatorem,) aut alia ſimili ratione appellare. Etenim Virtus dum

γὰρ ἡ Ἀρετὴ ποιητέα μὲν ἐπισκοποῦσα καὶ μὴ ποιητέα,
441 κέκληται φρόνησις· ἐπιθυμίαν δὲ κοσμοῦσα, καὶ τὸ μέτριον καὶ τὸ εὔκαιρον ἐν ἡδοναῖς ὁρίζουσα, σωφροσύνη· κοινωνήμασι δὲ καὶ συμβολαίοις ὁμιλοῦσα τοῖς πρὸς ἑτέρους, δικαιοσύνη· καθάπερ τὸ μαχαίριον ἓν μὲν ἐστὶν, ἄλλοτε δὲ ἄλλο διαιρεῖ· καὶ τὸ πῦρ ἐνεργεῖ περὶ ὕλας διαφόρους μιᾷ φύσει χρώμενον. Ἔοικε δὲ καὶ Ζήνων εἰς τοῦτό πως ὑποφέρεσθαι ὁ Κιτιεὺς, ὁριζόμενος τὴν φρόνησιν ἐν μὲν ἀπονεμητέοις, δικαιοσύνην· ἐν δὲ διαιρετέοις, σωφροσύνην· ἐν δὲ ὑπομενετέοις, ἀνδρείαν· ἀπολογούμενοι δὲ, ἀξιοῦσιν ἐν τούτοις τὴν ἐπιστήμην φρόνησιν
B ὑπὸ τοῦ Ζήνωνος ὠνομάσθαι. Χρύσιππος δὲ κατὰ τὸ ποιὸν Ἀρετὴν ἰδίᾳ ποιότητι συνίστασθαι νομίζων, ἔλαθεν ἑαυτὸν, κατὰ τὸν Πλάτωνα, σμῆνος Ἀρετῶν οὐ σύνηθες οὐδὲ γνώριμον ἐγείρας· ὡς γὰρ παρὰ τὸν ἀνδρεῖον ἀνδρείαν, καὶ παρὰ τὸν πρᾶον πραότητα, καὶ δικαιοσύνην

A. 8. διαιρετέοις] Legendum αἱρετέοις.
B. 4. ἐγείρας] Ita B. E. P. Xyl. cod. Vulgo ἀγείρας.

conſiderat quid agendum ſit aut non agendum, prudentiæ nomen gerit: dum moderatur cupiditatibus modumque et legitimum voluptatibus tempus definit, temperantiæ: dum commercia contractuſque hominum invicem temperat, juſtitiæ: ſicut culter unus quidem eſt, alias autem aliud ſcindit: et ignis unica ſua natura utens in varias agit materias. Sublabi in hanc ſententiam Zeno etiam quodammodo videtur Citieus, qui prudentiam definiens in tribuendis rebus juſtitiam, in ſequendis aut fugiendis temperantiam, in ſuſtinendis fortitudinem nuncupat: qui hæc defendunt, volunt prudentiæ vocem a Zenone pro ſcientia fuiſſe uſurpatam. Chryſippus autem dum ſecundum qualitatem, quamvis peculiarem aliquam virtutem putat debere conſtitui, imprudens totum, ut eſt apud Platonem, examen virtutum excitavit incognitum atque inſolens: nam ſicut a forti fortitudinem, a manſueto manſuetudinem, a juſto juſti-

παρὰ τὸν δίκαιον, οὕτως παρὰ τὸν χαρίεντα χαριεντότητα, καὶ παρὰ τὸν ἐσθλὸν ἐσθλότητα, καὶ παρὰ τὸν μέγαν μεγαλότητα, καὶ παρὰ τὸν καλὸν καλότητα, ἑτέρας τε τοιαύτας ἐπιδεξιότητας, εὐαπαντησίας, εὐτραπελίας, Ἀρετὰς τιθέμενος, πολλῶν καὶ ἀτόπων ὀνομάτων οὐδὲν δεομένην ἐμπέπληκε φιλοσοφίαν. C

γ′. Κοινῶς δὲ ἅπαντες οὗτοι τὴν Ἀρετὴν τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς διάθεσίν τινα καὶ δύναμιν γεγενημένην ὑπὸ λόγου, μᾶλλον δὲ λόγον οὖσαν αὐτὴν ὁμολογούμενον καὶ βέβαιον καὶ ἀμετάπτωτον, ὑποτίθενται· καὶ νομίζουσιν οὐκ εἶναι τὸ παθητικὸν καὶ ἄλογον διαφορᾷ τινι καὶ φύσει ψυχῆς τοῦ λογικοῦ διακεκριμένον, ἀλλὰ τὸ αὐτὸ τῆς ψυχῆς μέρος, ὃ δὴ καλοῦσι διάνοιαν καὶ ἡγεμονικόν, δι' ὅλου τρεπόμενον καὶ μεταβάλλον ἔν τε τοῖς πάθεσι, καὶ ταῖς κατὰ ἕξιν ἢ διάθεσιν μεταβολαῖς, Κακίαν τε γίνεσθαι καὶ Ἀρετήν, καὶ μηδὲν ἔχειν ἄλογον ἐν ἑαυ- D τῷ· λέγεσθαι δὲ ἄλογον, ὅταν τῷ πλεονάζοντι τῆς ὁρ-

tiam: ſic a gratioſo gratioſitatem, a bono bonitudinem, a magno magnitatem, ab honeſto honeſtitudinem, aliaſque id genus dexteritates, compellabilitates, verſabilitates, Virtutum in numero cenſens, multis et abſurdis nominibus nihil tale deſiderantem implevit philoſophiam.

III. In eo omnes conveniunt, quod Virtutem partis animæ principis affectionem quandam et facultatem ratione partam, aut ipſam potius eſſe rationem ſibi conſentientem, firmam, atque inexpugnabilem ponunt: ſentiuntque partem animi motibus obnoxiam ſubitis atque brutam, non differentia naturæ quadam a ratione diſcretam eſſe: ſed ipſam illam animi partem, quam rationem et principem vocant, totam prorſus converſam ac mutatam ſub motus animi ſubitos, mutationeſque habitum aut affectionem efficientes aliquam, fieri Vitium vel Virtutem, nihilque habere in ſe brutum: ſed brutum dici, quando vi incitatæ appetitionis

μένης ἰσχυρῷ γενομένῳ καὶ κρατήσαντι, πρός τι τῶν ἀτόπων παρὰ τὸν αἱροῦντα λόγον ἐκφέρηται· καὶ γὰρ τὸ πάθος εἶναι λόγον πονηρὸν καὶ ἀκόλαστον, ἐκ φαύλης καὶ διημαρτημένης κρίσεως σφοδρότητα καὶ ῥώμην προσλαβόντα. Ἔοικε δὲ λαθεῖν τοῦτο τοὺς ἅπαντας, ἡ διττὸς ἡμῶν, ὡς ἀληθῶς, ἕκαστός ἐστι καὶ σύνθετος· τὴν γὰρ ἑτέραν διπλόην οὐ κατεῖδον, ἀλλὰ τὴν ψυχῆς καὶ σώματος μῖξιν ἐμφανεστέραν οὖσαν· ὅτι δὲ αὐτῆς ἐστι
E τῆς ψυχῆς ἐν ἑαυτῇ σύνθετόν τι καὶ διφυὲς καὶ ἀνόμοιον, ὥσπερ ἑτέρου σώματος τοῦ ἀλόγου πρὸς τὸν λόγον ἀνάγκῃ τινὶ καὶ φύσει συμμιγέντος καὶ συναρμοσθέντος, εἰκὸς μὲν ἐστι μηδὲ Πυθαγόραν ἀγνοῆσαι, τεκμαιρομένους τῇ περὶ τὴν μουσικὴν σπουδῇ τοῦ ἀνδρός, ἣν ἐπηγάγετο τῇ ψυχῇ κηλήσεως ἕνεκα καὶ παραμυθίας, ὡς οὐ πᾶν ἐχούσῃ διδασκαλίᾳ καὶ μαθήμασιν ὑπήκοον, οὐδὲ λόγῳ μεταβλητὸν ἐκ κακίας, ἀλλά τινος ἑτέρας πειθοῦς συνεργοῦ καὶ πλάσεως καὶ τιθασεύσεως δεόμενον, εἰ μὴ παντά-

prævalente et obtinente, ad abſurdum aliquid contra rationis conſilium effertur: motum enim illum rationem eſſe pravam et intemperantem, a vitioſo et falſo judicio vehementiam vireſque conſecutam. Cæterum omnes hos videtur latuiſſe quo modo unuſquiſque noſtrum revera duplex ſit atque compoſitus. Non enim perſpexerunt utramque duplicitatem noſtri, ſed eam duntaxat, quæ evidentior eſt, ex anima et corpore compoſitionem. Atqui ipſam animam e duabus ac diſſimilibus iis naturis eſſe conflatam, ut bruta pars, inſtar alterius corporis, atque ratio commixtæ atque concinnatæ inter ſe ſint natura quadam et neceſſitate, ne Pythagoram quidem, puto, fefellit: idque conjicio ex ejus ſtudio muſicæ, quam ille animæ demulcendæ atque pacandæ cauſa induxit; ut quæ non omnia haberet doctrinæ ac diſciplinis obedientia, aut quæ de vitio ad virtutem oratione traduci poſſent: ſed quippiam alius generis ſuadelam, formationem, atque cicurationem præterea deſiderans,

πᾶσι μᾶλλον φιλοσοφίᾳ δυσμεταχείριστον εἶναι καὶ ἀπειθές. Ἐμφανῶς μέντοι καὶ βεβαίως καὶ ἀναμφιδόξως Πλάτων συνεῖδεν ὅτι τούτου γε τοῦ κόσμου τὸ ἔμψυχον, οὐχ ἁπλοῦν οὐδὲ ἀσύνθετον οὐδὲ μονοειδές ἐστιν, ἀλλ' ἐκ τῆς ταὐτοῦ καὶ τῆς τοῦ ἑτέρου μεμιγμένον δυνάμεως, τῇ μὲν ἀεὶ κατὰ ταὐτὰ κοσμεῖται καὶ περιπολεῖ μιᾷ τάξει κράτος ἐχούσῃ χρώμενον, τῇ δὲ εἴς τε κινήσεις καὶ κύκλους σχιζόμενον ὑπεναντίους καὶ πλανητούς, ἀρχὴν διαφορᾶς καὶ γένεσιν· ἥ τε ἀνθρώπου ψυχὴ, μέρος ἢ τμῆμα τῆς τοῦ παντὸς οὖσα, καὶ συνηρμοσμένη κατὰ λόγους καὶ ἀριθμοὺς ἐοικυίας ἐκείνοις, οὐχ ἁπλῆ τις ἐστὶν οὐδὲ ὁμοιοπαθής, ἀλλ' ἕτερον μὲν ἔχει τὸ νοερὸν, καὶ λογιστικόν, ᾧ κρατεῖν τοῦ ἀνθρώπου κατὰ φύσιν καὶ ἄρχειν προσῆκόν ἐστιν· ἕτερον δὲ τὸ παθητικὸν καὶ ἄλογον καὶ πολυπλανὲς καὶ ἄτακτον ἐξ ἑαυτοῦ ἐπιστασίας δεόμενον.

A. 5. ἄτακτον ἐξ ἑαυτοῦ ἐπιστασίας δεόμενον] Vere ita Mez. Vulgo, ἄτακτον ἐξ ἐπιστασίας ἑαυτοῦ δεόμενον. Steph. primus recepit ἐπιστασίας a Pol. Leonic. Schott. ſed alieno poſuit loco.

ne plane Philoſophiæ intractabile ſe atque refractarium præbeat. Plato quidam aperte, firmiter, atque citra ullam controverſiam ſenſit hujus mundi animam non eſſe ſimplicem, non compoſitionis expertem, non uniformem: ſed quæ ex Ejuſdem et Diverſi vi contemperata, alias uno ordine vi prædito utens eodem modo ſemper regatur atque obverſetur: alias in motus ſciſſa, orbeſque vagos et invicem contrarios, rerum differentiis atque ortibus principium exhibeat. Tum hominis animam, quæ animæ Univerſi portio rationibus ac numeris huic congruentibus ſit concinnata, non ſimplicem eſſe aut eodem per omnia modo affectam: ſed aliam ejus partem intelligentem eſſe ac ratiocinatricem, qua hominem regi naturæ ſit conveniens: aliam, quæ variis motibus obnoxia, bruta, vaga et incompoſita ſuapte natura, gubernante opus habeat: atque hanc

ου πάλιν δίχῃ μεριζομένου, τὸ μὲν ἀεὶ σωματικὸν κέκληται ἐπιθυμοῦν, τὸ δὲ ἔστι μὲν ᾗ τούτῳ προστιθέμενον, ἔστι δὲ ᾗ τῷ λογισμῷ παρέχον ἰσχὺν ἐπὶ τοῦτο καὶ δύναμιν, θυμοειδές· ἀποδείκνυσι δὲ τὴν διαφορὰν μάλιστα τῇ τοῦ λογιζομένου καὶ φρονοῦντος ἀντιβάσει, πρὸς τὸ ἐπιθυμοῦν καὶ θυμούμενον· ὥστε ἕτερα εἶναι πολλάκις ἀπει-
B θοῦντα καὶ δυσμαχοῦντα πρὸς τὸ βέλτιστον. Ταύταις ἐχρήσατο ταῖς ἀρχαῖς πλεῖστον Ἀριστοτέλης, ὡς δῆλόν ἐστιν ἐξ ὧν ἔγραψεν· ὕστερον δὲ τὸ μὲν θυμοειδὲς τῷ ἐπιθυμητικῷ προσένειμεν, ὡς ἐπιθυμίαν τινὰ τὸν θυμὸν ὄντα καὶ ὄρεξιν ἀντιλυπήσεως· τῷ μέντοι παθητικῷ καὶ ἀλόγῳ μέχρι παντὸς ὡς διαφέροντι τοῦ λογιστικοῦ, χρώμενος διετέλεσεν, οὐχ ὅτι παντελῶς ἄλογόν ἐστιν, ὥσπερ τὸ αἰσθητικὸν ἢ τὸ θρεπτικὸν καὶ φυτικὸν τῆς ψυχῆς μέρος· ἀλλὰ ταῦτα μὲν ὅλως ἀνήκοα λόγου καὶ κωφὰ πρό-

A. 7. ἐπιθυμοῦν] Deeſt in Ald. Baſ. Xyl. B. P. Recepit Steph. τὸ ἐπιθυμοῦν: articulum delevi cum T. Bong. ἐπιθυμοῦν habent item E. Venet. 1. 2. 3. Pol. Jannot. Schott.

B. 2. πλεῖστον] Forte πρῶτον.

rurſum in duas ſcindi partes: quarum altera, ſemper corporea illa, appelletur Cupiditas: altera nonnunquam huic ſe accommodans, aliquando rationi obtemperans, eique vim et facultatem adverſus Cupiditatem præbens, Iracundia dicatur. Diſcrimen autem maxime demonſtrat mentis ac rationis adverſus Cupiditatem et Iracundiam pugna, quæ oſtendit multa alia eſſe, quæ optimæ adverſentur parti. His principiis plurimum uſus eſt Ariſtoteles, quod ex ejus ſcriptis eſt manifeſtum. Poſtea tamen iraſcentem partem concupiſcenti adjunxit, quod excandeſcentia animi appetitus quidam ſit viciſſim lædendi: tamen partem brutam et ſubitis affectionibus obnoxiam ſemper et ad extremum uſque ita ut diverſam a ratiocinatrice uſurpavit; non quod ea prorſum bruta ſit ſicut ea animæ vis qua ſentimus, alimur, vegetamur: ſed cum hæc rationi nihil quicquam omnino o-

που τινὰ τῆς σαρκὸς ἐκβεβλάστηκε, καὶ περὶ τὸ σῶμα παντελῶς καταπέφυκε· τὸ δὲ παθητικὸν οἰκείου λόγου C στέρεται καὶ ἄμοιρον ἐστιν, ἄλλως δὲ τοῦ λογιζομένου καὶ φρονοῦντος εἰσακούειν καὶ τρέπεσθαι πρὸς ἐκεῖνο καὶ ὑπείκειν καὶ κατασχηματίζεσθαι πέφυκεν, ἐὰν μὴ τέλεον ᾖ διεφθαρμένον ὑφ' ἡδονῆς ἀμαθοῦς καὶ ἀκολάστου διαίτης.

δʹ. Οἱ δὲ θαυμάζοντες ὅπως ἄλογον μέν ἐστι, λόγῳ δὲ κατήκοον, οὔ μοι δοκοῦσι τοῦ λόγου περινοεῖν τὴν δύναμιν ὅση πέφυκε καὶ ἐφ' ὅσον διέρχεται τῷ κρατεῖν καὶ ἄγειν, οὐ σκληραῖς οὐδὲ ἀντιτύποις ἀγωγαῖς, ἀλλὰ τυπικαῖς, καὶ τὸ ἐνδόσιμον καὶ πειθήνιον ἁπάσης ἀνάγκης καὶ βίας ἐχούσαις ἀνυσιμώτερον. Ἐπεὶ καὶ πνεῦμα D δήπου καὶ νεῦρα καὶ ὀστᾶ καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος, ἄλογά ἐστιν, ἀλλ' ὅταν ὁρμὴ γένηται, σείσαντος ὥσπερ ἡνίας τοῦ λογισμοῦ, πάντα τέτακται καὶ συνῆπται καὶ ὑπακούει· καὶ πόδες τε, θεῖν διανοηθέντος, εὔτονοι, καὶ χεῖ-

D. 4. τέτακται] Non minus probabile eſt τέταται, quod habent T. V. Anon. E. Venet. 1.

bediens, ac ſurda quodammodo e carne edita ſit, omninoque corpori inhæreſcat: illa altera motuum ſubitorum capax propriæ expers rationis, ea tamen eſt natura, ut mentem ac rationem audire, ad eam ſe convertere, parere, et conformari ab ea poſſit, niſi inſcita voluptate et intemperante vitæ ratione plane ſit peſſundata.

IV. Qui vero non aſſequuntur quomodo brutum quod eſt, rationi obtemperare poſſit: ii mihi non videntur vim rationis perſpicere, quanta ſit ea, quo penetret imperando ac ducendo: non duris hoc et refractariis ductibus, ſed conformantibus et obedientia ac concedendo plus quavis neceſſitate ac vi conficientibus. Etenim ſpiritus, nervi et oſſa, reliquæque corporis partes utique rationis vacua ſunt: tamen dato impetu, ubi ratio quaſi concuſſit habenas, omnia ſuum ordinem ſervant, congruunt, et parent: ac pedes, ubi viſum fuerit animo ut curratur, intendunt

ρες ὡς ἔργον καθίςανται, βαλεῖν ἢ λαβεῖν ὁρμήσαντος. Ἄριςα δὲ ὁ ποιητὴς τὸ συμπαθὲς καὶ συγκατασχηματιζόμενον τῷ λόγῳ τοῦ ἀλόγου παρίςησι διὰ τούτων,

> Ὡς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης,
> Κλαιούσης ἑὸν ἄνδρα παρήμενον· αὐτὰρ Ὀδυσσεὺς
> Θυμῷ μὲν γοόωσαν ἑὴν ἐλέαιρε γυναῖκα,
> Ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕςασαν ἠὲ σίδηρος
> Ἀτρέμας ἐν βλεφάροισι, δόλῳ δ' ὅ γε δάκρυα κεῦθεν.

οὕτως κατήκοον εἶχε τῆς κρίσεως καὶ τὸ πνεῦμα καὶ τὸ αἷμα καὶ τὸ δάκρυον. Δηλοῦσι δὲ καὶ περὶ καλοὺς καὶ καλὰς, ὧν οὐκ ἐᾷ λόγος οὐδὲ νόμος θιγεῖν, αἰδοίων φυγαὶ καὶ ἀναχωρήσεις ἡσυχίαν ἀγόντων καὶ ἀτρεμούντων· ὃ μάλιςα συμβαίνει τοῖς ἐρῶσιν, εἶτα ἀκούσασιν ὡς ἀδελφῆς ἐρῶντες ἢ θυγατρὸς ἠγνοήκασιν· ἀλλὰ γὰρ ἔπτηξε τὸ ἐπιθυμοῦν ἁψαμένου τοῦ λόγου, καὶ τὸ σῶμα τὰ μέρη συνευσχημονοῦντα τῇ κρίσει παρέσχε. Σιτίοις γε μὴν πολλάκις καὶ ὄψοις μάλα ἡδέως προσενεχθέντες, ἂν αἰσθῶνται καὶ μάθωσιν αὐτοὺς τὸ μὴ καθαρόν τι μηδὲ νο-

ſe curſui, manus operi, ſi quid jacere aut apprehendere voluit. Optime autem poëta his verbis expreſſit, quomodo cum ratione conſentiant, ad eamque ſe accommodent brutæ partes :

> *Hujus per teneras lacbrymarum flumina malas*
> *Manabant, ſocium thalami deflentis : Ulyſſes*
> *Uxoris fletum miſeratus mente pudicæ,*
> *Intra palpebras ceu cornu immota tenebat*
> *Lumina, vel ferrum : lacbrymas aſtuque premebat.*

ita ſpiritum, ſanguinem, et lachrymas habuit rationis dicto audientes. Hoc etiam demonſtrant apud formoſos aut formoſas, ubi tangere ratio et lex vetat, pudendorum receſſio, ſe demittentium ac quieſcentium: quod maxime uſu venit amore correptis, qui audiverunt ſe per errorem ſororis aut filiæ amore captos fuiſſe; nam ſimulatque Cupiditas, ratione eam tangente, ſubſidet, ſtatim corpus membra judicio honeſte conformata præbet. Sæpe etiam cibos et obſonia cum magna voluptate edentes, ubi ſentiunt aut diſcunt ſe aliquid impurum aut illicitum ſumſiſſe,

μίμων ἐνδεδωκότας, οὐ τῇ κρίσει μόνον ἐπιτίθενται τὸ λυπῦν καὶ δάκνον, ἀλλὰ καὶ τὸ σῶμα τῇ δόξῃ συνεκτρεπόμενον, καὶ ἀναπιμπλάμενον, ἔμετοι καὶ διατροπαὶ ναυτιώδεις ἴσχουσι. Δέδοικα δὲ μὴ δόξαιμι παντάπασιν ἐπαγωγὰ καὶ νεαρὰ τῷ λόγῳ περαίνειν, ψαλτήρια διεξιὼν καὶ λύρας, καὶ πηκτίδας καὶ αὐλὺς, καὶ ὅσα μυσικῆς προσῳδὰ καὶ προσήγορα μηχανησαμένης ἀνθρωπίνοις πάθεσιν, ἄψυχα συνῆλθε, καὶ συνεπιθρηνεῖ, καὶ συνᾴδει, καὶ συνακολασταίνει, τὰς κρίσεις ἀναφέροντα καὶ τὰ πάθη καὶ τὰ ἤθη τῶν χρωμένων. Καίτοι καὶ Ζήνωνά φασιν εἰς θέατρον ἀνιόντα κιθαρῳδῦντος Ἀμοιβέως, πρὸς τὺς μαθητὰς, Ἴωμεν, εἰπεῖν, ὅπως καταμάθωμεν οἵαν ἔντερα καὶ νεῦρα καὶ ξύλα καὶ ὀστᾶ λόγυ καὶ ἀριθμῦ μετασχόντα καὶ τάξεως, ἐμμέλειαν καὶ φωνὴν ἀφίησιν. Ἀλλὰ ταῦτα ἐάσας, ἡδέως ἂν αὐτῶν πυθοίμην εἰ κύνας καὶ ἵππυς καὶ ὄρνιθας οἰκυρὺς ὁρῶντες, ἔθει καὶ τροφῇ καὶ διδασκαλίᾳ

A. 4. συνῆλθε] Forte συνήδεται ut Reiſk.

non tantum judicio aſſentientes animi morſus et moleſtiam percipiunt, ſed et ipſum corpus opinione iſta exagitatum vomitus et alterationes cum nauſea conjunctæ invadunt. Ac vereor ne plane ad alliciendum in hanc ſententiam compoſita, audaciuſque adſcita orationi videar inſerere, ſi barbita commemorem, lyras, pectides, tibias, et quæcumque, Muſica fabricante, humanis affectionibus cum affabilitate et concentu tractandis accommodata inſtrumenta, licet animæ exſortia, tamen ſe animorum noſtrorum judiciis, utentiumque voluntatibus applicant, una lugentia, cantantia, laſcivientia. Et tamen ipſum Zenonem ferunt, cum cithara caneret Amœbeus, adſcendiſſe ad theatrum, ac dixiſſe diſcipulis: *Eamus, ut diſcamus qualem viſcera, nervi, ligna, et oſſa numero atque ordine inſtituta vocem ac ſubtilitatem habeant.* Verum iſtis omiſſis, audire ex ipſis velim, An cum videant canes et equos atque aves, domi educata animalia, adſuefactione, alimento, et doctrina eo redi-

φωνὰς τε συνετὰς καὶ πρὸς λόγον ὑπηκόους κινήσεις καὶ
σχέσεις ἀποδιδόντας, καὶ πράξεις τὸ μέτριον καὶ τὸ χρήσι-
μον ἡμῖν ἐχούσας, Ὁμήρου δ' ἀκούοντες τὸν Ἀχιλλέα
λέγοντος ὀτρύνειν ἵππους τε καὶ ἀνέρας ἐπὶ τὴν μάχην,
E ἔτι θαυμάζουσι καὶ διαποροῦσιν εἰ τὸ θυμούμενον ἐν ἡμῖν
καὶ ἐπιθυμοῦν καὶ λυπούμενον καὶ ἡδόμενον ὑπακούειν τε
τῷ φρονοῦντι καὶ πάσχειν ὑπ' αὐτοῦ καὶ συνδιατίθεσθαι
πέφυκεν, οὐκ ἀποικοῦν οὐδὲ ἀπεσχοινισμένον οὐδὲ πλασ-
C σόμενον ἔξωθεν, οὐδὲ τυπούμενον ἀνάγκαις τισὶν ἢ πλη-
γαῖς, ἀλλὰ φύσει μὲν ἐξηρτημένον, ἀεὶ δὲ ὁμιλοῦν καὶ
συντρεφόμενον καὶ ἀναπιμπλάμενον ὑπὸ συνηθείας. Διὸ
καὶ καλῶς ὠνόμασται τὸ ἦθος· ἔστι μὲν γὰρ, ὡς τύπῳ εἰπεῖν,
ποιότης τοῦ ἀλόγου τὸ ἦθος· ὠνόμασται δὲ ὅτι τὴν ποιό-
τητα ταύτην καὶ τὴν διαφορὰν ἔθει λαμβάνει τὸ ἄλο-
γον ὑπὸ τοῦ λόγου πλαττόμενον, οὐ βουλομένου τὸ πά-

B. 10. ἀπεσχοινισμένον] ἀπεσχισμένον B. Venet. 1. Jannot.

gi, ut voces edant ſenſum aliquem habentes, motibuſque, geſtibus, et actionibus ſe rationis juſſui parentes exhibeant, noſtriſque uſibus applicent: cumque Homeri Achillem audiant ad pugnam equos viroſque inſtruere: adhuc mirentur, et dubitent, ſi facultas animi noſtri qua iraſcimur, appetimus, gaudemus, dolemus, ea ſit natura, ut obedire menti, affici ab ea, eique conſentire poſſit; cum quidem iſta facultas non alibi habitet, non extra limites circumſcripta ſit, non foris vagetur, neque neceſſitate aut verberibus ſubigatur, ſed ab eadem dependeat natura, una verſetur, una educetur, impleaturque mentis conſuetudine. Itaque Moribus Græci nomen *ethos* fecerunt percommode; ſunt enim, ut deſcriptionem informem, Mores (de quibus nobis ſermo eſt) qualitas quædam in bruta animi parte, ac nomen inde habent, quod hanc ſive differentiam ſive qualitatem effecta a ratione pars bruta in ſe recipit conſuetudinis (quæ illis eſt *ethos*) interventu. Non enim ratio omnem prorſus evellere perturbationem animi conatur: cum ne-

θος ἐξαιρεῖν παντάπασιν (οὔτε γὰρ δυνατὸν, οὔτε ἄμεινον,) ἀλλὰ ὅρον τινὰ καὶ τάξιν ἐπιτιθέντος αὐτῷ, καὶ τὰς ἠθικὰς ἀρετὰς, οὐκ ἀπαθείας οὔσας ἀλλὰ συμμετρίας παθῶν καὶ μεσότητας, ἐμποιοῦντος· ἐμποιεῖ δὲ τῇ φρονήσει τὴν τοῦ παθητικοῦ δύναμιν εἰς ἕξιν ἀστείαν καθιστάς. Τρία γὰρ δὴ ταῦτά φασι περὶ τὴν ψυχὴν ὑπάρχειν, δύναμιν, πάθος, ἕξιν. Ἡ μὲν οὖν δύναμις, ἀρχὴ καὶ ὕλη τοῦ πάθους, οἷον ὀργιλότης, αἰσχυντηλία, θαρραλεότης· τὸ δὲ πάθος, κίνησίς τις ἤδη τῆς δυνάμεως, οἷον ὀργὴ, θάρσος, αἰδὼς, θράσος· ἡ δὲ ἕξις, ἰσχὺς καὶ κατασκευὴ τῆς περὶ τὸ ἄλογον δυνάμεως ἐξ ἔθους ἐγγινομένη, Κακία μὲν ἂν φαύλως, Ἀρετὴ δὲ ἂν καλῶς ὑπὸ τοῦ λόγου παιδαγωγηθῇ τὸ πάθος.

έ. Ἐπεὶ δὲ οὐ πᾶσαν Ἀρετὴν μεσότητα ποιοῦσιν οὐδὲ ἠθικὴν καλοῦσι, λεκτέον ἂν εἴη περὶ τῆς διαφορᾶς ἀρξαμένοις ἄνωθεν. Ἔστι τοίνυν τῶν πραγμάτων, τὰ μὲν ἁπλῶς

D. 5. θάρσος;] Delendum, quod et Reiſk. monuit.
D. 11. Ἔστι τοίνυν] Sic B. E. Venet. 2. Baſ. Xyl. Mez. Stobæus Serm. III. p. 39. Vulgo, ἔτι τοίνυν.

que fieri id poſſit, neque expediat: ſed finem ei, quendamque imponit ordinem, ingeneratque Virtutes Morales, quæ non ſint vacuitates motuum ſeu affectuum animi, ſed eorum mediocritates et concinnitates: ingenerat autem, prudentiæ opera facultatem iſtam mobilem in habitu probo conſtituens. Tria enim hæc aiunt eſſe in animo hominis, facultatem, perturbationem ſeu mobilem affectionem, habitum. Eſt autem facultas principium et materies talis qualem dixi perturbationis: ut ſunt iracundia, verecundia, confidentia. Ipſa perturbatio iſthæc, motus jam eſt facultatis, ut ira, ut confidentia, ut pudor. Habitus robur jam eſt et conformatio brutæ facultati conſuetudine parta: iſque aut Vitium, ubi male, aut Virtus eſt, ſi quidem probe condocefacti fuerint motus.

V. Porro autem, quando non omnem Virtutem mediocritatem faciunt, moralemve appellant: altius repetita re differendum hoc de diſcrimine videtur. Rerum aliæ pro ſe ipſæ ſunt, aliæ certa ratione ad

ἔχοντα, τὰ δὲ πῶς ἔχοντα πρὸς ἡμᾶς· ἁπλῶς μὲν οὖν ἔχοντα, γῆ, οὐρανός, ἄστρα, θάλασσα· πῶς δὲ ἔχοντα πρὸς ἡμᾶς, ἀγαθόν, κακόν· αἱρετόν, φευκτόν· ἡδύ, ἀλγεινόν· ἀμφοῖν δὲ τοῦ λόγου θεωρητικοῦ ὄντος, τὸ μὲν περὶ τὰ ἁπλῶς ἔχοντα μόνον, ἐπιστημονικὸν καὶ θεωρητικὸν ἐστὶ· τὸ δ' ἐν τοῖς πῶς ἔχουσι πρὸς ἡμᾶς, βουλευτικὸν καὶ πρακτικόν· ἀρετὴ δὲ τούτου μὲν ἡ φρόνησις, ἐκείνου δὲ ἡ σοφία. Διαφέρει δὲ σοφίας φρόνησις, ᾗ τοῦ θεωρητικοῦ πρὸς τὸ πρακτικὸν καὶ παθητικὸν ἐπιστροφῆς καὶ σχέσεώς τινος γενομένης ὑφίσταται κατὰ λόγον ἡ φρόνησις. Διὸ φρόνησις μὲν τύχης δεῖται· σοφία δὲ οὐ δεῖται πρὸς τὸ οἰκεῖον τέλος, οὐδὲ βουλῆς· ἔστι γὰρ περὶ τὰ ἀεὶ καὶ τὰ αὐτὰ ὡσαύτως ἔχοντα. Καὶ καθάπερ ὁ γεωμέτρης οὐ βουλεύεται περὶ τοῦ τριγώνου, εἰ δυοῖν ὀρθαῖς ἴσας ἔχει τὰς ἐντὸς

E. 1. ἁπλῶς] Hoc ter repoſui auctoritate Stobæi: vulgo omnes libri vitioſe habent ὅπως.

F. 5. περὶ τὰ ἀεὶ καὶ τὰ αὐτὰ ὡσαύτως ἔχοντα] Corrigendum περὶ τὰ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα.

nos referuntur. Pro ſe ipſæ ſunt, terra, cœlum, ſidera, mare. Ad nos certo modo reſpiciunt ſive referuntur, bonum, malum, expetendum, fugiendum, jucundum, moleſtum. Horum utrumque cum conſideret doctrina, ea quæ rebus duntaxat ſuo modo habentibus intenta eſt, contemplativa dicitur ac ſcientiis comprehenditur: quæ in certa conditione ad nos affectis, conſultrix eſt et actionibus deſtinata: hujus Virtus prudentia, illius ſapientia dicitur. Inter prudentiam ac ſapientiam hoc intereſt, quod ubi contemplatrix philoſophia ad activam et motus animi temperantem comparatur, rationi conſentaneum eſt ei prudentiam cedere. Nam prudentiæ fortuna opus eſt, quam, ut et conſultationem, ad ſuum finem ſapientia non deſiderat: verſatur enim in iis conſiderandis, quæ ſemper eodem ſunt modo. Atque ut geometra non deliberat de triangulo, an tres ejus anguli duos rectos æquent necne, quippe qui

χωνίας, ἀλλ' οἶδεν· αἱ γὰρ βουλαὶ περὶ τῶν ἄλλοτε ἄλλως ἐχόντων, οὐ περὶ τῶν βεβαίων καὶ ἀμεταπτώτων· ὥσπερ ὁ θεωρητικὸς νοῦς περὶ τὰ πρῶτα καὶ μόνιμα, καὶ μίαν ἀεὶ φύσιν ἔχοντα μὴ δεχομένην μεταβολάς, ἐνεργῶν, ἀπήλλακται τοῦ βουλεύεσθαι. Τὴν δὲ φρόνησιν εἰς πράγματα πλάνης μεστὰ καὶ ταραχῆς καθιεῖσαν, ἐπιμίγνυσθαι τοῖς τυχηροῖς πολλάκις ἀναγκαῖόν ἐστι, καὶ τῷ βουλευτικῷ χρῆσθαι περὶ τῶν ἀδηλοτέρων· τῷ δὲ πρακτικῷ τὸ βουλευθὲν ἐκδεχομένην ἐνεργεῖν ἤδη καὶ τοῦ ἀλόγου συμπαρόντος καὶ συνεφελκομένου ταῖς κρίσεσιν. Ὁρμῆς γὰρ δέονται· τὴν δὲ ὁρμὴν τῷ πάθει ποιεῖ τὸ ἦθος, λόγου δεομένην ὁρίζοντος ὅπως μετρία παρῇ, καὶ μήτε ὑπερβάλλῃ, μήτε ἐγκαταλείπῃ τὸν καιρόν. Τὸ γὰρ δὴ παθητικὸν καὶ ἄλογον κινήσεσι χρῆται, ταῖς μὲν, ἄγαν σφοδραῖς καὶ ὀξείαις· ταῖς δὲ, μαλακωτέραις ἢ προσῆκε καὶ ἀργοτέραις. Ὅθεν ἕκαστον ὧν πράττομεν ἀεί, μο-

certus ſit rem ita habere: conſilia enim ineuntur de rebus alias aliter habentibus, non de perpetuis et immutabilibus: ita contemplatrix veri mens, prima ſtabilia, unamque ſemper naturam ſervantia, nullam admittentia mutationem tractans, vacationem habet deliberandi. Prudentiam autem quæ ſe in res demittit plenas erroris atque tumultus, neceſſe eſt ſæpenumero cum fortuitis caſibus rem habere, et deliberatione uti de rebus incertioribus atque obſcurioribus: ac deinde conſilium agendo exequi, bruta etiam parte præſente et una ad judicandum tracta. Impetu enim appetitionis actiones indigent, quem Mores motu aliquo et affectione animi non perpetua incitant, rationis opus habentem opera, modum deſcribentis, ne vel nimius ſit, vel occaſionem et officium prodat. Nam ſubitis affectionibus obnoxia et bruta iſthæc animi facultas motibus cietur, nonnullis vehementioribus ac celerioribus, quibuſdam etiam remiſſioribus et quam conveniat ſegnioribus. Itaque ergo eorum quæ agimus unumquodque unico tantum modo

μὲν, κατορθοῦται, πλεοναχῶς δὲ, ἁμαρτάνει· τὸ κλεῖν τὸν σκοπὸν, ἕν ἐστι καὶ ἁπλοῦν· ἀστοχοῦσι δὲ τε ἄλλως, ὑπερβάλλοντες τὸ μέτριον ἢ παρα-πόντες. Τοῦτο οὖν τοῦ πρακτικοῦ λόγου κατὰ φύσιν ἐστὶ, τὸ ἐξαιρεῖν τὰς ἀμετρίας τῶν παθῶν καὶ πλημ-ας· ὅπου μὲν γὰρ ὑπὸ ἀῤῥωστίας καὶ μαλακίας ἢ καὶ ὄκνου προενδίδωσιν ἡ ὁρμὴ καὶ προαπολείπει τὸ ν, ἐνταῦθα πάρεστιν ἐξεγείρων καὶ ἀναῤῥιπίζων· ὅπου δὲ ν ἐκφέρεται ῥυεῖσα πολλὴ καὶ ἄτακτος, ἐκεῖ τὸ ὸν ἀφαιρεῖ καὶ ἵστησιν. Οὕτως δὲ ὁρίζων τὴν παθητι-κίνησιν, ἐμποιεῖ τὰς ἠθικὰς ἀρετὰς περὶ τὸ ἄλο-λλείψεως καὶ ὑπερβολῆς μεσότητας οὔσας. Οὐ γὰρ αν ἀρετὴν μεσότητι γίνεσθαι ῥητέον· ἀλλ' ἡ μὲν οσδεὴς τοῦ ἀλόγου καὶ περὶ τὸν εἰλικρινῆ καὶ ἀπαθῆ συνισταμένη σοφία καὶ φρόνησις, αὐτοτελής τις ἐστὶν

προενδίδωσιν] Sic Anon. T. V. Camerar. Xyl. Vulgo, προσενδίδωσιν.

confiſt, multipliciter er-n eo poteſt: ſicut ſco-attingere, unicum eſt et ex: ab eo autem varie endo deficiendoque ab-ur. Proinde hoc rationis ies ad præſcriptum na-dirigentis opus eſt, af-s animi ubi ultra citrave m ſe incitando ii pec-ad mediocritatem revo- Ubi enim ob imbecil-m, mollitiem, metum, aut lationem appetitionis im-remittit ac antequam niatur ad bonum propo-definit: ibi ratio adeſt excitans atque reſuſcitans. I-dem ſi quando nimius fertur atque incompoſitus, vehemen-tiam ejus ratio reprimit et co-hibet. Ad hunc modum ita-que ratio motus appetitionis definiens, Morales in hominis parte irrationali Virtutes gig-nit, quæ ſunt mediocritates inter nimium et parum. Ne-que enim dicendum eſt quam-vis Virtutem in mediocritate conſiſtere: cum ſapientia, ni-hil indigens brutæ partis, in-que ſincera mente et pertur-bationum vacua locum habens, rationis quædam ſit excellen-

ἀκρότης τοῦ λόγου καὶ δύναμις, ᾗ τὸ θειότατον ἐγγίνεται τῆς ἐπιστήμης καὶ μακαριώτατον· ἡ δὲ ἀναγκαία διὰ τὸ σῶμα, καὶ δεομένη τῆς παθητικῆς ὥσπερ ὀργανικῆς ὑπηρεσίας ἐπὶ τὸ πρακτικὸν, οὐκ οὖσα φθορὰ τοῦ ἀλόγου τῆς ψυχῆς οὐδὲ ἀναίρεσις, ἀλλὰ τάξις καὶ διακόσμησις, ἀκρότης μέν ἐστι τῇ δυνάμει καὶ τῇ ποιότητι, τῷ ποσῷ δὲ μεσότης γίνεται, τὸ ὑπερβάλλον ἐξαιροῦσα καὶ τὸ ἐλλεῖπον.

ϛʹ. Ἐπεὶ δὲ πολλαχῶς τὸ μέσον· καὶ γὰρ τὸ κεκραμένον, τῶν ἀκράτων μέσον, ὡς λευκοῦ καὶ μέλανος, τὸ φαιόν· καὶ τὸ περιέχον καὶ περιεχόμενον, τοῦ περιεχομένου καὶ περιέχοντος, ὡς τῶν δώδεκα καὶ τεττάρων τὰ ὀκτώ· καὶ τὸ μηδετέρου τῶν ἄκρων μετέχον, ὡς ἀγαθοῦ καὶ κακοῦ τὸ ἀδιάφορον· τούτων μὲν οὐδενὶ τῶν τρόπων ἡ Ἀρετὴ εἴη ἂν μεσότης. Οὔτε γὰρ μίγμα τῶν κακιῶν ἐστιν· οὔτ' ἐμπεριέχουσα τοὔλαττον, ἐμπεριέχεται τῷ πλεονάζοντι τοῦ προσήκοντος· οὔτε

D. 4. δεομένη τῆς παθητικῆς] Sic B. Vulgo, δεομένη διὰ τῆς παθητικῆς.

tia in ſe ipſa perfectionem habens: qua vi ſcientiam conſequimur, rem diviniſſimam atque beatiſſimam. Ea autem virtus quæ propter corpus neceſſaria nobis eſt, ejuſque gratia appetitus tanquam inſtrumenti miniſterio opus habet, non internecio brutæ partis animi, ſed ordinatio ac moderatio, facultate quidem ac qualitatis ſuæ ratione excellentia ipſa quoque eſt: quantitate autem mediocritas fit, quod nimium eſt auferens, et quod deeſt implens.

VI. Jam cum multis modis medium intelligatur: nam et contemperatum inter ſincera eſt medium, ut pullus color inter album et nigrum: et inter continens ac contentum, id quod et continet et continetur, ut octo inter duodecim et quatuor: et quod neutrius extremorum eſt particeps, ut inter bonum et malum ea quæ vocantur indifferentia: nullo horum modo virtus eſt medium. Nam neque mixtum aliquid e vitiis eſt: neque id quod non ſatis eſt continens, ab eo quod nimium eſt continetur: neque

ἤλλακται παντάπασι τῶν παθητικῶν ὁρμῶν, ἐν αἷς μᾶλλον καὶ τὸ ἧττόν ἐστι. Γίνεται δὲ μεσότης καὶ λέ- γ μάλιστα τῇ περὶ φθόγγους καὶ ἁρμονίας ὁμοίως· ἐκείνη γὰρ ἐμμελὴς οὖσα φωνὴ, καθάπερ ἡ νήτη καὶ ὑπά- της μὲν τὴν ὀξύτητα, τῆς δὲ τὴν βαρύτητα τὴν :ν διαπέφευγεν· αὕτη τε κίνησις οὖσα καὶ δύναμις ἰ τὸ ἄλογον, τὰς ἐκλύσεις καὶ τὰς ἐπιτάσεις καὶ ις τὸ μᾶλλον καὶ ἧττον ἐξαιρεῖ τῆς ὁρμῆς, εἰς τὸ μέ- ον καὶ ἀναμάρτητον καθιστᾶσα τῶν παθῶν ἕκαστον. πκα τὴν μὲν ἀνδρίαν μεσότητά φασιν εἶναι δειλίας θρασύτητος, ὧν ἡ μὲν, ἔλλειψις, ἡ δὲ, ὑπερβολὴ θυμοειδοῦς ἐστι· τὴν δὲ ἐλευθεριότητα, μικρολογίας ἀσωτίας· πρᾳότητα δὲ, ἀναλγησίας καὶ ὠμό- τος· αὐτήν τε σωφροσύνην καὶ δικαιοσύνην, τὴν περὶ τὰ συμβόλαια, μήτε πλέον νέμουσαν αὐτῇ προσήκοντος, μήτε ἔλαττον, τὴν δὲ εἰς τὸ μέσον

iino vacat perturbationi- et impetibus concupiſcen- in quibus plus minuſve io locum habet. Sed eſt turque mediocritas, max- quomodo in ſonis harmo- . ſpectatur. Sicut enim concinna eſt vox quæ me- id eſt media) dicitur netes iypates, (hoc eſt imæ et mæ,) illius acumini nimio, is gravitati interjecta: ita tus, cum ſit motus et fa- as circa brutam verſans næ partem, remiſſiones et ntiones, atque adeo id d ultra vel citra modum appetitionis auferens, u- numquemque animi motum ad mediocritatem rectitudinemque perducit. Jam primum fortitudinem medium faciunt inter timiditatem et audaciam, quarum in hac exſuperat, in illa deficit ea animi vis ob quam animoſi dicimur: ita liberalitatem inter ſordidam parcitatem ac prodigalitatem: manſuetudinem inter indolentiam et ſævitiam: ipſamque adeo temperantiam et juſtitiam, hanc quidem quæ in contractibus neque plus juſto tribuat, neque minus: illam quæ appetitus ſubinde in medium inter ſtuporem animi nullo

ἀπαθείας καὶ ἀναισθησίας καὶ ἀκολασίας αἱ τὰς ἐπιθυμίας καθιστᾶσιν. Ἐν ᾧ δὴ καὶ μάλιστα δοκεῖ B
τὸ ἄλογον τῆς πρὸς τὸ λογικὸν διαφορᾶς αὑτοῦ παρέχειν κατανόησιν, καὶ δεικνύειν τὸ πάθος, ὡς ἕτερόν τι κομιδῆ τοῦ λόγου ἐστίν. Οὐ γὰρ ἂν διέφερε σωφροσύνης ἐγκράτεια, καὶ ἀκολασίας ἀκρασία περὶ τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας, εἰ ταυτὸν ἦν τῆς ψυχῆς ὃ ἐπιθυμεῖν ὅ, τε κρίνειν πέφυκε. Νῦν δὲ σωφροσύνη μέν ἐστιν, οὗ τὸ παθητικὸν ὥσπερ εὐήνιον θρέμμα καὶ πρᾶον ὁ λογισμὸς ἡνιοχεῖ καὶ μεταχειρίζεται, περὶ τὰς ἐπιθυμίας χρώμενος ὑπείκοντι καὶ δεχομένῳ τῷ λογισμῷ καὶ κρατοῦντι τὴν ἐπιθυμίαν· ἐγκράτειαν δὲ οὐκ ἀλύπως ἄγει, οὐδὲ πειθομένην, ἀλλὰ πλαγίαν καὶ ἀντιτείνουσαν, οἷον C
ὑπὸ πληγῆς καὶ χαλινοῦ καταβιαζόμενος καὶ ἀνακρου-

A. 10. ἀπαθείας καὶ ἀναισθησίας] καὶ abeſt in Ald. Baſ. Xyl. B. E. Venet. 1. 3. P. Stephanus aſſumſit ex Jannot. Forte præſtat ἢ cum Xyl. Mez. Sed vel ſic, vitii quid ſubeſſe videtur.

B. 6. ὃ ἐπιθυμεῖν, ὅ, τε κρίνειν] Malim ᾧ ἐπιθυμεῖν, ᾧ τε κρίνειν.

B. 10. ὑπείκοντι—οὐδὲ πειθομένην] Sic B. E. Ven. 3. item Ven. 1. in ſecunda mutationis parte. Vulgo mendoſe, ὑπείκοντι· ἐγκράτεια δὲ ἐστι καὶ δεχομένῳ τῷ λογισμῷ καὶ κρατοῦντι τὴν ἐπιθυμίαν· ἄγει δὲ οὐκ ἀλύπως οὐδὲ πειθομένην. Ceterum τῷ λογισμῷ mutandum videtur in τῷ χαλινῷ.

ſenſu voluptatum affecti, et luxuriam profuſam dirigit. Atque hac quidem in re quam ultimo loco dixi, maxime ſe præbet ſentiendam differentia quæ inter brutam animi facultatem eſt et rationem, evidenſque fit plane diverſam a ratione eſſe rem perturbationes iſtas affectionesque animi vagas. Non enim a temperantia diſcerneremus continentiam, et ab intemperantia incontinentiam circa voluptates et cupiditates, ſi eadem eſſet animi vis qua appetimus, et qua judicamus. Nunc, ea dicitur temperantia, ubi concupiſcentem partem veluti placidum et obſequens pecus ratio gubernat atque tractat, ſibi in appetendo parentem et cupiditati imperantem: continentiam autem ducit ratio quidem, non tamen ſine moleſtia, aut ultro obtemperanti: ſed reluctantem et oblique incedentem verbere quaſi et fræno cogit at-

ἐστιν, ἀγῶνος ὢν ἐν ἑαυτῷ καὶ θορύβου μεστός· οἷον ὁ Πλάτων ἐξεικονίζει περὶ τὰ τῆς ψυχῆς ὑποζύγια, τοῦ χείρονος πρὸς τὸ βέλτιον ζυγομαχοῦντος ἅμα καὶ τὸν ἡνίοχον διαταράττοντος, ἀντέχειν ὀπίσω, καὶ κατατείνειν ὑπὸ σπουδῆς ἀναγκαζόμενον ἀεὶ μὴ βάλῃ φοίνικας ἐκ χειρῶν ἱμάντας, κατὰ Σιμωνίδην. Ὅθεν οὐδὲ Ἀρετὴν αὐτοτελῆ ἀξιοῦσι τὴν ἐγκράτειαν, ἀλλὰ ἔλαττόν τι ἀρετῆς εἶναι· μεσότης γὰρ οὐ γέγονεν ἐκ συμφωνίας τοῦ χείρονος πρὸς τὸ βέλτιον, οὐδὲ ἀνῄρηται τοῦ πάθους τὸ ὑπερ-
D βάλλον, οὐδὲ πειθόμενον οὐδὲ ὁμολογοῦν τῷ φρονοῦντι τῆς ψυχῆς τὸ ἐπιθυμοῦν, ἀλλὰ λυποῦν καὶ λυπούμενον καὶ κατειργόμενον ὑπ᾽ ἀνάγκης, ὥσπερ ἐν στάσει δυσμενὲς καὶ πολέμιον συνοικεῖ·

Πόλις δ᾽ ὁμοῦ μὲν θυμιαμάτων γέμει,
Ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων,

ἡ τοῦ ἐγκρατοῦς ψυχὴ διὰ τὴν ἀνωμαλίαν καὶ τὴν διαφοράν. Κατὰ ταὐτὰ δὲ οἴονται καὶ τὴν ἀκρασίαν

que compeſcit, animo certaminum ac turbarum pleno: quod ſimilitudine explicans Plato, jumenta animi ait inter ſe contendere, cum deterius meliori renitatur ſimul et aurigam perturbet, coactum ſumma ope habenas premere et ea inhibere, ne (quod eſt apud Simonidem) *punicea de manibus ei excidant lora.* Itaque etiam continentiam non dignantur perfectæ virtutis nomine, ſed minus aliquid virtute ſtatuunt eſſe: non enim facta eſt mediocritas conſenſu inferioris partis cum præſtantiore, neque amputatum eſt quod erat nimium affectionis, neque paret conſentitve rationi appetitus, ſed moleſtiam afferens viciſſimque moleſtiam percipiens, ac neceſſitate cohibitus veluti in ſeditione, inſenſus atque hoſtis intus habitat: denique continentis animus ob inæqualitatem et diſſidium eſt velut urbs illa,

Simul frequens referta quæ ſuffitibus,
Pæanibus ſimulque, gemitibuſque ſit.

Eandem ſecuti rationem incontinentiam quoque minus aliquid vitio eſſe cenſent: perfectum autem vitium intem-

ἔλαττόν τι κακίας ἐστὶ, παντελῆ δὲ κακίαν τὴν ἀκολασίαν. Αὕτη μὲν γὰρ ἔχουσα καὶ πάθος φαῦλον καὶ λόγον, ὑφ' οὗ μὲν ἐξάγεται τῷ ἐπιθυμεῖν πρὸς τὸ αἰσχρὸν, ὑφ' οὗ δὲ τῷ κακῶς κρίνειν προστιθεμένου ταῖς ἐπιθυμίαις, καὶ τὴν αἴσθησιν ἀποβάλλει τῶν ἁμαρτανομένων. Ἡ δὲ ἀκρασία τῷ μὲν λόγῳ σώζει τὴν κρίσιν ὀρθὴν οὖσαν, τῷ δὲ πάθει φέρεται παρὰ τὴν κρίσιν ἰσχύοντι τοῦ λόγου μᾶλλον· ὅθεν διαφέρει τῆς ἀκολασίας· ὅπου μὲν γὰρ ἡττᾶται τοῦ πάθους ὁ λογισμὸς, ὅπου δὲ οὐδὲ μάχεται· καὶ ὅπου μὲν ἀντιλέγων ἕπεται ταῖς ἐπιθυμίαις, ὅπου δὲ ὑφηγεῖται συναγορεύων· καὶ ὅπου μὲν ἡδομένῃ κοινωνεῖν ὑπάρχει τῶν ἁμαρτανομένων, ὅπου δὲ, ἀχθομένῳ· καὶ ὅπου μὲν ἑκὼν φέρεται πρὸς τὸ αἰσχρὸν, ὅπου δὲ προδίδωσιν ἄκων τὸ καλόν· ὡς τοῖς πραττομένοις ὑπ' αὐτῶν, οὐχ ἧττον δὲ καὶ τοῖς λεγομένοις ἔνεστιν ἡ διαφορὰ καταδήλος· ἀκολάστων μὲν γὰρ αἵδε φωναὶ,

Τίς δὲ χάρις, τί δὲ τερπνὸν ἄνευ χρυσῆς Ἀφροδίτης;
Τεθναίην ὅτε μοι μηκέτι ταῦτα μέλει.

D. 11. τῷ ἐπιθυμεῖν] Sic E. Venet. 1. P. Vulgo τὸ ἐπιθυμεῖν.

perantiam, in qua et affectus animi pravus eſt, et vitiata ratio: quorum ille appetitum ad turpia ducit, hæc male judicando turpibus cupiditatibus adſentitur, ſenſumque peccati perdit. At vero incontinentia rectum rationis judicium ſervat: ſed perturbationibus contra judicium movetur, majore quam ſit ratio vi præditis: itaque eo differt ab intemperantia, quod incontinentis vincitur ratio a perturbatione, intemperantis, ne pugnat quidem: illa cupiditates ſequitur, interim iis contradicens, hæc eas ducit conſentiens: hæc gaudet ſuis peccatis, illa ægre fert: hæc volens ac ſponte ad turpia fertur, illa invita honeſtatem prodit: ut et in verbis, et in factis manifeſta earum appareant diſcrimina. Intemperantium enim hæ ſunt voces:

Gratia quænam ſit ſine Cypride, quæve voluptas?
Hæc mihi cum curæ non erit, emoriar.

καὶ ἕτερος,

Τὸ φαγεῖν, τὸ πιεῖν, τὸ τῆς Ἀφροδίτης τυγχάνειν.
Τὰ δ᾽ ἄλλα προσθήκας ἅπαντ᾽ ἐγὼ καλῶ,

φησὶν, ὥσπερ ἐξ ὅλης τῆς ψυχῆς συνεπινεύων ταῖς ἡδοναῖς καὶ συμπεριφερόμενος· οὐχ ἧττον δὲ τούτων ὁ εἰπὼν,

Ἔα μ᾽ ἀπολέσθαι, τοῦτο γάρ μοι συμφέρει·

τὴν κρίσιν ἔχει τῷ πάθει συννοσοῦσαν. Αἱ δὲ τῆς ἀκρασίας ἕτεραι καὶ διαφέρουσαι,

Γνώμην ἔχοντά μ᾽ ἡ φύσις βιάζεται·

καὶ,

Αἶ αἶ, τὸ δὴ θεῖον ἀνθρώποις κακὸν,
Ὅταν τις εἰδῇ τἀγαθὸν, χρῆται δὲ μή·

καὶ,

Ἕλκει με γὰρ ἤδη θυμὸς οὐδέ τ᾽ ἀντέχει,
Θινῶδες ὡς ἄγκιστρον ἀγκύρας σάλῳ·

θινῶδες ἄγκιστρον οὐ φαύλως λέγων, τὸ μὴ κάτοχον τοῦ λογισμοῦ μηδὲ ἀραρὸς, ἀλλὰ μανότητι τῆς ψυχῆς καὶ μαλακίᾳ προϊέμενον τὴν κρίσιν· οὐ πόρρω δὲ τῆς εἰκόνος ταύτης κἀκεῖνα εἴρηται,

A. 8. τὸ δὴ θεῖον] Legendum τόδ᾽ ἤδη θεῖον. Valckenar. Diatrib. in Eurip. Fragm. p. 23. Mox Ἕλκει με, Leonic. Schott. Jannot. Anon. Mez. Vulgo Ἕλκει μὲν.

Item,

Veſci cibis, potareque, et Venere frui :
Namque additamenta omnia ſunt mihi cætera.

quippe hominis toto animo ad voluptates vergentis atque prolabentis: neque minus ille etiam, qui dicit,

Sine me perire, namque id eſt in rem meam :

tam judicio male affecto, quam vitioſa perturbatione. Alia ſunt incontinentium dicta:

At enim mihi natura, ſentienti recte, vim facit.

et alius :

Eheu, divinitus hoc malum mortalibus
Accidit, bonum ut videns, non utaris tamen :

et alius:

Impellit ira: nec porro reſiſtere
Litoreus ut uncus anchoræ queo fluctibus :

hamum anchoræ litoreum non inepte appellans rationem non pervicacem, neque conſtantem, ſed quæ ob vanitatem animi ac mollitiem judicium deſerit: neque ab hac ſimilitudine abludit iſthuc,

Ναῦς ὥς τις ἐκ μὲν γῆς ἀνήρτηται βρόχοις,
Πνεῖ δ' οὖρος, ἡμῖν δ' οὐ κρατεῖ τὰ πείσματα·

πείσματα γὰρ λέγει τὰς ἀντεχούσας κρίσεις πρὸς τὸ αἰσχρὸν, εἶτα ὥσπερ ὑπὸ πνεύματος πολλοῦ ῥηγνυμένας τοῦ πάθους. Τῷ γὰρ ὄντι πλησίστιος μὲν ἐπὶ τὰς ἡδονὰς ὁ ἀκόλαστος ὑπὸ τῶν ἐπιθυμιῶν φέρεται, καὶ δίδωσιν ἑαυτὸν καὶ συγκατευθύνει· πλάγιος δὲ ὁ ἀκρατὴς, οἷον ἐξαναφέρειν γλιχόμενος καὶ διωθεῖσθαι τὸ πάθος, ὑποσύρει καὶ περιπίπτει περὶ τὸ αἰσχρόν· ὡς Ἀνάξαρχον ἐσίλλαινε Τίμων,

Ἐν δὲ τὸ θαρσαλέον τε καὶ ἐμμενὲς ὅππη ὀρούσαι
Φαίνετ' Ἀναξάρχου κύνεον μένος· ὅ ῥα καὶ εἰδὼς, C
Ὡς φάσαν, ἄθλιος ἔσκε, φύσις δέ μιν ἔμπαλιν ἦγεν
Ἡδονοπλὴξ, ἣν πλεῖστοι ὑποτρείουσι σοφιστῶν.

οὔτε γὰρ ὁ σοφὸς, ἐγκρατὴς, ἀλλὰ σώφρων· οὔτε ὁ ἀμαθὴς, ἀκρατὴς, ἀλλὰ ἀκόλαστος· ὁ μὲν γὰρ ἥδεται ταῖς

B. 2. ὥς τις—ἀνήρτηται—οὐ κρατεῖ] Primum ſumſi ex Ald. Baſ. Xyl. P: ſecundum ex B. E. T. V. Leonic. Schott. Anon. Mez. tertium ex T. V. Mez. Vulgo, ὅςις—ἀνήρτηται—εὖ κρατεῖ.
B. 10. ὑποσύρει] Anon. ὑπεσύρη. Mez. ὑπεισρεῖ.
C. 4. ὁ σοφὸς, ἐγκρατὴς] Sic F. Venet. 3. margo B. P. Vulgo ὁ σοφὸς ἀκρατής.

Nam noſtra navis a terra rudentibus
Suſpenſa perſtat: ſpirat aura, ſed tamen
Hæremus noſtris firmiter retinaculis.

retinacula vocat judicium turpitudini repugnans: quæ aliquando a perturbatione, tanquam valido vento, rumpuntur. Revera enim plenis cupiditatum velis ad voluptates incitatur intemperans, deditque ſeipſum eo et dirigit: incontinens oblique, dum eniti conatur adverſus motum vitioſum, ſublabitur et in turpitudinem decidit: quo modo Anaxarchum in Sillis traducit Timo,

Hic et Anaxarchi vis illa canina videtur,
Se quocunque dediſſet, eo pertendere ſueta.
Is tamen, ut perhibent, miſere pruden ſque ſcienſque
Vixit: namque voluptates amplexa ſtupenſque
Natura (haud paucis ea formidata ſophiſtis)
Retrorſum ad vitium recto de tramite agebat.

Nam neque ſapiens qui ſit, continens eſt, ſed temperans: neque ſtultus incontinens eſt, ſed intemperans: et alter ho-

καλοῖς, ὁ δὲ οὐκ ἄχθεσθαι τοῖς αἰσχροῖς. Σοφιστικῆς οὖν ψυχῆς ἡ ἀκρασία, λόγον ἐχούσης οἷς ἔγνωκεν ὀρθῶς ἐμμένειν μὴ δυνάμενον.

ζ. Ἡ μὲν οὖν ἀκρασία ταύτας ἔχει διαφορὰς πρὸς τὴν ἀκολασίαν, ἡ δὲ ἐγκράτεια πρὸς τὴν σωφροσύνην αὖθις αὖ τὰς ἀντιστρόφους ἀναλόγως· τὸ γὰρ δάκνον καὶ τὸ λυποῦν καὶ τὸ ἀγανακτοῦν, οὔπω τὴν ἐγ-
D κράτειαν ἀπολέλοιπε· τῆς δὲ σώφρονος ψυχῆς τὸ πανταχόθεν ὁμαλὲς καὶ ἄσφυκτον καὶ ὑγιαῖνον ᾧ συνήρμοσται καὶ συγκέκραται τὸ ἄλογον πρὸς τὸν λογισμὸν εὐπειθείᾳ καὶ πρᾳότητι θαυμαστῇ κεκοσμημένον, εἴποις ἂν ἐπιβλέψας,

Δὴ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἡ δὲ γαλήνη
Ἔπλετο νηνεμίη, κοίμισσε δὲ κύματα δαίμων·

τὰ σφοδρὰ καὶ περιμανῆ καὶ οἰστρώδη κινήματα τῶν ἐπιθυμιῶν τοῦ λόγου κατασβέσαντος, ὧν δὲ ἡ φύσις

D. 2. ἄσφυκτον] Ita B. Venet. 1. T. V. P. Cod. Xyl. Vulgo, ἄφυκτον.
D. 7. κοίμισσε] Sic E. κοίμισε Ald. Baſ. Xyl. Ven. 1. Vulgo κοίμησε.

neſtis delectatur, alteri turpia non ſunt moleſta. Eſt itaque incontinentia animæ ſophiſticæ, tali ratione præditæ quæ in recte decretis perſtare non poſſit.

VII. Expoſuimus incontinentiæ et intemperantiæ diſcrimen. At continentia a temperantia differt rationibus proportione jam dictis et ab altera parte reſpondentibus. Morſus enim animi, et moleſtia, et indignatio nondum deſerit continentiam. At ſi temperantis animo undiquaque æquabili quietem et ſanitatem, qua bruta pars devincitur rationi ac contemperatur, mirabili exornata obedientia ac tranquillitate, intueri poſſes: utique diceres,

Tum venti poſuere, quies tranquilla per alta
Incubuit late, ſopivit cærula numen:

ita vehementes, furioſos, rabidoſque motus ratio exſtinxit, quæ vero a natura neceſſario requiruntur, hæc conſentien-

ἀναγκαίως δεῖται, ταῦτα ὁμοιοπαθῆ καὶ ὑπήκοα καὶ
φίλα καὶ συνεργὰ πεποιημένου ταῖς πρακτικαῖς προ-
αιρέσεσιν· ὥστε μὴ προεκθεῖν τοῦ λογισμοῦ, μηδὲ ὑπενδιδό-
ναι, μηδὲ ἀτακτεῖν, μηδὲ ἀπειθεῖν, ἀλλὰ πᾶσαν ὁρ- E
μὴν εὐάγωγον οὖσαν,

"Ἄθηλον ἵππῳ πῶλον ὡς ἅμα τρέχειν,

ἐπιβεβαιοῦσαν τὸν Ξενοκράτους λόγον, ὃν ἐκεῖνος εἶπε
περὶ τῶν ἀληθῶς φιλοσοφούντων, Ὅτι μόνοι ποιοῦσιν ἑκου-
σίως ἃ ποιοῦσιν ἄκοντες οἱ λοιποὶ, διὰ τὸν νόμον, ὥσπερ
ὑπὸ πληγῆς κύνες, ἢ γαλεοὶ ψόφῳ, τῶν ἡδονῶν ἀπο-
τρεπόμενοι, καὶ πρὸς τὸ δεινὸν ἀποβλέποντες. Ὅτι μὲν
οὖν γίνεταί τις ἐν τῇ ψυχῇ τοιαύτης στερρότητος αἴσθησις F
καὶ διαφορὰ περὶ τὰς ἐπιθυμίας, ὡς τινος μαχομένου καὶ
τἀναντία λέγοντος αὐταῖς, οὐκ ἄδηλόν ἐστιν. Ἔνιοι δὲ
φασιν οὐχ ἕτερον εἶναι τοῦ λόγου τὸ πάθος, οὐδὲ δυοῖν δια-
φορὰν καὶ στάσιν, ἀλλὰ ἑνὸς λόγου τροπὴν ἐπ' ἀμφότερα,

E. 7. κύνες, ἢ γαλεοὶ] Sumſi a Mcz. Vulgo κυνὲς ἢ γαλεοῦ. Illud et Reiſk. vidit.
F. 1. στερρότητος] Legendum ἑτερότητος.
F. 3. Ἔνιοι] Corrigendum videtur Ἐκεῖνοι, id eſt, Stoici.

tia, parentia, amica, et operam navantia redegit conſiliis propoſitiſque ad agendum ſuſceptis: ita ut nunquam rationem præcurrant, nunquam eam deſerant, nunquam inordinate ſe gerant, nunquam imperium detrectent: ita ut omnis appetitio dicto rationis audiens, eam ſubſequatur,

Lactens equum propter ceu pullus curſitat.

Atque hoc pacto Xenocratis illud confirmatur dictum, qui pronunciavit de vere philoſophantibus, Solos eos ultro facere ea quæ legibus coacti alii faciunt, tanquam canis morſu aut felis metu a voluptatibus deterriti, et ad periculum reſpicientes. Obſcurum vero non eſt, in animo hujuſmodi roboris et adverſus cupiditates quaſi concertationis atque contradictionis ſenſum percipi. Non deſunt tamen qui rationem, et eam quæ perturbationibus cietur partem negent eſſe res diverſas: neque in animo duarum facul-

λανθάνουσαν ἡμᾶς ὀξύτητι καὶ τάχει μεταβολῆς· οὐ συνορῶντας ὅτι ταὐτόν ἐστι τῆς ψυχῆς ὃ πέφυκεν ἐπιθυμεῖν καὶ μετανοεῖν, ὀργίζεσθαι καὶ δεδιέναι, φέρεσθαι πρὸς τὸ αἰσχρὸν ὑφ' ἡδονῆς, καὶ φερομένης πάλιν αὐτῆς ἐπιλαμβάνεσθαι· καὶ γὰρ ἐπιθυμίαν καὶ ὀργὴν καὶ φόβον καὶ τὰ τοιαῦτα πάντα, δόξας εἶναι καὶ κρίσεις πονηράς, οὐ περὶ ἕν τι γινομένας τῆς ψυχῆς μέρος, ἀλλὰ ὅλου τοῦ ἡγεμονικοῦ ῥοπὰς καὶ εἴξεις καὶ συγκαταθέσεις καὶ ὁρμάς, καὶ ὅλως ἐνεργείας τινὰς οὔσας ἐν ὀλίγῳ μεταπτωτάς, ὥσπερ αἱ τῶν παίδων ἐπιδρομαὶ τὸ ῥαγδαῖον καὶ τὸ σφοδρὸν ἐπισφαλὲς ὑπὸ ἀσθενείας καὶ ἀβέβαιον ἔχουσι. Ταῦτα δὲ πρῶτον μὲν παρὰ τὴν ἐνάργειάν ἐστι καὶ
B τὴν αἴσθησιν· οὐδεὶς γὰρ ἐν ἑαυτῷ τοῦ ἐπιθυμοῦντος αἰσθάνεται μεταβολὴν εἰς τὸ κρῖνον, οὐδὲ τοῦ κρίνοντος αὖ πάλιν εἰς τὸ ἐπιθυμοῦν· οὐδὲ παύεται μὲν ἐρῶν ὁπότε

A. 1. συνορῶντας] Sic Jannot. Amiot. Xyl. Reiſk. Vulgo συνορῶντες.
A. 2. ὃ πέφυκεν] Malim ᾧ πέφυκεν, ut E.
A. 12. ἐνάργειάν] Sic E. Venet. 2. T. P. Xyl. Vulgo, ἐνέργειαν.

tatum exſiſtere ſeditionem aut diſcordiam, ſed unius ejuſdemque rationis converſionem in utramque partem, quæ nos mutationis celeritate fallat: non animadvertentes eandem animi facultatem a natura factam eſſe ad concupiſcendum, iraſcendum et metuendum, voluptatis cauſa ad turpitudinem inclinandum, et rurſus iſtam incitationem inhibendum: nam et cupiditatem, et metum, et quæ id genus reliqua ſunt omnia, opiniones eſſe et ſententias pravas, non in una aliqua animæ parte obortas, ſed motus ac momenta totius principis animæ partis, aſſenſiones, atque impetus, denique actus quoſdam qui facillime alio recidant, ſicut puerorum impetus vehementiam imbecillitatis cauſa lubricam habent et inconſtantem. Horum ſententia primum evidentiæ ſenſuique non congruit. Nemo enim unquam ſenſit cupiditatem ſuam in judicium, aut judicium in cupiditatem commutari: neque deſinit amare is qui judicat reprimen-

λογίζεσθαι καθεκτέον εἶναι τὸν ἔρωτα, καὶ διαμαχητέον πρὸς αὐτόν, ἐξίστασθαι δὲ πάλιν τοῦ λογίζεσθαι καὶ κρίνειν ὅταν ἐνδιδῷ μαλασσόμενος ὑπὸ τῆς ἐπιθυμίας· ἀλλὰ καὶ τῷ λόγῳ πρὸς τὸ πάθος ἀντιβαίνων, ἐν τῷ πάθει ἐστὶν ἔτι, καὶ πάλιν κρατούμενος ὑπὸ τοῦ πάθους, διορᾷ τῷ λογισμῷ τὸ ἁμαρτανόμενον· καὶ οὔτε τῷ πάθει τὸν λόγον ἀνῄρηκεν, οὔτε τῷ λογίζεσθαι τοῦ πάθους ἀπήλλακται, φερόμενος δὲ ἑκατέρωσε, μέσος ἀμ- C φοῖν καὶ κοινός ἐστιν. Οἱ δὲ νῦν μὲν ἐπιθυμίαν γίνεσθαι τὸ ἡγεμονικόν, νῦν δὲ τὸν ἀντιταττόμενον τῇ ἐπιθυμίᾳ λογισμὸν ὑπολαμβάνοντες, οὐδὲν ἀπέχουσι τῶν μὴ δύο τὸν κυνηγὸν εἶναι καὶ τὸ θηρίον ὑπολαμβανόντων, ἀλλὰ ταὐτὸ σῶμα χρώμενον μεταβολῇ, νῦν μὲν εἶναι θηρίον, νῦν δὲ γίνεσθαι κυνηγόν. Ἐκεῖνοί τε γὰρ ἐμφανές τι παρορῶσιν, οὗτοί τε πρὸς τὴν αἴσθησιν ἀντιμαρτυροῦσιν, οὐχ ἑνός τινος μεταβολῆς, ἀλλὰ δυεῖν ἅμα, μάχης καὶ διαφορᾶς, ἐν ἑαυτοῖς αἰσθανόμενοι. Τί οὖν; φασίν, οὐ καὶ τὸ βουλόμενον τοῦ ἀνθρώπου πολλάκις

dum eſſe amorem, eique reluctandum: aut a ratiocinando et judicando tunc deſiſtit cum victus mollitie cupiditati herbam porrigit. Sed et tunc cum ratione affectui it obviam, perturbatio ipſum tentat: et rurſum ab hac ſuperatus, ratione peccatum diſpicit: et neque perturbationibus obnoxiam partem abolet, neque ratiocinando ab ea liberatur: ſed in utramque partem agitatus, medius communiſque amborum eſt. Qui autem modo principem partem in cupiditatem, modo cupiditatem in rationem converti opinantur: perinde faciunt, ac ſi venatorem et feram non duo, ſed unum putarent eſſe corpus, quod ſui mutatione jam venator, mox fera fieret. Nam et hic in re manifeſta cæcutirent, et iſthic contra ſenſum ferunt teſtimonium, cum non unius alicujus mutationem, ſed diſſidium ac pugnam in ſeipſis ſentiant. Objiciunt, Ipſam etiam noſtri animi eam vim

D διχοφορεῖ, καὶ πρὸς ἐναντίας ἀνθέλκεται δόξας, περὶ τοῦ συμφέροντος, ἀλλὰ ἕν ἐστι; Πάνυ μὲν οὖν, φήσομεν· ἀλλὰ τὸ συμβαῖνον οὐχ ὅμοιον· οὐ γὰρ μάχεται πρὸς ἑαυτὸ τῆς ψυχῆς τὸ φρονοῦν, ἀλλὰ μιᾷ χρώμενον δυνάμει διαφόρων ἐφάπτεται λογισμῶν, μᾶλλον δὲ εἷς λογισμός ἐστιν ἐν πράγμασι γινόμενος ἑτέροις, ὥσπερ ὕλαις διαφερούσαις. Ὅθεν οὔτε λύπη τοῖς ἄνευ πάθους λογισμοῖς ἔνεστιν οὔτε ὥσπερ ἐκβιαζόμενοι παρὰ γνώμην αἱροῦνται θάτερον, ἂν μὴ νὴ Δία λανθάνῃ πάθος τι προσηρτημένον ὥσπερ ἐπὶ ζυγοῦ. Καὶ γὰρ τοῦτο συμβαίνει
E πολλάκις οὐ λογισμοῦ τινος πρὸς λογισμόν, ἀλλὰ φιλοτιμίας ἢ φιλονεικίας ἢ χάριτος ἢ ζηλοτυπίας ἢ δέους ἀντιβαίνοντος, οἴεσθαι διὰ λόγων εἶναι δυεῖν διαφοράν· ὥσπερ ἐν τούτοις,

Αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι·

καί,

E. 3. διὰ λόγων] Forte, δὴ λόγων. Anon. habet τινα.

quæ conſultat, ſæpenumero in diverſas trahi ſententias de eo quod expediat, et momenta opinandi in utramque facere partem: cum quidem et ipſa ſit unica. Fatemur ſane: ſed ſimilitudo non congruit. Non enim ratio ſibi ipſi repugnat, ſed una eademque utens facultate diverſas tractat cogitationes: immo, una eſt ratio, diverſis in rebus tanquam materiis occupata. Itaque neque dolor ratiocinationibus quæ ſine affectu inſtituuntur ullus comitatur, neque tanquam vi compulſi contra animi ſententiam deflectimus in alteram partem; niſi ſicubi, tanquam in trutina, in altera lance affectio aliqua adverſus rationem appenſa examinetur. Hoc enim ſæpenumero contingit ut rationi non ratio, ſed ambitio, vel contendendi, gratiæ, obtrectationiſve ſtudium aut metus aliquis adverſetur, ac tum duæ ſibi invicem repugnare videantur rationes: cujus generis iſta ſunt,

Turpe recuſatu hoc fuit illis: et metuebant
Accipere oblatam interea quoque conditionem.

Item,

Τὸ μὲν σφαγῆναι δεινὸν, εὔκλειαν δ' ἔχει·
Τὸ μὴ θανεῖν δὲ, δειλὸν, ἡδονὴ δ' ἔνι.

Καὶ περὶ τὰς κρίσεις δὲ τῶν συμβολαίων ὑποτρέχοντα τὰ πάθη τὴν πλείστην ἐμποιεῖ διατριβήν· καὶ περὶ τὰ συμβούλια τῶν βασιλέων οἱ πρὸς χάριν λέγοντες οὐ δυεῖν κρίσεων τῇ ἑτέρᾳ συναγορεύουσιν, ἀλλὰ πάθει τινὶ F προστίθενται παρὰ τὸν τοῦ συμφέροντος λογισμόν· διὸ τοὺς ῥήτορας ἐν ταῖς ἀριστοκρατίαις οἱ ἄρχοντες οὐκ ἐῶσι παθαίνεσθαι. Ῥέπει γὰρ εὐθεῖαν ῥοπὴν ὁ ἀπαθὴς λογισμὸς ἐπὶ τὸ δίκαιον· ἂν δὲ πάθος ἐγγένηται, μάχην ποιεῖ καὶ διαφορὰν τὸ ἡδόμενον καὶ τὸ ἀλγοῦν πρὸς τὸ κρῖνον καὶ τὸ βουλευόμενον. Ἐπεὶ διὰ τί τοῖς ἐν φιλοσοφίᾳ σκέμμασιν οὐ πρόσεστι τὸ μετὰ λύπης ὑπὸ τῶν ἑτέρων ἄγεσθαι καὶ μετατίθεσθαι πολλάκις, ἀλλ' αὐτός τε Ἀριστοτέλης, 441 Δημόκριτός τε καὶ Χρύσιππος ἔνια τῶν πρόσθεν αὐτοῖς ἀρεσκόντων ἀθορύβως καὶ ἀδήκτως καὶ μεθ' ἡδονῆς ἀφεῖσαν; ὅτι τῷ θεωρητικῷ καὶ μαθηματικῷ τῆς

Miſerum trucidari eſt, ſed junctum gloriæ:
Subterfugere mortem timidi eſt, ſuave eſt tamen.

Sed et in diſceptandis contractibus animo motum adferentes affectus, plurimum injiciunt moræ. Et qui regibus conſulentes gratiam captant, non de duabus ſententiis alteri patrocinantur, ſed affectui alicui ſe accommodant contra utilitatis rationem: itaque optimatibus rempublicam adminiſtrantibus, non permittitur oratoribus ut in animis motus excitent. Quippe recto momento vacua perturbationis ratio ad juſtum inclinat, perturbatione oborta, pugna ac diſſidium inter partem voluptatis aut doloris capacem, et inter conſultantem judicantemque exſiſtit. Nam alias qui fit ut in philoſophiæ commentationibus abſque ullo dolore nos ab aliis patiamur duci, et a ſententia diſcedamus noſtra? ſicut cum ipſe Ariſtoteles, tum Democritus et Chryſippus nonnulla prius ſibi probata decreta, abſque tumultu doloreque et quidem libenter dimiſerunt? nimirum quia parti animi quæ in con-

ης, πάθος οὐδὲν ἀνθέστηκεν, ἀλλ' ἀτρεμεῖ καὶ οὐ πο-
ραγμονεῖ τὸ ἄλογον ἐν τούτοις· διὸ πρὸς τὸ ἀληθὲς
νομὸς, ὅταν φανῇ προϊέμενος τὸ ψεῦδος, ἀσμένως
λινεν· ἐν αὐτῷ γάρ ἐστιν οὐκ ἐν ἑτέρῳ τὸ πειθό-
ι καὶ μεταπειθόμενον. Αἱ δὲ πραγματικαὶ βου-
καὶ κρίσεις καὶ δίαιται τῶν πολλῶν ἐμπαθεῖς οὖσαι,
δίαν τῷ λόγῳ παρέχουσι καὶ δυσκολίαν, ἐνισχομένῳ
παραπτομένῳ περὶ τὸ ἄλογον, ἀντιαίρον αὐτῷ μεθ'
ις τινος, ἢ δέους, ἢ λύπης, ἢ ἐπιθυμίας. Καὶ τούτων
ήριον ἡ αἴσθησίς ἐστιν ἀμφοτέρων ἐφαπτομένη· καὶ τοῦ
θατέρου γένηται θάτερον, οὐκ ἀνῄρηκε θάτερον, ἀλλ' ἐφέλ-
καταβιαζόμενον καὶ ἀντιτεῖνον. Ὁ γὰρ νουθετῶν αὑ-
ρῶντα, χρῆται τῷ λογισμῷ πρὸς τὸ πάθος, ὡς
οτέρων ἐνόντων ἅμα τῇ ψυχῇ, καθάπερ χειρὶ, φλεγ-
ον ἕτερον μέρος πιέζων, καὶ δυεῖν ὄντων καὶ διαφερόντων
θανόμενος. Ἐν μέντοι ταῖς ἀπαθέσι βουλαῖς καὶ

lando ac ſcientiis tractan-
erſatur, nullus obnititur
tus: atque in hoc genere
ontinet, neque curioſius
fert bruta facultas: quo
t ratio verum conſpiciens,
omiſſo falſo perquam li-
r ſe conferat: eo quod
ipſa vim eam habet quæ
ſentiri et ſententiam mu-
acit. At quæ actionum
i ſuſcipiuntur conſultatio-
et judicia, et arbitria,
perturbationes his admiſ-
ır, rationi quandam adfe-
diſcrepantiam atque diffi-
tem: cui rationi nimirum
li re obſtat atque obtur-
bat bruta pars, voluptatem ei aliquam objiciens, aut metum, aut dolorem, aut cupiditatem. Judicium hac in diſputatione eſt penes ſenſum, qui utramque attingit partem: altera enim vincens, alteram non perimit, ſed affectatur vim moliens et renitens. Scilicet qui ſeipſum amore captum caſtigat, is ita ratione adverſus affectum utitur, ut utrumque in animo habens inſitum, duo inter ſe pugnare ſentiens, et eorum alterum tanquam inflammatione exagitatum injecta manu comprimens. Contra in illis deliberationibus,

ἔλαττόν τι κακίας ἐστί, παντελῆ δὲ κακίαν τὴν ἀκολασίαν. Αὕτη μὲν γὰρ ἔχουσα καὶ πάθος φαῦλον καὶ λόγον, ὑφ' οὗ μὲν ἐξάγεται τῷ ἐπιθυμεῖν πρὸς τὸ αἰσχρόν, ὑφ' οὗ δὲ τῷ κακῶς κρίνειν προστιθεμένου ταῖς ἐπιθυμίαις, E
καὶ τὴν αἴσθησιν ἀποβάλλει τῶν ἁμαρτανομένων. Ἡ δὲ ἀκρασία τῷ μὲν λόγῳ σώζει τὴν κρίσιν ὀρθὴν οὖσαν, τῷ δὲ πάθει φέρεται παρὰ τὴν κρίσιν ἰσχύοντι τοῦ λόγου μᾶλλον· ὅθεν διαφέρει τῆς ἀκολασίας· ὅπου μὲν γὰρ ἡττᾶται τοῦ πάθους ὁ λογισμός, ὅπου δὲ οὐδὲ μάχεται· καὶ ὅπου μὲν ἀντιλέγων ἕπεται ταῖς ἐπιθυμίαις, ὅπου δὲ ὑφηγεῖται συναγορεύων· καὶ ὅπου μὲν ἡδομένῳ κοινωνεῖν ὑπάρχει τῶν ἁμαρτανομένων, ὅπου δὲ, ἀχθομένῳ· καὶ ὅπου μὲν ἑκὼν φέρεται πρὸς τὸ αἰσχρόν, ὅπου F
δὲ προδίδωσιν ἄκων τὸ καλόν· ὡς τοῖς πραττομένοις ὑπ' αὐτῶν, οὐχ ἧττον δὲ καὶ τοῖς λεγομένοις ἔνεστιν ἡ διαφορὰ κατάδηλος· ἀκολάστων μὲν γὰρ αἵδε φωναί,

> Τίς δὲ χάρις, τί δὲ τερπνὸν ἄνευ χρυσῆς Ἀφροδίτης;
> Τεθναίην ὅτε μοι μηκέτι ταῦτα μέλει.

D. 11. τῷ ἐπιθυμεῖν] Sic E. Venet. 1. P. Vulgo τὸ ἐπιθυμεῖν.

perantiam, in qua et affectus animi pravus eſt, et vitiata ratio: quorum ille appetitum ad turpia ducit, hæc male judicando turpibus cupiditatibus adſentitur, ſenſumque peccati perdit. At vero incontinentia rectum rationis judicium ſervat: ſed perturbationibus contra judicium movetur, majore quam ſit ratio vi præditis: itaque eo differt ab intemperantia, quod incontinentis vincitur ratio a perturbatione, intemperantis, ne pugnat quidem: illa cupiditates ſequitur, interim iis contradicens, hæc eas ducit conſentiens: hæc gaudet ſuis peccatis, illa ægre fert: hæc volens ac ſponte ad turpia fertur, illa invita honeſtatem prodit: ut et in verbis, et in factis manifeſta earum appareant diſcrimina. Intemperantium enim hæ ſunt voces:

> *Gratia quænam ſit ſine Cypride, quæve voluptas?*
> *Hæc mihi cum curæ non erit, moriar.*

καὶ ἕτερος,

> Τὸ φαγεῖν, τὸ πιεῖν, τὸ τῆς Ἀφροδίτης τυγχάνειν.
> Τὰ δ' ἄλλα προσθήκας ἅπαντ' ἐγὼ καλῶ,

E φησὶν, ὥσπερ ἐξ ὅλης τῆς ψυχῆς συνεπινεύων ταῖς ἡδοναῖς καὶ συμπεριφερόμενος· οὐχ ἧττον δὲ τούτων ὁ εἰπὼν,

> Ἔα μ' ἀπολέσθαι, τοῦτο γάρ μοι συμφέρει·

τὴν κρίσιν ἔχει τῷ πάθει συννοσοῦσαν. Αἱ δὲ τῆς ἀκρασίας ἕτεραι καὶ διαφέρουσαι,

> Γνώμην ἔχοντά μ' ἡ φύσις βιάζεται·

καὶ,

> Αἶ αἶ, τὸ δὴ θεῖον ἀνθρώποις κακὸν,
> Ὅταν τὶς εἰδῇ τἀγαθὸν, χρῆται δὲ μή·

καὶ,

> Ἔλκει με γὰρ ἤδη θυμὸς οὐδέ τ' ἀντέχει,
> Θινώδης ὡς ἄγκιστρον ἀγκύρας σάλῳ·

θινώδης ἄγκιστρον οὐ φαύλως λέγων, τὸ μὴ κάτοχον τοῦ λογισμοῦ μηδὲ ἀραρὸς, ἀλλὰ μανότητι τῆς ψυχῆς καὶ μαλακίᾳ προϊέμενον τὴν κρίσιν· οὐ πόρρω δὲ τῆς εἰκόνος
F ταύτης κἀκεῖνα εἴρηται,

A. 8. τὸ δὴ θεῖον] Legendum τόδ' ἤδη θεῖον. Valckenar. Diatrib. in Eurip. Fragm. p. 23. Mox Ἔλκει με, Leonic. Schott. Jannot. Anon. Mez. Vulgo Ἔλκει μὲν.

Item,

> *Veſci cibis, potareque, et Venere frui :*
> *Namque additamenta omnia ſunt mibi cætera.*

quippe hominis toto animo ad voluptates vergentis atque prolabentis: neque minus ille etiam, qui dicit,

> *Sine me perire, namque id eſt in rem meam :*

tam judicio male affecto, quam vitioſa perturbatione. Alia ſunt incontinentium dicta:

> *At enim mibi natura, ſentienti recte, vim facit.*

et alius:

> *Eheu, divinitus hoc malum mortalibus*
> *Accidit, bonum ut videns, non utaris tamen :*

et alius:

> *Impellit ira: nec porro reſiſtere*
> *Litoreus ut uncus anchoræ queo fluctibus :*

hamum anchoræ litoreum non inepte appellans rationem non pervicacem, neque conſtantem, ſed quæ ob vanitatem animi ac mollitiem judicium deſerit: neque ab hac ſimilitudine abludit iſthuc,

Ναῦς ὥς τις ἐκ μὲν γῆς ἀνήρτηται βρόχοις,
Πνεῖ δ' οὖρος, ἡμῖν δ' οὐ κρατεῖ τὰ πείσματα·

πείσματα γὰρ λέγει τὰς ἀντεχούσας κρίσεις πρὸς τὸ αἰσχρὸν, εἶτα ὥσπερ ὑπὸ πνεύματος πολλοῦ ῥηγνυμένας τοῦ πάθους. Τῷ γὰρ ὄντι πλησιίστιος μὲν ἐπὶ τὰς ἡδονὰς ὁ ἀκόλαστος ὑπὸ τῶν ἐπιθυμιῶν φέρεται, καὶ δίδωσιν ἑαυτὸν καὶ συγκατευθύνει· πλάγιος δὲ ὁ ἀκρατὴς, οἷον ἐξαναφέρειν γλιχόμενος καὶ διωθεῖσθαι τὸ πάθος, ὑποσύρει καὶ περιπίπτει περὶ τὸ αἰσχρόν· ὡς Ἀνάξαρχον ἐσίλλαινε Τίμων,

Ἐν δὲ τὸ θαρσαλέον τε καὶ ἐμμενὲς ὅππη ὀρούσαι
Φαίνετ' Ἀναξάρχου κύνεον μένος· ὅ ῥα καὶ εἰδὼς, C
Ὡς φάσαν, ἄθλιος ἔσκε, φύσις δέ μιν ἔμπαλιν ἦγεν
Ἡδονοπλὴξ, ἣν πλεῖστοι ὑποτρείουσι σοφιστῶν.

οὔτε γὰρ ὁ σοφὸς, ἐγκρατὴς, ἀλλὰ σώφρων· οὔτε ὁ ἀμαθὴς, ἀκρατὴς, ἀλλὰ ἀκόλαστος· ὁ μὲν γὰρ ἥδεται ταῖς

B. 2. ὥς τις—ἀνήρτηται—οὐ κρατεῖ] Primum ſumſi ex Ald. Baſ. Xyl. P: ſecundum ex B. E. T. V. Leonic. Schott. Anon. Mez. tertium ex T. V. Mez. Vulgo, ὅστις—ἀνήρηται—εὖ κρατεῖ.
B. 10. ὑποσύρει] Anon. ὑπεσύρη. Mez. ὑπειστρεῖ.
C. 4. ὁ σοφὸς, ἐγκρατὴς] Sic F. Venet. 3. margo B. P. Vulgo ὁ σοφὸς ἀκρατής.

Nam noſtra navis a terra rudentibus
Suſpenſa perſtat: ſpirat aura, ſed tamen
Hæremus noſtris firmiter retinaculis.

retinacula vocat judicium turpitudini repugnans: quæ aliquando a perturbatione, tanquam valido vento, rumpuntur. Revera enim plenis cupiditatum velis ad voluptates incitatur intemperans, deditque ſeipſum eo et dirigit: incontinens oblique, dum eniti conatur adverſus motum vitioſum, ſublabitur et in turpitudinem decidit: quo modo Anaxarchum in Sillis traducit Timo,

Hic et Anaxarchi vis illa canina videtur,
Se quocunque dediſſet, eo pertendere ſueta.
Is tamen, ut perhibent, miſere prudenſque ſcienſque
Vixit: namque voluptates amplexa ſtupenſque
Natura (haud paucis ea formidata ſophiſtis)
Retrorſum ad vitium recto de tramite agebat.

Nam neque ſapiens qui ſit, continens eſt, ſed temperans: neque ſtultus incontinens eſt, ſed intemperans: et alter ho-

καλοῖς, ὁ δὲ οὐκ ἄχθεσθαι τοῖς αἰσχροῖς. Σοφιστικῆς οὖν ψυχῆς ἡ ἀκρασία, λόγον ἐχούσης οἷς ἔγνωκεν ὀρθῶς ἐμμένειν μὴ δυνάμενον.

ζ. Ἡ μὲν οὖν ἀκρασία ταύτας ἔχει διαφορὰς πρὸς τὴν ἀκολασίαν, ἡ δὲ ἐγκράτεια πρὸς τὴν σωφροσύνην αὖθις αὖ τὰς ἀντιστρόφους ἀναλόγως· τὸ γὰρ δάκνον καὶ τὸ λυποῦν καὶ τὸ ἀγανακτοῦν, οὔπω τὴν ἐγ-
D κράτειαν ἀπολέλοιπε· τῆς δὲ σώφρονος ψυχῆς τὸ πανταχόθεν ὁμαλὲς καὶ ἄσφυκτον καὶ ὑγιαῖνον ᾧ συνήρμοσται καὶ συγκέκραται τὸ ἄλογον πρὸς τὸν λογισμὸν εὐπειθείᾳ καὶ πρᾳότητι θαυμαστῇ κεκοσμημένον, εἴποις ἂν ἐπιβλέψας,

Δὴ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἡ δὲ γαλήνη
Ἔπλετο νηνεμίη, κοίμισσε δὲ κύματα δαίμων·

τὰ σφοδρὰ καὶ θερμὰ καὶ οἰστρώδη κινήματα τῶν ἐπιθυμιῶν τοῦ λόγου κατασβέσαντος, ὧν δὲ ἡ φύσις

D. 2. ἄσφυκτον] Ita B. Venet. 1. T. V. P. Cod. Xyl. Vulgo, ἄφυκτον.
D. 7. κοίμισσε] Sic E. κοίμισε Ald. Baſ. Xyl. Ven. 1. Vulgo κοίμησε.

neſtis delectatur, alteri turpia non ſunt moleſta. Eſt itaque incontinentia animæ ſophiſticæ, tali ratione præditæ quæ in recte decretis perſtare non poſſit.

VII. Expoſuimus incontinentiæ et intemperantiæ diſcrimen. At continentia a temperantia differt rationibus proportione jam dictis et ab altera parte reſpondentibus. Morſus enim animi, et moleſtia, et indignatio nondum deſerit continentiam. At ſi temperantis animo undiquaque æquabili quietem et ſanitatem, qua bruta pars devincitur rationi ac contemperatur, mirabili exornata obedientia ac tranquillitate, intueri poſſes: utique diceres,

Tum venti poſuere, quies tranquilla per alta
Incubuit late, ſopivit cærula numen:

ita vehementes, furioſos, rabidoſque motus ratio exſtinxit, quæ vero a natura neceſſario requiruntur, hæc conſentien-

ἀναγκαίως δεῖται, ταῦτα ὁμοιοπαθῆ καὶ ὑπήκοα καὶ
φίλα καὶ συνεργὰ πεποιημένη ταῖς πρακτικαῖς προ-
αιρέσεσιν· ὥστε μὴ προεκθεῖν τοῦ λογισμοῦ, μηδὲ ὑπενδιδό-
ναι, μηδὲ ἀτακτεῖν, μηδὲ ἀπειθεῖν, ἀλλὰ πᾶσαν ὁρ- E
μὴν εὐάγωγον οὖσαν,

Ἄθηλον ἵππῳ πῶλον ὡς ἅμα τρέχειν,

ἐπιβεβαιοῦσαν τὸν Ξενοκράτους λόγον, ὃν ἐκεῖνος εἶπε
περὶ τῶν ἀληθῶς φιλοσοφούντων, Ὅτι μόνοι ποιοῦσιν ἑκου-
σίως ἃ ποιοῦσιν ἄκοντες οἱ λοιποὶ, διὰ τὸν νόμον, ὥσπερ
ὑπὸ πληγῆς κύνες, ἢ γαλεοὶ ψόφῳ, τῶν ἡδονῶν ἀπο-
τρεπόμενοι, καὶ πρὸς τὸ δεινὸν ἀποβλέποντες. Ὅτι μὲν
οὖν γίνεταί τις ἐν τῇ ψυχῇ τοιαύτης ϛεῤῥότητος αἴσθησις F
τῆς λόγον ὀξέως δεχόμενον, καὶ συνιέντα τῶν παραγγελ-
λομένων ἕκαστον· ἀκούσασα δὲ, τῶν μὲν ἠρέμα καὶ πράως
λεγομένων καταφρονεῖ, πρὸς δὲ τοὺς ἐνισταμένους τρα-
χύτερον ἐρεθίζεται. Καὶ γὰρ ὑπερήφανος καὶ αὐθάδης
καὶ ὅλως ὑφ᾽ ἑτέρου ὁ θυμὸς δυσκίνητος ὢν, ὥσπερ ὀχυρὰ
τυραννὶς, ἐξ ἑαυτῆς ἔχειν ὀφείλει σύνοικον καὶ συγγενὲς
τὸ καταλῦον.

γ΄. Ἡ μὲν οὖν συνέχεια τῆς ὀργῆς, καὶ τὸ προσ-
κρούειν πολλάκις, ἕξιν ἐμποιεῖ πονηρὰν τῇ ψυχῇ, ἣν ὀρ-
γιλότητα καλοῦσιν, εἰς ἀκροχολίαν καὶ πικρίαν καὶ δυσ-
κολίαν τελευτῶσαν, ὅταν ἑλκώδης καὶ μικρόλυπος ὁ θυ-
μὸς γένηται καὶ φιλαίτιος ἀπὸ τῶν τυχόντων, ὡς σι- C

maxime oportet quæ adverſus iram faciunt, eminus e philoſophia deſumta in animum comportare; quippe non facile facultas dabitur ea inferendi, cum eorum uſum tempus poſtulabit. Non enim audit ob tumultum tunc anima quæ foris ſunt, niſi intus ſuam rationem habeat quaſi moderatorem, quæ celeriter accipiat et intelligat ſingulas exhortationes: ac ſi audiat etiam, placide dicta contemnit: aſperius ſi quis inſtet, irritatur. Etenim animus ſuperbus, contumax, omninoque ab alio difficulter ſe moveri ſinens, veluti munita tyrannis, neceſſe eſt ut in ſe habeat, domeſticumque ſit id, quo debet opprimi.

III. Proinde continentes iræ, et crebræ offenſæ, habitum animo ingenerant malum, qui iracundia dicitur, et in levitatem ſtomachandi, acerbitatem, moroſitatemque deſinit: quando exulceratus animus minimas ob res dolorem concipit, et quævis etiam vilia culpat, ab iis ferri inſtar

δήγματος λεπτὸς καὶ ἀσθενὴς ἀναχαρασσόμενος· ἡ δὲ παραχρῆμα ταῖς ὀργαῖς ἐνισταμένη καὶ πιέζουσα κρίσις, οὐ τὸ παρὸν ἰᾶται μόνον, ἀλλὰ καὶ πρὸς τὸ λοιπὸν εὔτονον ποιεῖ καὶ δυσπαθῆ τὴν ψυχήν. Ἐμοίγ' οὖν συνέβη δὶς ἢ τρὶς ἐνστάντι πρὸς ὀργὴν, τὸ τῶν Θηβαίων παθεῖν, οἳ τὸ πρῶτον ὠσάμενοι Λακεδαιμονίους ἀηττήτους εἶναι δοκοῦντας, οὐδεμίαν ὕστερον ἡττήθησαν ὑπ' αὐτῶν μάχην. Φρόνημα γὰρ ἔσχον ὡς κρατεῖν ἐστι τοῦ λογισμοῦ· ἑώρων δὲ οὐ μόνον
D ψυχροῦ κατασκεδαννυμένου λήγουσαν ὀργὴν, ὡς Ἀριστοτέλης ἱστόρησεν, ἀλλὰ καὶ φόβου προσαχθέντος ἀποσβεννυμένην· καὶ νὴ Δία χαρᾶς ἐπιγενομένης ἄφνω, καθ' Ὅμηρον, ἰάνθη καὶ διεχύθη πολλοῖς ὁ θυμός. Ὥστε μοι παρίσατο, μὴ παντελῶς ἀβοήθητον εἶναι τοῖς γε βουλομένοις τὸ πάθος. Οὐδὲ γὰρ ἀρχὰς ἔχει μεγάλας ἀεὶ καὶ ἰσχυρὰς, ἀλλὰ καὶ σκῶμμα καὶ παιδιὰ, καὶ τὸ γελάσαι τινὰ καὶ τὸ διανεῦσαι, καὶ πολλὰ τοιαῦτα, πολλοὺς εἰς ὀργὴν καθίστησιν· ὥσπερ ἡ Ἑλένη τὴν ἀδελφιδῆν προσαγορεύσασα,

tenuis atque mollis lancinatus. At judicium illico iras inhibens atque reprimens, non in præſentia tantum medetur, ſed in poſterum quoque firmum facit animum et affectionum ſecurum. Mihi quidem bis terve iram continenti id uſu venit quod olim Thebanis: qui cum primum Lacedæmonios ante invictos creditos pepuliſſent, nullo unquam deinde ab iis victi ſunt prœlio. Sic et ipſe fiduciam animo concepi, poſſe iram ratione ſuperari. Vidi autem non modo frigida affuſa iram ſedari, ut Ariſtoteles narravit, ſed et metu oblato exſtinctam, et ſubito etiam mehercle gaudio *delinitum*, ut eſt apud Homerum, multis pacatumque *animum*. Itaque in hanc veni ſententiam, iis qui operam navare velint, iram non eſſe incurabilem. Nam ne initia quidem ſemper habet magna ac valida: cum et dicterium, et jocus, et riſus, et nutus, et multa id genus alia multis iræ cauſa fuerint: ut Helena conſobrinam ſuam compellans,

Παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου, E

παρώξυνεν εἰπεῖν,

Ὀψέ γε φρονεῖς εὖ, τότε λιποῦσ᾽ αἰσχρῶς δόμους.

Καὶ τὸν Ἀλέξανδρον ὁ Καλλισθένης, εἰπὼν, τῆς μεγάλης κύλικος περιφερομένης, Οὐ βούλομαι πιὼν Ἀλεξάνδρου, Ἀσκληπιοῦ δεῖσθαι.

δ΄. Καθάπερ οὖν τὴν φλόγα θριξὶ λαγῴαις ἀναπτομένην καὶ θρυαλλίσι καὶ συρφετῷ, ῥᾴδιόν ἐστιν ἐπισχεῖν· ἐὰν δ᾽ ἐπιλάβηται τῶν στερεῶν καὶ βάθος ἐχόντων, ταχὺ διέφθειρε καὶ συνεῖλεν

Ὑψηλὸν ἡ βάσασα τεκτόνων πόνον,

ὥς φησιν Αἰσχύλος· οὕτως ὁ τῷ θυμῷ προσέχων, ἐν ἀρχῇ καὶ κατὰ μικρὸν ἔκ τινος λαλιᾶς καὶ βωμολοχίας συρφετώδους ὁρῶν καπνιῶντα καὶ διακαιόμενον, οὐ μεγάλης δεῖται F
πραγματείας, ἀλλὰ πολλάκις αὐτῷ τῷ σιωπῆσαι καὶ καταμελῆσαι κατέπαυσε. Καὶ γὰρ τὸ πῦρ ὁ μὴ παρέχων ὕλην, ἔσβεσε, καὶ ὀργὴν, ὁ μὴ θρέψας ἐν ἀρχῇ καὶ μὴ

E. 5. πιὼν Ἀλεξάνδρου] Sic A. monuit et reddidit Xyl. Vulgo, πιὼν, Ἀλέξανδρε.

Electra longo jane virgo tempore,

ita irritavit, ut ea reſponderet:

Sero ſapis, olim turpiter ædes deſerens.

et Alexandrum Calliſthenes, cum diceret magno circumlato calice, *Nolo poculo Alexandri hauſto Æſculapio opus habere.*

IV. Sicut ergo flammam pilis leporis, ellychnio, aut paleis accenſam facile eſt inhibere: ubi vero ſolidas ac craſſas res corripuit, celeriter abſumit

Sublime fabrorum ſe ſubjiciens opus,

ut ait Æſchylus: ita qui iram ab initio animadvertit, ſenſimque intelligit eam a ſermone aliquo aut promiſcua ſcurrilitate incenſam fumare, is non magno opus habet labore, ſed plerumque ipſo ſilentio et contemtu oppreſſit. Ut enim ignem exſtinguit qui materiam ei non ſuggerit: ita iram præcavet et arcet, qui eam initio

φυσήσας ἑαυτὸν, ἐφυλάξατο καὶ καθεῖλεν. Οὐκ ἤρεσκεν οὖν μοι, καίτοιπερ ἄλλα χρήσιμα λέγων καὶ παραινῶν ὁ Ἱερώνυμος, ἐν οἷς οὔ φησι γινομένης ἀλλὰ γεγενημένης καὶ οὔσης αἴσθησιν ὀργῆς εἶναι διὰ τὸ τάχος. Οὐδὲν γὰρ οὕτω τῶν παθῶν συλλεγόμενον καὶ διακινούμενον ἔχει τὴν γένεσιν ἐμφανῆ καὶ τὴν αὔξησιν. Ὡς δὴ καὶ Ὅμηρος ἐμπείρως διδάσκει, λυπηθέντα μὲν εὐθὺς ἐξαίφνης ποιῶν τὸν Ἀχιλλέα, τοῦ λόγου προσπεσόντος, ἐν οἷς λέγει,

Ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·

θυμούμενον δὲ βραδέως τὸν Ἀγαμέμνονα, καὶ διὰ λόγων πολλῶν ἐκκαιόμενον· οὓς εἴ τις ὑφεῖλεν αὐτῷ ἐν ἀρχῇ καὶ διεκώλυσεν, οὐκ ἂν ἔσχεν αὔξησιν ἡ διαφορὰ τηλικαύτην καὶ μέγεθος. Ὅθεν ὁ Σωκράτης ὁσάκις αἴσθοιτο κινουμένου τραχύτερον αὑτοῦ πρός τινα τῶν φίλων,

B Πρὸ κύματος ὥς τινα ποντίαν ἄκραν στελλόμενος,

ἐνεδίδου τε τῇ φωνῇ, καὶ διεμειδία τῷ προσώπῳ, καὶ τὸ

A. 6. αὐτῷ] Sumſi a Voſſ. pro vulgato αὐτῶν.

non alit, neque ſeſe inflat. Quare tametſi multa alia utiliter dixerit atque docuerit Hieronymus, mihi tamen hoc ejus dictum non probatur, quod *iræ non naſcentis, ſed jam natæ atque exſiſtentis, ait, ob celeritatem eſſe ſenſum.* Nam nulla animi perturbatio alia collecta et exagitata tam conſpicuum habet ortum atque incrementum. Atque hoc perite docuit Homerus, Achillem audito ſermone ſubito corripi dolore faciens:

Dixit: at hunc nubes circumdedit atra doloris:

lente autem iraſcentem Agamemnonem, ac multis verbis inflammatum: quæ ſi quis ab initio intercepiſſet, non in tantam magnitudinem excreviſſet jurgium. Itaque Socrates quoties ſentiret ſe vehementius commotum adverſus amicorum aliquem,

Ante fluctum ſubiens maritimum aliquod promontorium,

vocem remittere ſolebat, vultu renidere, et manſuetius obtu-

βλέμμα πρᾳότερον παρέχει, τῷ ῥέπειν ἐπὶ θάτερα καὶ πρὸς τοὐναντίον ἀντικινεῖσθαι τῷ πάθει διαφυλάττει ἑαυτὸν ἀπλῶτα καὶ ἀήττητον.

ε'. Ἔςι γάρ τις, ὦ ἑταῖρε, πρώτη καθάπερ τυράννου κατάλυσις τοῦ θυμοῦ, μὴ πείθεσθαι, μηδ' ὑπακούειν προστάττοντος αὐτοῦ μέγα βοᾶν καὶ δεινὸν βλέπειν, καὶ κόπτειν ἑαυτόν, ἀλλ' ἡσυχάζειν, καὶ μὴ συνεπιτείνειν, ὥσπερ νόσημα, ῥιπτασμῷ καὶ διαβοήσει τὸ πάθος. Αἱ μὲν γὰρ ἐρωτικαὶ πράξεις, οἷον ἐπικωμάσαι καὶ ᾆσαι καὶ στεφανῶσαι θύραν, ἔχουσιν ἁμωσγέπως κουφισμὸν οὐκ ἄχαριν οὐδὲ ἄμουσον,

Ἐλθὼν δ' οὐκ ἐβόησα, τίς ἢ τίνος, ἀλλ' ἐφίλησα
Τὴν φλιήν· εἰ τοῦτ' ἔστ' ἀδίκημ', ἀδικῶ·

αἵ τε τοῖς πενθοῦσιν ἐφέσεις τοῦ ἀποκλαῦσαι καὶ ἀποδύρεσθαι, πολύ τι τῆς λύπης ἅμα τῷ δακρύῳ συνεξάγουσιν· ὁ δὲ θυμὸς ἐκριπίζεται μᾶλλον οἷς πράττουσι καὶ λέγουσιν οἱ ἐν αὐτῷ καθεστῶτες. Ἀτρεμεῖν οὖν κράτιστον

C. 4. Τὴν φλιήν] *Limen:* elegans et vera lectio Salmaſii, confirmatur a Moſc. 1. manus ſecundæ. Locus eſt ex Callimachi Epigr. XLIV. ubi vulgo eſt τὴν ἰάρην.

eri: vergendo in diverſam partem, et contrarios perturbationi motus inſtituendo invictum ſe erectumque ſervans.

V. Eſt enim, amice, prima quædam excandeſcentiæ, tanquam tyranni, opprimendæ ratio, non parere, neque obtemperare ei jubenti vociferari, torvum tueri, cædere ſeipſum: ſed quieſcere, neque affectum, morbi in morem, intentiorem jactatione et clamore facere. Nam amatoriæ quidem actiones, ut comeſſatum ire, cantare, ſertis januam ornare, habent utcunque allevationem aliquam neque inelegantem neque rudem,

Nil clamans, quis vel cujus, veniam, oſcula amicæ
Fixi: ni licet hoc, flagitioſus ego:

et permiſſi in luctu fletus atque ejulatus, multum doloris una cum lachrymis educunt. Ira autem magis etiam accenditur iis quæ irati agunt ac dicunt. Ergo optimum eſt ut

ἢ φεύγειν καὶ ἀποκρύπτειν καὶ καθορμίζειν ἑαυτὸν εἰς ἡσυχίαν, ὥσπερ ἐπιληψίας ἀρχομένης συναισθανομένους, ἵνα μὴ πέσωμεν μᾶλλον δὲ ἐπιπέσωμεν· ἐπιπίπλομεν δέ γε τοῖς φίλοις μάλιστά τε καὶ πλειστάκις. Οὐ γὰρ πάντων ἐρῶμεν, οὐδὲ πᾶσι φθονοῦμεν, οὐδὲ πάντας φοβούμεθα. Θυμῷ δὲ ἄθικτον οὐδὲν, οὐδ' ἀνεπιχείρητον· ἀλλ' ὀργιζόμεθα καὶ πολεμίοις καὶ φίλοις, καὶ τέκνοις καὶ γονεῦσι, καὶ θεοῖς νὴ Δία, καὶ θηρίοις, καὶ ἀψύχοις σκεύεσιν· ὡς ὁ Θάμυρις,

Ῥηγνὺς χρυσόδετον κέρας,
Ῥηγνὺς ἁρμονίαν χορδοτόνου λύρας·

καὶ ὁ Πάνδαρος, αὐτῷ καταρώμενος εἰ μὴ τὰ τόξα καταπρήσειε

——— χερσὶ διακλάσσας.

Ὁ δὲ Ξέρξης καὶ τῇ θαλάττῃ στίγματα καὶ πληγὰς ἐνέβαλλε, καὶ πρὸς τὸ ὄρος ἐξέπεμπεν ἐπιστολάς, "Ἄθω δαιμόνιε "οὐρανομήκη, μὴ ποιεῖν ἐμοῖς ἔργοις λίθους μεγάλους καὶ

C. 11. ἐπιπίπλομεν δέ γε τοῖς φίλοις μάλιστά τε] Sic D. Vulgo ἐπιπίπλομεν δὲ τοῖς φίλοις μάλιστά γε. Steph. mendoſe ἐπιπίσλομεν: et hinc tres Gr. Latinæ. Omnes alii libri ἐπιπίπτομεν.

placide nos contineamus, aut fugiamus, occultemuſve nos, et in quietem tanquam portum confugiamus, ubi iræ quaſi morbi comitialis acceſſionem præſenſimus, ne cadamus, aut in alios potius incidamus. Incidimus autem potiſſimum et ſæpiſſime in amicos. Non enim omnes amamus, non omnibus invidemus, non omnes metuimus. Soli iræ nihil intactum, nihil inacceſſum eſt: iraſcimur et hoſtibus, et amicis, liberis, parentibus, atque adeo etiam diis, beſtiis, anima carentibus, inſtrumentis, ut Thamyris,

Auro illigatum cornu rumpens,
Rumpens harmoniam tendifidis lyræ.

et Pandarus ſeſe exſecrans, niſi arcum combureret

Confractum manibus—

Xerxes autem et mari ſtigmata ac verbera ingeſſit, et ad montem epiſtolam, miſit: *Atho divine, cælum tangens vertice, noli meis operibus lapides*

" δυσκατεργάστους· εἰ δὲ μή, τεμὼν ῥίψω σεαυτὸν εἰς " τὴν θάλασσαν." Πολλὰ γὰρ ἐστὶ τοῦ θυμοῦ φοβερά, πολλὰ δὲ καὶ γελοῖα· διὸ καὶ μισεῖται καὶ καταφρονεῖται μάλιστα τῶν παθῶν. Ἀμφότερα δὲ ἐσκέφθαι χρήσιμον.

ς΄. Ἐγὼ γ' οὖν, εἰ μὲν ὀρθῶς οὐκ οἶδα, ταύτην δὲ τὴν ἰατρείας ἀρχὴν ποιησάμενος, ὥσπερ οἱ Λάκωνες ἐν τοῖς εἵλωσι τὸ μεθύειν οἷόν ἐστι, κατεμάνθανον τὴν ὀργὴν ἐν ἑτέροις. Καὶ πρῶτον μὲν, ἥ φησιν Ἱπποκράτης χαλεπωτάτην εἶναι νόσον, ἐν ᾗ τοῦ νοσοῦντος ἀνομοιότατον αὐτῷ γίνεται τὸ πρόσωπον· οὕτως ὁρῶν ὑπ' ὀργῆς ἐξισταμένους μάλιστα καὶ μεταβάλλοντας ὄψιν, χρόαν, βάδισμα, φωνὴν, οἷον εἰκόνα τοῦ πάθους ἀπεματτόμην ἐμαυτῷ, πάνυ δυσχεραίνων εἰ φοβερὸς οὕτω καὶ παρακεκινηκὼς ὁρῶμαι ποτὲ τοῖς φίλοις καὶ τῇ γυναικὶ, καὶ τοῖς θυγατρίοις, οὐ μόνον ἰδεῖν ἄγριος καὶ ἀσυνήθης, ἀλλὰ καὶ φωνὴν ἀπηνῆ καὶ τραχεῖαν ἀφιείς· ὥσπερ ἐπι-

F. 7. ὥσπερ ἑτέροις] Forte, ὥσπερ ἑνίοις.

facere magnos et intractabiles: alioqui te exciſum in mare deturbabo. Sunt enim iræ multa terribilia, multa ridicula; itaque nullus animi motus perinde et in odio eſt et contemnitur. Expedit autem ambo iſthæc conſiderari.

VI. Ego itaque, neſcio an recte, medicinæ adverſus id malum hoc initium cepi, ut in aliis, quomodo Lacones in heilotibus ebrietatem, obſervarem iram, qualiſnam ea res eſſet. Ac principio, ſicut Hippocrates eum morbum periculoſiſſimum ait eſſe, in quo ægrotantis facies ſui diſſimillima fiat: ita ſentiens iratos maxime mutare faciem, colorem, inceſſum, vocem, veluti imaginem quandam ejus affectionis animo mihi conformavi, admodum indignam rem exiſtimans, ſi ita terribilis et abalienatus aliquando conſpicerer ab amicis et uxore et filiabus, non viſu modo ferus et inſolens, ſed et vocem edens immanem atque aſperam: ſi-

τοῖς τῶν συνήθων ἐνετύγχανον, οὐκ ἦθος, οὐ μορφὴν, οὐ λόγου χάριν, οὐ τὸ πιθανὸν καὶ προσηνὲς ἐν ὁμιλίᾳ δυναμένοις ὑπ᾽ ὀργῆς διαφυλάττειν. Γαΐῳ μὲν οὖν Γράκχῳ τῷ ῥήτορι, καὶ τὸν τρόπον ὄντι χαλεπῷ, καὶ περιπαθέστερον λέγοντι, διηρμοσμένον ἦν συρίγγιον, ᾧ τὴν φωνὴν οἱ ἁρμονικοὶ σχολὴν ἐπ᾽ ἀμφότερα διὰ τῶν τόνων ἄγουσι· καὶ τοῦτο ἔχων οἰκέτης αὐτοῦ λέγοντος ὄπισθεν ἑστὼς, ἐνεδίδου τόνον ἐπιεικῆ καὶ πρᾶον, ᾧ τὴν κραυγὴν ἀνεκαλεῖτο, καὶ τὸ τραχὺ καὶ τὸ θυμικὸν ἀφῄρει τῆς φωνῆς, ὥσπερ ὁ τῶν βουκόλων

——— κηρόπλαστος ὀτοβεῖ
Δόναξ ἀχέτας ὑπνοδόταν νόμον,

ἐπιθέλγων καὶ καθιστὰς τὴν ὀργὴν τοῦ ῥήτορος. Ἐμοὶ δὲ εἴτις ἐμμελὴς καὶ κομψὸς ἀκόλουθος ἦν, οὐκ ἂν ἠχθόμην αὐτοῦ προσφέροντος ἐπὶ ταῖς ὀργαῖς ἔσοπτρον, ὥσπερ ἐνίοις προσφέρουσι λουσαμένοις ἐπ᾽ οὐδενὶ χρησίμῳ· τὸ δὲ αὑτὸν ἰδεῖν παρὰ φύσιν ἔχοντα καὶ συντεταραγμένον,

A. 4. σχολὴν] Forte σχολῇ· vel σχέδην ut C. Canter. Nov. Lect. III. 25.
A. 9. κηρόπλαστος—νόμον] Diſtinxi a Plutarcheis, verſus Æſchyli Prom. 575.

cut ipſe in quoſdam familiarium incidiſſem, qui præ ira neque mores, neque formam, neque ſermonis elegantiam, neque in colloquio comitatem, ſervare poterant. Caio quidem Graccho oratori, qui et moribus eſſet auſterioribus, et in dicendo vehementior, fiſtula fuit concinnata, quali Muſici vocem paulatim in utramque partem per tonos deducunt: hanc eo orante ſervus tenens a tergo adſtabat, tonumque lenem ſuggerebat, itaque herum a vociferatione revocabat, aſperitatemque et iracundiam vocis auferebat: ita is iram dicentis demulcebat atque ſedabat,

Ut paſtoralis cera juncta fiſtula,
Quando ſoporiferos ſonitu ciet modos.

At mihi ſi quis elegans et ac curatus comitetur famulus, ægre non tulerim ſi mihi iraſcenti ſpeculum offerret, ſicut nonnullis, ubi laverint, nulla utilitate exhibetur. Etenim videre ſeipſum contra naturam affecto et conturbato vultu,

καὶ παιδιᾷ μέλει, ταῦτα δὲ χολῇ κέκραται· καὶ συμπότης μὲν ὁ σιωπῶν, ἐπαχθὴς τοῖς συνοῦσι καὶ φορτικός· ἐν ὀργῇ δὲ σεμνότερον οὐδὲν ἡσυχίας· ὡς ἡ Σαπφὼ παραινεῖ, Σκιδναμένης ἐν στήθεσιν ὀργῆς πεφυλάχθαι γλῶσσαν μαψυλάκταν.

η΄. Οὐ ταῦτα δὲ μόνον ἐπιλογίζεσθαι δίδωσι τὸ προσέχειν αὐτοῖς ἁλισκομένοις ὑπ' ὀργῆς, ἀλλὰ καὶ τὴν ἄλλην τοῦ θυμοῦ κατανοεῖν φύσιν, ὡς οὐκ εὐγενὴς οὐδὲ ἀνδρώδης οὐδὲ ἔχουσα φρόνημα καὶ μέγεθος ἐστιν, ἀλλὰ δοκεῖ τοῖς πολλοῖς τὸ ταρακτικὸν αὐτοῦ, πρακτικὸν, καὶ τὸ ἀπειλητικὸν, εὐθαρσὲς εἶναι, καὶ τὸ ἀπειθὲς, ἰσχυρόν· ἔνιοι δὲ καὶ τὴν ὠμότητα μεγαλουργίαν, καὶ τὸ δυσπαραίτητον εὐτονίαν, καὶ μισοπονηρίαν τὸ δύσκολον, οὐκ ὀρθῶς τίθενται· τὰ γὰρ ἔργα καὶ τὰ κινήματα καὶ τὰ σχήματα μικρότητα πολλὴν καὶ ἀσθένειαν κατηγορεῖ· οὐ μόνον ἐν 457

E. 9. ὡς ἡ Σαπφὼ παραινεῖ, Σκιδναμένης] Ita Xylander edidit ex vetere codice ſcripto: quocum conſentit codex item bonus et antiquus D. Vulgo, οὕτως οὐκ ἄμφω παραινεῖν δυναμένης—.

F. 2. αὐτοῖς] Sic D. Colleg. Nov. et Xyl. vertit. Vulgo, ἀεὶ τοῖς.

quæ veniunt, riſui et joco debentur, hæc felle mixta ſunt. Atque inter pocula qui tacet, moleſtus eſt compotoribus atque inſolens: in ira nihil magis decet quam quies, ut Sappho præcipit:

Ira cum pectus rapida occupavit,
Futiles linguæ jubeo cavere
Vana latratus jaculantis.—

VIII. Non hæc duntaxat monent ut ira capti noſmet attendamus, ſed et reliquam iræ naturam perſpiciendam proponunt, ſcilicet non eſſe eam ingenuam, non virilem, neque a magni elatione animi proficiſci. Videntur quidem pleriſque ejus tumultus efficacitatem, comminationes audaciam, contumacia vim habere; ſicut et crudelitatem nonnulli magnificentiæ, implacabilitatem conſtantiæ, moroſitatem odii malorum, nomine falſo afficiunt. Sed facta, motus, formæ iratorum magnam puſillanimitatem imbecillitatemque declarant: non tum mo-

οἷς παιδάρια σπαράττουσι, καὶ πρὸς γύναια διαπικραίνονται, καὶ κύνας καὶ ἵππους καὶ ἡμιόνους οἴονται δεῖν κολάζειν, ὡς Κτησιφῶν ὁ παγκρατιαστὴς ἀντιλακτίσαι τὴν ἡμίονον ἀξιῶν, ἀλλὰ καὶ περὶ τὰς τυραννικὰς μιαιφονίας τῷ πικρῷ τὸ μικρόψυχον αὐτῶν, καὶ τῷ δρῶντι τὸ πεπονθὸς ἐνορώμενον, ἔοικε τοῖς δήγμασι τῶν ἑρπετῶν, ὅταν διακαῆ καὶ περιώδυνα γένηται, τὴν φλεγμονὴν ἀναφερομένων σφόδρα τοῖς λελυπηκόσιν. Ὡς γὰρ οἴδημα μεγάλης ἐστὶν ἐν σαρκὶ πληγῆς πάθος, οὕτως ἐν ταῖς μαλακωτάταις ψυχαῖς ἡ πρὸς τὸ λυπῆσαι ἔνδοσις ἐκ-
B φέρει μείζονα θυμὸν ἀπὸ μείζονος ἀσθενείας. Διὸ καὶ γυναῖκες ἀνδρῶν ὀργιλώτεραι, καὶ νοσοῦντες ὑγιαινόντων, καὶ γέροντες ἀκμαζόντων, καὶ κακῶς πράττοντες εὐτυχούντων· ὀργιλώτατος γὰρ ὁ φιλάργυρος πρὸς τὸν οἰκονόμον, ὁ γαστρίμαργος πρὸς τὸν ὀψοποιόν, ὁ ζηλότυπος πρὸς τὸ γύναιον, ὁ κενόδοξος κακῶς ἀκούσας· χαλεπώτατοι δέ, ἄγαν φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν ἄνδρες ἢ στάσιν, ἄλγος

do, cum pueros laniant, acerbe cum mulieribus expoſtulant, caneſque, equos, et mulos putant puniendos, ut Cteſipho pancratiaſta mulam calce referiendam ſibi exiſtimans: ſed et in tyrannorum ſceleratis homicidiis in ſævitia animi humilitas, et in actionibus perpeſſiones eorum conſpectæ, morſus ſerpentum referunt, quæ inflammationis et doloris impatientia æſtum in ea, a quibus læſa ſunt, emittunt. Sicut enim tumor naſcitur in carne a magno ictu: ſic in molliſſimis animis ad lædendum facta inclinatio majorem excandeſcentiam a majore profert imbecillitate. Itaque et mulieres magis iracundæ ſunt quam viri, et ægroti quam ſani, et ſenes juvenibus, rebus adverſis utentes proſperam habentibus fortunam: maxime iraſcitur avarus diſpenſatori, gulæ deditus coquo, zelotypus uxori, ambitioſus male dicenti, omnium moroſiſſimi ſunt qui honores in civitatibus petunt, aut factionem, *dolorem*, ut ait Pinda-

ἐμφανές, κατὰ Πίνδαρον· ὅπως ἐκ τοῦ λυπουμένου μάλιστα τῆς ψυχῆς καὶ πάσχοντος ἀνίσταται μάλιστα δι᾽ ἀσθένειαν ὁ θυμός, οὐχὶ νεύροις, ὥς τις εἶπε, τῆς ψυχῆς ἐοικώς, ἀλλὰ ἐπιτάμασι καὶ σπάσμασιν ἐν ταῖς ἀμυντικαῖς ὁρμαῖς σφοδρότερον ἐξανισταμένης. C

θ΄. Τὰ μὲν οὖν φαῦλα παραδείγματα, τὴν θέαν οὐκ εὔχαριν, ἀλλ᾽ ἀναγκαίαν μόνην ἔχει· τοὺς δ᾽ ἠπίως καὶ λείως ὁμιλοῦντας ὀργαῖς, κάλλιστα μὲν ἀκούσματα, κάλλιστα δὲ θεάματα ποιούμενος, ἄρχομαι καταφρονεῖν τῶν λεγόντων,

Ἄνδρα ἠδίκησας, ἀνδρ᾽ ἀνεκτέον τόδε·

καί,

——βαῖνε λὰξ
Ἐπὶ τραχήλου, βαῖνε καὶ πέλα χθονί,

καὶ τἆλλα παροξυντικά, δι᾽ ὧν ἔνιοι τὸν θυμὸν ἐκ τῆς γυναικωνίτιδος εἰς τὴν ἀνδρωνῖτιν οὐκ εὖ μετοικίζουσιν. Ἡ μὲν ἀνδρία κατὰ τἆλλα τῇ δικαιοσύνῃ συμφερομένη, D

C. 9. ἀνδρ᾽ ἀνεκτέον τόδε·] Ita diſtinxi, re ipſa jubente: forte etiam corrigendum, ἀντανεκτέον, cum Mez. Vulgo, ἄνδρ᾽ ἀνεκτέον· Τὸ δὲ—.

rus, *manifeſtum.* Itaque ergo maxime paſſo aliquid et dolore affecto animo, ob ejus imbecillitatem exſurgit ira, non, quod quidam dixit, nervis animi ſimilis, ſed intentionibus et convulſionibus in ulciſcendis cupiditatibus vehementius ſe efferentis.

IX. Vitioſa porro exempla conſiderationem habebant non jucundam, ſed neceſſariam duntaxat: at eorum qui placide et leniter ſe geſſerunt adverſus iram, pulcherrimas voces, pulcherrima facta ad contemplandum proponens, ſperno eos qui dicunt,

Virum læſiſti, ſunt toleranda iſthæc viro:

et,

Pedibus preme cervicem, atque alliſe ſolo:

aliaque id genus ad irritandum facientia, quibus uſi nonnulli iram e muliebri conclavi perperam in virile traduxerunt. Enimvero fortitudo aliis in rebus optime cum juſ-

μόνης μοι δοκεῖ διαμάχεσθαι τῆς πρᾳότητος, ὡς ι μᾶλλον προσηκούσης. Ἀνθρώπων μὲν γὰρ κρα- ι, καὶ χείροσι βελτιόνων, ὑπῆρξε· τὸ δ' ἐν ψυχῇ ι κατὰ θυμοῦ τρόπαιον (ᾧ χαλεπὸν εἶναι) διαμάχεσθαι, ν Ἡράκλειτος, ὅ, τι γὰρ ἂν θέλῃς, ψυχῆς ὠνεῖ- μεγάλης ἐστὶ καὶ νικητικῆς ἰσχύος, ὥσπερ νεῦρα καὶ ; ἀληθῶς ἐπὶ τὰ πάθη τὰς κρίσεις ἐχούσης. Διὸ καὶ ιγειν ἀεὶ πειρῶμαι καὶ ἀναγινώσκειν οὐ ταῦτα δὴ μό- τὰ τῶν φιλοσόφων, οὕς φασι χολὴν οὐκ ἔχειν οἱ ἔχοντες, ἀλλὰ μᾶλλον τὰ τῶν βασιλέων καὶ τυ- ων. Οἷον Ἀντιγόνου τὸ πρὸς τοὺς στρατιώτας, ὅτι παρὰ τὴν σκηνὴν λοιδοροῦντας αὐτὸν ὡς οὐκ ντα, τὴν βακτηρίαν ὑποβαλὼν ἔξω, Παπαὶ, εἶ- οὐ πορρωτέρω ποι τραπόμενοι κακῶς ἐρεῖτε ἡμᾶς; αδίωνος δὲ τοῦ Ἀχαιοῦ τὸν Φίλιππον ἀεὶ κακῶς λέ- ς, καὶ φεύγειν παραινοῦντος

Εἰσόκε τοὺς ἀφίκηαι οἳ οὐκ ἴσασι Φίλιππον·

congruens, de ſola videtur certare manſuetudine, e- ıe ſibi vindicare. Ete- imperium in homines, n deterioribus in melio- ıbtigit: at in animo tro- n de ira ſtatuere (cui ıare difficile eſſe, Hera- s dixit; quod quidquid upiſcit, id anima pro pre- lata emit) magnæ eſt vic- ſque potentiæ, quæ, veluti is ac tendinibus, motus a- rectis judiciis dirigat. mobrem ſemper conor gere et legere non philo- ſophorum tantum iſta facta, quos recte ſentientes felle carere dicunt: ſed magis ea, quæ regum ſunt et tyrannorum. Quale eſt illud Antigoni, qui militibus ipſi prope ſuum tabernaculum tanquam non audienti maledicentibus, exſerto ſcipione, *Papæ*, inquit, *non longius hinc digreſſi nobis obloquemini?* Arcadio Achivus Philippum nunquam non inſectabatur verbis, aliiſque ſolebat dicere, fuge hinc,

Donec ad hos venias qui non novere Philippum:

εἶτά πως ἐν Μακεδονίᾳ φανέντος, ᾤοντο δεῖν οἱ φίλοι κολάσαι καὶ μὴ περιϊδεῖν· ὁ δὲ Φίλιππος ἐντυχὼν αὐτῷ φιλανθρώπως, καὶ ξένια καὶ δῶρα πέμψας, ἐκέλευσεν ὕστερον πυνθάνεσθαι τίνας λόγους ἀπαγγέλλοι πρὸς τοὺς Ἕλληνας· ὡς δὲ πάντες ἐμαρτύρουν, ἐπαινέτην αὐτοῦ γεγενέναι τὸν ἄνδρα θαυμάσιον, Ἐγὼ τοίνυν, ἔφη, βελτίων ἰατρὸς ὑμῶν. Ἐν Ὀλυμπίοις δὲ βλασφημίας περὶ αὐτοῦ γενομένης, καὶ τινων λεγόντων, ὡς οἰμῶξαι προσήκει τοὺς Ἕλληνας, ὅτι εὖ πάσχοντες ὑπὸ τοῦ Φιλίππου κακῶς αὐτὸν λέγουσι, Τί οὖν, ἔφη, ποιήσουσιν ἂν κακῶς πάσχωσι; Καλὰ δὲ καὶ Πεισιστράτου τὰ πρὸς Θρασύβουλον, καὶ Πορσήνα τὰ πρὸς Μούκιον, καὶ Μάγα τὰ πρὸς Φιλήμονα· δημοσίᾳ γὰρ ὑπ' αὐτοῦ κωμῳδηθεὶς ἐν θεάτρῳ,

Παρὰ τοῦ βασιλέως γράμματα ἥκει σοι Μάγα.
Μάγα κακόδαιμον γράμματα οὐκ ἐπίστασαι·

λαβὼν ὑπὸ χειμῶνος εἰς Παραιτόνιον ἐξενεχθέντα, στρατιώτῃ μὲν ἐκέλευσε γυμνῇ τῇ μαχαίρᾳ θιγεῖν τοῦ

hunc aliquando in Macedonia conſpectum cum amici non omittendum, ſed ſupplicio afficiendum dicerent, Philippus humane compellatum donis muneribuſque hoſpitalibus affecit: juſſit deinde inquirere, quos de ſe ille apud Græcos ſpargeret ſermones: omnibuſque teſtantibus mirabilem eum Philippi laudatorem factum, *Ego itaque*, inquit, *melior vobis ſum medicus.* Idem cum in feſtivitate Olympica dictum in ſe eſſet aliquid, et eſſent, qui Græcos debere infortunium habere cenſerent, quod a Philippo beneficiis acceptis male ei dicerent, *Quid ergo*, ait, *facient*, *ſi male ipſis fecero?* Præclare etiam Piſiſtratus ſe erga Thraſybulum, et Porſena adverſus Mucium geſſit. Magas a Philemone publice in theatro comica ſcurrilitate exagitatus his verbis erat:

A rege litteræ venient tibi Maga.
Infortunate litteras neſcis Maga.

hunc Philemonem Magas tempeſtate ad Parætonium ejectum cum cepiſſet, militi man-

τραχήλου μόνον, εἶτα κοσμίως ἀπελθεῖν· ἀστραγάλους δὲ καὶ σφαῖραν ὡς παιδαρίῳ νοῦν οὐκ ἔχοντι προσπέμψας ἀφῆκε. Πτολεμαῖος δὲ γραμματικὸν εἰς ἀμαθίαν ἐπισκώπτων, ἠρώτησε, Τίς ὁ τοῦ Πηλέως πατὴρ ἦν· κἀκεῖ-
B νος, Ἂν σὺ πρότερον εἴπῃς, ἔφη, τίς ὁ τοῦ Λάγου· τὸ δὲ σκῶμμα τῆς δυσγενείας ἥπτετο τοῦ βασιλέως, καὶ πάντες ἠγανάκτησαν ὡς οὐκ ἐπιτήδειον ὄντα φέρειν· καὶ ὁ Πτολεμαῖος, Εἰ μὴ τὸ φέρειν, ἔφη, σκωπτόμενον, οὐδὲ τὸ σκώπτειν βασιλικόν ἐστιν. Ἀλέξανδρος δὲ πικρότερος αὑτοῦ γέγονεν ἐν τοῖς περὶ Καλλισθένην καὶ Κλεῖτον· ᾗ καὶ Πῶρος ἁλοὺς, παρεκάλει χρήσασθαι βασιλικῶς αὐτῷ· καὶ πυθομένου μή τι πλέον, Ἐν τῷ βασιλικῶς, ἔφη, πάντα ἔνεστι. Διὸ καὶ τῶν θεῶν τὸν βασιλέα μειλίχιον, Ἀθηναῖοι δὲ μαιμάκτην, οἶμαι, καλοῦσι· τὸ δὲ
C κολαστικὸν, ἐριννυῶδες καὶ δαιμονικὸν, οὐ θεῖον δὲ οὐδὲ ὀλύμπιον.

davit ut ejus cervicem nudo gladio tantum attingeret, ac comiter diſcederet: miſit deinde pilam ei ac talos ut puerulo mentis inopi, ac dimiſit. Ptolemæus grammaticum ob inſcitiam ſubſannans, interrogabat, *Quis Pelei fuiſſet pater:* reſpondit ille, *Tu prius dic, quis Lagi fuerit pater:* id dicterium obſcuritatem generis regi exprobrabat, videbaturque indignantibus omnibus non eſſe impune ferendum: at Ptolemæus: *Si non regium eſt*, inquit, *ſalſe in ſe dicta ferre; ne ſalſe dicta quidem in alium jacere, regium eſt.* Alexander in Calliſthenem et Clitum fuit ſævior: itaque et Porus captus, petiit ut ab ipſo tractaretur *regaliter:* et interrogatus an præterea aliquid peteret, in *regali* tractatione omnia ineſſe reſpondit. Itaque etiam deorum regem Meilichium, (quaſi mitem et blandum,) Athenienſes Mæmacten, puto, vocant: at ſupplicia exigendi vim, non divinam, non cœleſtem, ſed furioſam ac dæmonicam nominant.

ι'. Ὥσπερ οὖν ἐπὶ τοῦ Φιλίππου τις εἶπε κατασκάψαντος Ὄλυνθον, Ἀλλ' οὐκ ἂν οἰκίσαι γε πόλιν ἐκεῖνος δύναιτο τηλικαύτην· οὕτως ἐστὶν εἰπεῖν πρὸς τὸν θυμὸν, Ἀνατρέψαι μὲν δύνασαι, καὶ διαφθεῖραι καὶ καταβαλεῖν, ἀναστῆσαι δὲ καὶ σῶσαι, καὶ φείσασθαι καὶ καρτερῆσαι, πρᾳότητός ἐστι καὶ συγγνώμης καὶ μετριοπαθείας, καὶ Καμίλλου καὶ Μετέλλου καὶ Ἀριστείδου, καὶ Σωκράτους· τὸ δ' ἐμφῦναι καὶ δακεῖν, μυρμηκώδους καὶ μυώδους. Οὐ μὴν ἀλλὰ καὶ πρὸς ἄμυναν ἅμα σκοπῶν, τὸν δ' ὀργῆς τρόπον ἄπρακτον εὑρίσκω τὰ πολλὰ, δήγμασι χειλῶν D καὶ πρίσεσιν ὀδόντων καὶ κεναῖς ἐπιδρομαῖς καὶ βλασφημίαις ἀπειλὰς ἀνοήτους ἐχούσαις καταναλισκόμενον, εἶτα ὥσπερ ἐν τοῖς δρόμοις τὰ παιδία, τῷ μὴ κρατεῖν ἑαυτῶν, προκαταπίπτοντα τοῦ τέλους ἐφ' ὃ σπεύδει γελοίως. Ὅθεν οὐ φαύλως ὁ Ῥόδιος πρὸς ὑπηρέτην τοῦ Ῥωμαίων στρατηγοῦ βοῶντα καὶ θρασυνόμενον, Οὐ μέλει

D. 5. ἐφ' ὃ] Sumſi a Voſſ. Moſc. 1. monuerat et Reiſk. Vulgo ἐφ' ᾧ.

X. Quo igitur modo de Philippo, cum is Olynthum excidiſſet, quidam dixit, *At certe tantam is urbem condere non poſſet:* ita etiam iræ dicere liceat, Evertere potes, perdere, dejicere: at erigere, ſervare, parcere, tolerare, manſuetudinis eſt, indulgentiæ, moderationis, et Camilli opus, Metelli, Ariſtidis, Socratis: inhærere autem et mordere, formicarum eſt et muſcarum. Verum enimvero re probe conſiderata, eam quæ ab ira dependet ulciſcendi ſui rationem invenio plerumque ineſſicacem, ut quæ fere in morſum labiorum, frendendum dentibus, vanas incurſiones, maledicta ſtultas habentia minas inſumatur, ac deinde ridicule ante quam ad finem ad quem feſtinabat perveniatur, ultro concidentem: ſicut pueris in curſu ob virium exilitatem uſu venit. Itaque non inepte Rhodius ille ad lictorem prætoris Romani clamantem et ferocientem, *Non cura*, inquit,

μοι τί σὺ λέγεις, ἀλλὰ τί οὗτος σιγῇ. Καὶ τὸν Νεοπτόλεμον ὁ Σοφοκλῆς καὶ τὸν Εὐρύπυλον ὁπλίσας, ἐκόμ-
E πασ' ἀλοιδόρητα, φησὶν, ἐῤῥηξάτην, ἐς κύκλα χαλκέων ὅπλων. Τὸν μὲν γὰρ σίδηρον ἔνιοι τῶν βαρβάρων φαρμάσσουσιν, ἡ δ' ἀνδρία χολῆς οὐ δεῖται· βέβαπται γὰρ ὑπὸ τοῦ λόγου· τὸ δὲ θυμικὸν καὶ μανικὸν, εὐπερίθραυστόν ἐστι καὶ σαθρόν. Ἀφαιροῦσι γοῦν αὐλοῖς τὸν θυμὸν οἱ Λακεδαιμόνιοι τῶν μαχομένων, καὶ Μούσαις πρὸ πολέμου θύουσιν, ὅπως ὁ λόγος ἐμμένῃ· καὶ τρεψάμενοι τοὺς πολεμίους, οὐ διώκουσιν, ἀλλ' ἀνακαλοῦνται τὸν θυμὸν, ὥσπερ τὰ σύμμετρα τῶν ἐγχειριδίων εὐανακόμιστον ὄντα καὶ ῥᾴδιον. Ὀργὴ δὲ μυρίους προανεῖλε τῆς ἀμύνης, ὡς
F Κῦρον καὶ Πελοπίδαν τὸν Θηβαῖον. Ἀγαθοκλῆς δὲ πράως ἔφερε λοιδορούμενος ὑπὸ τῶν πολιορκουμένων· καί τινος εἰπόντος, Κεραμεῦ, πόθεν ἀποδώσεις τοῖς ξένοις τὸν μισθόν; ἐπιγελάσας, Αἴκε ταύταν ἐξέλω. Καὶ τὸν Ἀντι-

D. 9. ἐκόμπασ'—ὅπλων] Nil præbent remedii codices. Salmaſius corrigebat— Ἐκόμπασ' ἀλοιδόρητ' ἐῤῥαξάτην—Ἐς κύκλα χαλκεῶν ὅπλων.

tu quid clames, ſed iſte quid taceat: et Sophocles Neoptolemum Eurypylumque armans, ait eos *ſine conviciis ſeſe jactaſſe.* Ferrum quidem nonnulli barbarorum veneno inficiunt, at fortitudini bile nihil opus eſt, rationem pro tinctura habenti: furioſi autem impetus iræ, putridi ſunt ac facile retunduntur. Itaque Lacedæmonii tibiarum cantu pugnantium animos iracundia ſolvunt, et ante pugnam Muſis ſacrificant, ut ratio ſibi conſtet: hoſteſque fuſos non perſequuntur, ſed revocant animum, inſtar pugionis modici facilem receptu. Ira innumeros peremit ante quam ſeſe ulciſcerentur: de quibus eſt etiam Cyrus, et Pelopidas Thebanus. Agathocles vero ab obſeſſis convicio impetitus, æquo animo tulit: et quodam dicente, *Figule, unde mercenariis perſolves ſtipendia?* reſpondit, *Ubi hanc urbem ce-*

γενον ἀπὸ τοῦ τείχους τινὲς εἰς ἀμορφίαν ἔσκωπτον· ὁ δὲ
πρὸς αὐτοὺς, Καὶ μὴν ἐδόκουν εὐπρόσωπος εἶναι· λαβὼν
δὲ τὴν πόλιν, ἐπίπρασκε τοὺς σκώπτοντας, μαρτυρό-
μενος ὅτι πρὸς τοὺς δεσπότας ἕξει τὸν λόγον, ἂν πάλιν
αὐτὸν λοιδορῶσιν. Ὁρῶ δὲ καὶ κυνηγοὺς σφαλλομένους ὑπ'
ὀργῆς μεγάλα, καὶ ῥήτορας. Ἀριστοτέλης δὲ ἱστορεῖ Σατύ-
ρου τοὺς φίλους ἐμφράξαι τὰ ὦτα κηρῷ δίκην ἔχοντος, 49
ὅπως μὴ συγχέῃ τὸ πρᾶγμα διὰ θυμὸν, ὑπὸ τῶν
ἐχθρῶν λοιδορούμενος. Αὐτοὺς δὲ ἡμᾶς οὐ πολλάκις ἐκ-
φεύγει τὸ κολάσαι πλημμελήσαντα δοῦλον; ἀποδι-
δράσκουσι γὰρ τὰς ἀπειλὰς καὶ τοὺς λόγους δείσαντες. Ὅπερ
οὖν αἱ τίτθαι πρὸς τὰ παιδία λέγουσι, Μὴ κλαῖε, καὶ
λήψῃ· τοῦτο πρὸς τὸν θυμὸν οὐκ ἀχρήστως λεκτέον, Μὴ
σπεῦδε, μηδὲ βόα, μηδὲ ἐπείγου, καὶ μᾶλλον ἃ θέλεις
γενήσεται καὶ βέλτιον. Καὶ γὰρ παῖδα πατὴρ ἰδὼν ἐπι-
χειροῦντά τι σιδηρίῳ διελεῖν ἢ τεμεῖν, αὐτὸς λαβὼν τὸ σι-
δήριον ἐποίησε· καὶ ὁ θυμοῦ τὴν τιμωρίαν παρελόμενος, αὐτὸς

pera. Antigonus quoque de muro quibuſdam ei deformitatem exprobrantibus, *Atqui*, inquit, *videbar mihi facie eſſe honeſta:* capta deinde urbe, irriſores iſtos vendidit, proteſtatus ſi denuo conviciarentur, apud dominos ipſorum ſe acturum. Video autem et venatores et oratores per iram graviter lapſos. Ariſtoteles ait, Satyro amicos cauſam in judicio dicturo aures cera obturaſſe, ne, inimicorum irritatus maledictis, ob animi fervorem a propoſito dilaberetur. Quid? nonne nobis ipſis ſæpe evenit ut ſervus delinquens non det pœnas? aufugiunt enim minarum et verborum ob metum. Quod ergo nutrices pueris dicunt, Si non plores, accipies: id non incommode animo efferveſcenti dicemus, Noli feſtinare, non clama, non urge, eo magis et rectius fiet quod volebas. Etenim puerum pater videns aliquid ferro conantem dividere aut ſcindere, ipſe ferro accepto id facit: et iræ vindictam aliquis adimens, ipſe tuto et ſine

B ἀσφαλῶς καὶ ἀβλαβῶς καὶ ὠφελίμως ἐκόλασε τὸν ἄξιον, οὐχ ἑαυτὸν, ὥσπερ ὁ θυμὸς ἀντ' ἐκείνου πολλάκις.

ια'. Πάντων δὲ τῶν παθῶν ἐθισμοῦ δεομένων, οἷον δαμάζοντος καὶ καταθλοῦντος ἀσκήσει τὸ ἄλογον καὶ δυσπειθὲς, οὐ πρὸς ἄλλο μᾶλλον ἐστὶν ἐγγυμνάσασθαι τοῖς οἰκέταις ἢ πρὸς τὸν θυμόν. Οὔτε γὰρ φθόνος, οὔτε φόβος, οὔτε φιλοτιμία τις ἐγγίνεται πρὸς αὐτούς· ὀργαὶ δὲ συνεχεῖς πολλὰ ποιοῦσαι προσκρούσματα καὶ σφάλματα, διὰ τὴν ἐξουσίαν, ὥσπερ ἐν ὀλισθηρῷ χωρίῳ, μηδενὸς ἐνισταμένου μηδὲ κωλύοντος, ὑποφέρουσαι. Οὐ γάρ ἐστιν ἀναμάρτητον ἐν πάθει τὸ ἀνυπεύθυνον κατασχεῖν, C μὴ πολλῇ τὴν ἐξουσίαν ἐμπεριλαβόντα πρᾳότητι, μηδὲ πολλὰς ὑπομείναντα φωνὰς γυναικὸς, καὶ φίλων ἐγκαλούντων ἀτονίαν καὶ ῥαθυμίαν. Οἷς μάλιστα παρωξυνόμην καὶ αὐτὸς ἐπὶ τοὺς οἰκέτας, ὡς τῷ μὴ κολά-

B. 8. δὲ συνεχεῖς] Ita Xyl. Moſc. 2. Colleg. Nov. Ceteri, δὲ καὶ συνεχεῖς.
C. 1. πολλῇ] Sumſi ex Voſſ. Mes. Monuit et Reiſk. Vulgo, πολλήν.

damno atque utiliter ſupplicium digno intulit, non ſibi ipſi, ut ira ſæpenumero facit.

XI. Jam cum omnes affectus aſſuefactionem deſiderent, qua bruta et contumax animi facultas dometur, rationique ſubjiciatur, erga ſervos nullus alius exercitationem præbet affectus perinde atque ira. Non enim invidemus ſervis, non metuimus eos, neque contentionem de honore cum iis ſuſcipimus: iræ, et quidem continentes oboriuntur, et multis delictis atque offenſis cauſam præbent nos in poteſtate, tanquam lubrico loco, conſtitutos, ideoque, obſtantem aut prohibente neminem habentes, labefactant. Non enim libertas nulli cognitioni aut pœnæ ſubjecta abſtineri a peccando poteſt, niſi quis magna eam muniat manſuetudine, multaſque poſſit perferre voces mulieris et amicorum mollitiem et ſocordiam vitio dantium: quibus ego etiam vocibus maxime irritatus adverſum ſervos fui, tanquam impunitate deterio-

ζέσθαι διαφθειρομένους. Ὀψὲ μέντοι συνεῖδον ὅτι πρῶτον μὲν ἐκείνους ἀνεξικακίᾳ χείρονας ποιεῖν βέλτιόν ἐστιν, ἢ πικρίᾳ καὶ θυμῷ διαστρέφειν ἑαυτὸν εἰς ἑτέρων ἐπανόρθωσιν· ἔπειτα πολλοὺς ὁρῶν αὐτῷ τῷ μὴ κολάζεσθαι πολλάκις αἰδουμένους κακοὺς εἶναι, καὶ μεταβολῆς ἀρχὴν, οὐ τὴν συγγνώμην μᾶλλον ἢ τὴν τιμωρίαν λαμβάνοντας, καὶ νὴ Δία δουλεύοντας ἑτέροις ἀπὸ νεύματος καὶ σιωπῆς προθυμότερον, ἢ μετὰ πληγῶν καὶ μαστιγμάτων ἑτέροις, ἐπυθόμην ἡγεμονικώτερον εἶναι τοῦ θυμοῦ τὸν λογισμόν. Οὐ γὰρ, ὡς ὁ ποιητὴς εἶπεν, D

—— ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς·

ἀλλὰ τοὐναντίον, αἰδουμένοις ὁ σωφρονίζων ἐγγίνεται φόβος· ἡ δὲ συνεχὴς πληγὴ καὶ ἀπαραίτητος οὐ μετάνοιαν ἐμποιεῖ τοῦ κακουργεῖν, ἀλλὰ τοῦ λανθάνειν πρόνοιαν μᾶλλον. Τρίτον, ἀεὶ μνημονεύων καὶ διανοούμενος πρὸς ἐμαυτὸν, ὡς οὔτε ὁ τοξεύειν ἡμᾶς διδάξας ἐκώλυσε βάλλειν, ἀλλὰ μὴ διαμαρτάνειν, οὔτε τῷ κολά-

D. 1. καὶ σιωπῆς] Sic D. Ceteri σιωπῇ καί.

res futuros. Sero tamen hoc primum perſpexi, præſtare eos indulgentia pejores fieri quam ſævitia et furore aliorum corrigendorum cauſa meipſum perverti. Secundo hoc etiam videns, multos impunitate eo adduci, ut mali eſſe vereantur, et mutandorum morum initium veniam potius quam pœnam iis præbuiſſe: aliiſque eos tacite ad nutum promtius quam aliis verberantibus et flagellantibus ſervire; perſuaſi mihi, ad imperandum plus conducere rationem ira. Non enim, ut poëta dixit,

——*Ubi ſit timor, hic pudor exſtat:*

ſed contra, verecundia affectis innaſcitur modeſtiæ magiſter metus. Tertio identidem memoria revolvens atque cogitans, neque eum qui ſagittas jacere nos docuit, prohibuiſſe jacere, ſed non aberrare: igitur neque punitionem impe-

ζειν ἐμποδὼν ἔστι τὸ διδάσκειν εὐκαίρως τοῦτο ποιεῖν,
E καὶ μετρίως καὶ ὠφελίμως καὶ πρεπόντως· πειρῶμαι τὴν ὀργὴν ἀφαιρεῖν μάλιστα τῷ μὴ παραιρεῖσθαι τῶν κολαζομένων τὴν δικαιολογίαν, ἀλλ' ἀκούειν. Ὅ, τε γὰρ χρόνος ἐμποιεῖ τῷ πάθει διατριβὴν καὶ μέλλησιν ἐκλύουσαν, ἥ τε κρίσις εὑρίσκει καὶ τρόπον πρέποντα καὶ μέγεθος ἁρμόττον κολάσεως· ἔτι δὲ, οὐχ ὑπολείπεται πρόφασις τῷ διδόντι δίκην ἀντιτείνειν πρὸς τὴν ἐπανόρθωσιν, ἂν μὴ κατ' ὀργὴν ἀλλ' ἐξελεγχθεὶς κολάζηται· τὸ δὲ αἴσχιστον οὐ πρόσεστι, φαίνεσθαι δικαιότερα τοῦ δεσπότου λέγοντα τὸν οἰκέτην. Ὥσπερ οὖν ὁ Φωκίων
F μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν οὐκ ἐῶν προεξανίστασθαι τοὺς Ἀθηναίους, οὐδὲ ταχὺ πιστεύειν, Εἰ σήμερον, εἶπεν, ἄνδρες Ἀθηναῖοι, τέθνηκε, καὶ αὔριον ἔσται καὶ εἰς τρίτην τεθνηκώς· οὕτως οἶμαι δεῖν ὑποβάλλειν ἑαυτῷ τὸν σπεύδοντα δι' ὀργὴν ἐπὶ τὴν τιμωρίαν, Εἰ σήμερον οὗτος ἠδίκησε,

F. 5. σήμερον οὗτος] Recepi ex Voſſ. Moſc. 1. A. D. Vulgo, σήμερον οὕτως.

diri doctrina recte puniendi, et tempeſtive, utiliter atque convenienter: hæc igitur memoria recolens, maxime conor iram amoliri, quod defenſione puniendos non privo, ſed audio. Nam et tempus moram perturbationi animi injicit, et cunctationem quæ motum mitiget: et judicio invenitur ratio conveniens, modusque pœnæ juſtus: ad hæc, ei qui plectitur non datur præſcriptio correctioni ſeſe opponendi, quando non ob iram, ſed convictus pœnas dat; et, quod turpius ſit, non videbitur ſervus juſtiora quam dominus dicere. Itaque ſicut Phocion Athenienſes, audita Alexandri morte, non ſinebat præmature inſurgere, neque celeriter credere, ſed aiebat: *Si hodie, Athenienſes, mortuus eſt Alexander, etiam cras ac perendie erit mortuus*: ſic arbitror, eum, qui ad capiendum ſupplicium properat iratus, debere ſibi ſubjicere, ſi hodie iſte meruit pœnam, e-

τῷ τοῦ λογισμοῦ χρόνῳ τὴν δίκην κολάζεσθαι, μὴ ὑπολείποντα τῷ θυμῷ πρόφασιν.

ιβ'. Αὕτη μὲν οὖν ἴσως οὐκ ὀργῆς ἰατρεία φαίνεται, διάκρουσις δὲ καὶ φυλακὴ τῶν ἐν ὀργῇ τινὸς ἁμαρτημάτων. Καίτοι καὶ σπληνὸς οἴδημα, σύμπτωμα μὲν D ἐστι πυρετοῦ, πραϋνόμενον δὲ, κουφίζει τὸν πυρετὸν, ὥς φησιν Ἱερώνυμος. Ἀλλ' αὐτῆς γε τῆς ὀργῆς ἀναθεωρῶν τὴν γένεσιν, ἄλλους ὑπ' ἄλλων αἰτιῶν ἐμπίπτοντας εἰς αὐτὴν ἑώρων, οἷς ἐπιεικῶς ἅπασι δόξα τοῦ καταφρονεῖσθαι καὶ ἀμελεῖσθαι παραγίνεται. Διὸ καὶ τοῖς παραιτουμένοις ὀργὴν, δεῖ βοηθεῖν πορρωτάτω τὴν πρᾶξιν ὀλιγωρίας ἀπάγοντας καὶ θρασύτητος, εἰς ἄνοιαν ἢ ἀνάγκην ἢ πάθος ἢ δυστυχίαν τιθεμένους· ὡς Σοφοκλῆς,

Ἀλλ' οὐ γὰρ, ὦ 'ναξ, οὐδ' ὃς ἂν βλαστῇ μένει I
Νοῦς τοῖς κακῶς πράξασιν, ἀλλ' ἐξίσταται.

Καὶ τῆς Βρισηίδος τὴν ἀφαίρεσιν εἰς τὴν Ἄτην ἀναφέρων ὁ Ἀγαμέμνων, ὅμως,

C. 7. κολάζεσθαι] Forte, κομίζεσθαι, ut Reiſk.

ulla voluptate pœnæ exigendæ, nullaque iræ anſa reliqua fiat.

XII. Atque hæc quidem fortaſſis non iræ videbitur ſanatio, ſed amolitio et cautio, qua evitentur quæ alias per iram peccantur. Sed tamen lienis tumor febris eſt accidens, qui quidem ſedatus, etiam febrim facit leviorem, ut ait Hieronymus. Cæterum ipſius iræ originem ego contemplans, animadverti alios aliis de cauſis in iram incidere, quibus tamen fere omnibus opinio contemni ac negligi ſe adfuit. Quare qui iram deprecantur, debemus ſuccurrere, ut factum quam longiſſime a contemtu et ferocia avocantes, dementiæ, neceſſitati, perturbationi, infortuniove alicui imputemus. Tale eſt illud apud Sophoclem:

O rex, prior mens, vegeta quantumvis fiet,
Adverſis rebus haud manet, ſed excidit.

Et Briſeidis raptum Agamemnon Atæ aſcribens, ait deinde,

Ἂψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα.

Καὶ γὰρ τὸ δεῖσθαι, τοῦ μὴ καταφρονοῦντός ἐστι, καὶ ταπεινὸς φανεὶς ὁ ἀδικήσας ἔλυσε τὴν τῆς ὀλιγωρίας δόξαν. Οὐ δεῖ δὲ ταῦτα περιμένειν τὸν ὀργιζόμενον, ἀλλὰ τὸ τοῦ Διογένους, Οὗτοί σου καταγελῶσιν, ὦ Διόγενες, Ἐγὼ δὲ οὐ καταγελῶμαι· λαμβάνειν ἑαυτῷ, καὶ καταφρονεῖσ-
F θαι μὴ νομίζειν, ἀλλὰ μᾶλλον ἐκεῖνον καταφρονεῖν, ὡς δι' ἀσθένειαν ἢ πλημμέλειαν, ἢ προπέτειαν, ἢ ῥᾳθυμίαν, ἢ ἀνελευθερίαν, ἢ γῆρας, ἢ νεότητα, πλημμελοῦντος. Οἰκέταις δὲ καὶ φίλοις ἀφετέον τὸ τοιοῦτο παντάπασιν· οὐ γὰρ ὡς ἀδυνάτων, οὐδ' ὡς ἀπράκτων, ἀλλὰ δι' ἐπιείκειαν ἢ δι' εὔνοιαν, οἱ μὲν ὡς χρηστῶν, οἱ δὲ ὡς φιλούντων καταφρονοῦσι. Νυνὶ δὲ οὐ μόνον πρὸς γυναῖκα καὶ δούλους καὶ φίλους, ὡς καταφρονούμενοι, τραχέως ἐχόμεθα, ἀλλὰ καὶ πανδοκεῦσι καὶ ναύταις καὶ ὀρεωκόμοις μεθύουσι, πολλάκις ὑπ' ὀργῆς συμπίπτομεν, οἰόμενοι
61 καταφρονεῖσθαι· καὶ κυσὶν ὑλακτοῦσι, καὶ ὄνοις ἐμβαλ-

Te placare volo, et tibi maxima munera ferre.

Deprecari enim non eſt contemnentis, et qui injuriam fecit, ubi humilem ſeſe exhibet, opinionem faſtus diluit. Quanquam iraſcenti hæc non ſunt exſpectanda: ſed quod Diogenes dicentibus *Hi te rident*, reſpondit, *Ego autem non rideor:* id ſibi ſumere, atque exiſtimare debet, non ſe contemni, ſed potius eum ſibi contemnendum eſſe, a quo læſus eſt: quippe cujus peccatum ab imbecillitate, errore, temeritate, incuria, illiberalitate, ætate vel provectiore jam, vel admodum tenera, fuerit profectum. Famulis autem et amicis hoc omnino largiendum eſt: non enim ut impotentes aut ignavi, ſed ob æquanimitatem noſtram et benevolentiam, vel ut benigni, vel ut amantes ſpernimur. Nunc vero non modo adverſus uxorem, ſervos, amicos, tanquam deſpecti ab iis, exaſperamur: ſed et cum cauponibus, et nautis, et agaſonibus ebriis ſæpe per iram nos committimus, contemni putantes: et canibus latrantibus

λοῦσι χαλεπαίνομεν· ὡς ἐκεῖνος ὁ βουλόμενος τύπτειν τὸν ὀνηλάτην· εἶτ' ἀνακραγόντος ὅτι Ἀθηναῖός εἰμι, Σὺ μὲν οὐκ εἶ Ἀθηναῖος, τὸν ὄνον λέγων ἔτυπτε, καὶ πολλὰς ἐνεφόρει πληγάς.

ιγ'. Καὶ μὴν τάς γε συνεχεῖς καὶ πυκνὰς καὶ κατὰ μικρὸν ἐν τῇ ψυχῇ συλλεγομένας ὀργάς, μάλιστα φιλαυτία καὶ δυσκολία μετὰ τρυφῆς καὶ μαλακίας, ὥσπερ σμῆνος ἢ σφηκιὰν ἡμῖν ἐντίκτουσι. Διὸ μεῖζον οὐδὲν εὐκολίας καὶ ἀφελείας ἐφόδιον εἰς πρᾳότητα πρὸς οἰκέτας καὶ γυναῖκα καὶ φίλους, τῷ δυναμένῳ συμφέρεσθαι τοῖς παροῦσι, καὶ μὴ δεομένῳ πολλῶν καὶ περιττῶν·

Ὁ δ' οὔτ' ἄγαν ὀπτοῖσιν, οὔθ' ἑφθοῖς ἄγαν,
Οὔθ' ἧττον, οὔτε μᾶλλον, οὔτε διὰ μέσου
Ἠρτυμένοισι χαίρων, ὥς τ' ἐπαινέσαι·

χιόνος δὲ μὴ παρούσης, οὐκ ἂν πιὼν, οὔτε ἄρτον ἐξ ἀγορᾶς φαγὼν, οὐδὲ ὄψου γευσάμενος ἐν λιτοῖς ἢ κεραμεοῖς

B. 2. Οὔθ'—ὥς τ'] Secutus ſum Xylandrum. Ceteri, Οὔτε—ὥστε. Latina Eraſmi retuli, ut veriora: qui ceterum, reliqua deinceps ad κεκωμμένως ad eundem poetæ locum retulit. Dubito an recte.

aut aſinis occurrentibus indignamur: ut ille, qui cum agaſonem vellet ferire, et is exclamaſſet Athenienſem ſe eſſe, ad aſinum converſus, ac fatus, *Tu vero Athenienſis non es*, multis verberibus beſtiam obruit.

XIII. Atqui continentes, et crebras, ac paulatim apud animum collectas iras, præcipue ſui amor et moroſitas cum luxu mollitieque juncta nobis veluti apum aut veſparum examen ingenerat. Itaque ad manſuetudinem et erga uxorem et amicos non eſt quicquam plus emolumenti adferens, quam facilitas et ſimplicitas, ſi diſcamus præſentibus eſſe contenti, neque multa et otioſa requiramus: qualis ille apud Poëtam:

At qui nec aſſis, qui nec elixis nimis,
Nec plus minusve, nec cibis gaudet modo
Medio apparatis, ſic ut appoſita approbet.

Qui autem niſi nive præſente non bibit, neque panem in foro emtum edit, neque obſonium guſtat vili aut figlina

σκεύεσιν, οὐδὲ κοιμηθεὶς ἐπὶ στρωμνῆς μὴ οἰδούσης, ὥσπερ θαλάττης διὰ βάθους κεκινημένης· ῥάβδοις δὲ καὶ πληγαῖς τοὺς περὶ τράπεζαν ὑπηρέτας ἐπιταχύνων μετὰ δρόμου καὶ βοῆς καὶ ἱδρῶτος, ὥσπερ φλεγμονῶν καταπλάσματα κομίζοντας, ἀσθενεῖ καὶ φιλαιτίῳ καὶ μεμψιμοίρῳ
C δουλεύων διαίτῃ, καθάπερ ὑπὸ βηχὸς ἐνδελεχοῦς ἢ προσκρουσμάτων πολλῶν, ἔλαθεν ἑλκώδη καὶ καταῤῥοϊκὴν διάθεσιν περὶ τὸ θυμοειδὲς ἀπεργασάμενος. Ἐθιστέον οὖν τὸ σῶμα δι' εὐτελείας πρὸς εὐκολίαν, αὔταρκες ἑαυτῷ γινόμενον· οἱ γὰρ ὀλίγων δεόμενοι, πολλῶν οὐκ ἀποτυγχάνουσι. Καὶ δεινὸν οὐδὲν, ἀρξάμενον ἀπὸ τῆς τροφῆς, σιωπῇ χρήσασθαι τοῖς παρατυγχάνουσι, καὶ μὴ πολλὰ χολουμένους καὶ δυσκολαίνοντας, ἀπρεπέστατον ὄψον ἐμβαλεῖν ἑαυτοῖς καὶ φίλοις τὴν ὀργήν.

Δόρπου δ' οὐκ ἄν πως ἀχαρίστερον ἄλλο γένοιτο,

C. 8. μὴ πολλὰ χολουμένους] μὴ πολλὰ φοβουμένους C. Moſc. 2. Colleg. Nov. Schott. Anon. T. V. B. Neutra lectio ſana videtur. Forte corrigendum, περὶ πολλὰ ὀχλουμένους.

allatum in patina, neque niſi turgenti inſtar maris e profundo exagitati lecto indormit qui baculis et verberibus famulos ad menſam miniſtrantes urget cum clamore, curſu et ſudore ut accelerent, perinde ac ſi irent inflammato ulceri cataplaſmata allatum: hic imbecillæ et moroſæ atque ad culpanda quævis inſerviens victus rationi, non ſentit ſe tanquam tuſſi continente aut crebris offenſis, affectionem quandam ulceribus et deſtillationibus obnoxiam, quibus iracundia augeatur, parare. Proinde corpus frugalitate ad facilitatem eſt adſuefaciendum, ut contentum quovis victu eſſe poſſit. Nam qui pauca requirunt, non multis excidunt. Neque ita ardua res eſt, facto ab alimentis initio, tacite iis quæ oblata ſunt uti; non ſtomachando et quiritando ſibi amiciſque obſonium longe inviſiſſimum inferre iram. Nam

Dicere quid cœna poſſes ingratius iſta.

διὰ πρόσκαυσιν ἢ καπνὸν, ἢ ἁλῶν ἔνδειαν, ἢ ψυχρότε-
ρον ἄρτον, οἰκετῶν τυπτομένων, καὶ λοιδορουμένης γυναικός. D
Ἀρκεσιλάου δὲ μετὰ ξένων τινῶν ἑστιῶντος τοὺς φίλους, παρ-
ετέθη τὸ δεῖπνον· ἄρτοι δὲ οὐκ ἦσαν, ἀμελησάντων
πρίασθαι τῶν παίδων. Ἐφ' ᾧ τίς οὐκ ἂν ἡμῶν διέῤῥηξε
τοὺς τοίχους κεκραγώς; Ὁ δὲ μειδιάσας, Οἷον ἐστὶν,
ἔφη, τὸ συμποτικὸν εἶναι τὸν σοφόν. Τοῦ δὲ Σωκράτους ἐκ
παλαίστρας παραλαβόντος τὸν Εὐθύδημον, ἡ Ξανθίππη
μετ' ὀργῆς ἐπιστᾶσα καὶ λοιδορήσασα, τέλος ἀνέτρεψε
τὴν τράπεζαν· ὁ δὲ Εὐθύδημος ἐξαναστὰς ἀπῄει περίλυ-
πος γενόμενος· καὶ ὁ Σωκράτης, Παρὰ σοὶ δὲ, εἶπεν, οὐ E
πρῴην ὄρνις τις εἰσπτᾶσα ταυτὸ τοῦτο ἐποίησεν; ἡμεῖς δ'
οὐκ ἠγανακτήσαμεν. Δεῖ γὰρ σὺν εὐκολίᾳ καὶ γέλωτι καὶ φιλο-
φροσύνῃ τοὺς φίλους δέχεσθαι, μὴ τὰς ὀφρῦς συνάγοντας,
μηδὲ φρίκην καὶ τρόμον ἐμβάλλοντας τοῖς ὑπηρετοῦσιν. Ἐθισ-
τέον δὲ καὶ σκεύεσιν εὐκόλως ὁμιλεῖν ἅπασι, καὶ μὴ τῷδε
μᾶλλον ἢ τῷδε χρῆσθαι· καθάπερ ἔνιοι πολλῶν παρόντων,

ubi, quia aduſtum ſit aliquid, aut fumum oleat, aut ſal deſit, aut frigidior ſit panis, ſervi cæduntur, et uxori ſit convicium? Arceſilaus cum peregrinos quoſdam, cumque his amicos convivio accepiſſet, cibo appoſito panes deerant, quod eos emere pueri neglexiſſent. Quis hic noſtrum parietes vociferando non rupiſſet? at ille ſubridens: *Qualis*, inquit, *res eſt*, *ſapientem eſſe conviviis aptum?* Socrates a palæſtra ſecum duxerat ad cœnam Euthydemum: ibi cum Xanthippe irata accurriſſet, ac factis conviciis, menſam ad extremum ſubvertiſſet, ſurgens Euthydemus magno concepto dolore abitum parabat: tum Socrates, *Nonne*, inquit, *nuper apud te gallina quædam involans idem hoc fecit*, *nihil me indignante?* Amici enim cum facilitate quadam, riſu et blanditiis ſunt excipiendi, non ſuperciliis contractis, aut horrore ac tremore famulis incuſſo. Condocefaciamus etiam nos, ut vaſis facile quibuſvis, non uno aliquo præ reliquis, utamur: ſicut nonnulli multis ad ma-

ἓν ἐκλεγόμενοι κανθάριον, ὡς Μάριον ἱστοροῦσιν, ἢ ῥυτὸν, οὐκ
ἂν ἑτέρῳ πίοιεν· οὕτω δὲ καὶ περὶ τὰς ληκύθους ἔχουσιν, καὶ πρὸς
στλεγγίδας, ἀγαπῶντες ἐκ πασῶν μίαν, εἶτα ὅταν συν-
F τριβῇ τι τούτων ἢ ἀπόληται, βαρέως φέρουσι καὶ κολά-
ζουσι. Ἀφεκτέον οὖν τῷ πρὸς ὀργὴν φαύλως ἔχοντι καὶ
τῶν σπανίων καὶ περιττῶν, οἷον ἐκπωμάτων καὶ σφραγί-
δων καὶ λίθων πολυτελῶν· ἐξίστησι γὰρ ἀπολλύμενα
μᾶλλον τῶν εὐπορίστων καὶ συνήθων. Διὸ καὶ τοῦ Νέρωνος
ὀκτάγωνόν τινα σκηνὴν ὑπερφυὲς κάλλει καὶ πολυτελείᾳ
θέαμα κατασκευάσαντος, Ἤλεγξας, ἔφη ὁ Σενέκας,
πένητα σεαυτόν· ἐὰν γὰρ ταύτην ἀπολέσῃς, ἑτέραν οὐ
62 κτήσῃ τοιαύτην· καὶ μέντοι καὶ συνέπεσε, τοῦ πλοίου
καταδύντος, ἀπολέσθαι τὴν σκηνήν· ὁ δὲ Νέρων ἀνα-
μνησθεὶς τοῦ Σενέκα, μετριώτερον ἤνεγκεν. Ἡ δὲ περὶ τὰ
πράγματα εὐκολία, καὶ πρὸς οἰκέτας εὔκολον ποιεῖ καὶ πρᾶον·
εἰ δὲ πρὸς οἰκέτας, δῆλον ὅτι καὶ πρὸς φίλους καὶ πρὸς

E. 8. ἢ ῥυτὸν] Sic Baſ. Xyl. Colleg. Nov. Vulgo, ἤρυτον.

num propoſitis, unum deligentes cantharium, ut Marius, ex alio nolunt bibere: ſimiliter etiam de trullis oleariis ſentientes, et ſtrigilibus, de omnibus unam deligunt: ac confractum aut amiſſum ubi tale aliquid eſt, graviter ferunt et plectunt. Proclivi ergo ad iram cavendum etiam eſt a rebus raris et curioſe elaboratis, qualia ſunt pocula, ſigilla, et pretioſi lapides: hæc enim perdita, magis furorem cient quam partu facilia et quotidiana. Neronem, cum is octangulam ſcenam, ob ſumtus magnitudinem pulchritudinemque ſpectaculum admirabile, confici curaſſet, Seneca reprehendit dicens: *Nunc te pauperem eſſe demonſtraviſti: hac enim ſcena amiſſa, ſimilem aliam nullam adipiſceris:* et quidem contigit, ut ea ſcena, navi ſubmerſa, periret: et Senecæ verborum recordatus Nero caſum eum animo æquiore tulit. Facilitas porro quam rebus adhibemus, etiam erga ſervos manſuetum facilemque reddit: ac proinde abſque dubio etiam adverſus amicos et ſubditos.

ἀρχομένους. Ὁρῶμεν δὲ καὶ δούλους νεωνήτους περὶ τοῦ πριαμένου πυνθανομένους, οὐκ εἰ δεισιδαίμων, οὐδ' εἰ φθονερός, ἀλλ' εἰ θυμώδης· καὶ ὅλως σὺν ὀργῇ, μηδὲ σωφροσύνην ἄνδρας γυναικῶν, μηδὲ ἔρωτα γυναῖκας ἀνδρῶν ὑπομένειν δυναμένας, μηδὲ συνήθειαν ἀλλήλοις B φίλους. Οὕτως οὔτε γάμος οὔτε φιλία μετ' ὀργῆς ἀνεκτόν· ἀλλὰ χωρὶς ὀργῆς καὶ μέθη κοῦφόν ἐστιν· ὁ γὰρ τοῦ θεοῦ νάρθηξ, ἱκανὸς κολαστὴς τοῦ μεθύοντος, ἂν μὴ προσγενόμενος ὁ θυμὸς ὠμηστὴν καὶ μαινόλην ἀντὶ λυαίου καὶ χορείου ποιήσῃ τὸν ἄκρατον· καὶ τὴν μανίαν αὐτὴ καθ' αὑτὴν ἡ Ἀντίκυρα θεραπεύει, μιχθεῖσα δὲ ὀργῇ, τραγῳδίας ποιεῖ καὶ μύθους.

ιδʹ. Δεῖ δὲ μήτε παίζοντας αὐτῷ διδόναι τόπον, ἔχθραν γὰρ ἐπάγει τῇ φιλοφροσύνῃ· μήτε κοινολογουμένους, φιλονεικίαν γὰρ ἐκ φιλολογίας ἀπεργάζεται· μήτε δικάζοντας, ὕβριν γὰρ τῇ ἐξουσίᾳ προστίθησι· μήτε παιδεύοντας, ἀθυμίαν γὰρ ἐμποιεῖ καὶ μισολογίαν· μήτε εὐ- C

Videmus etiam ſervos nuper emtos, non quærere, an ſuperſtitioſum vel invidum, ſed an iracundum nacti ſint dominum: denique cernimus, ubi iræ locus eſt, ibi neque pudicitiam mulierum viris, neque mulieribus maritorum amorem, neque conſuetudinem amicorum, neque conjugium, neque ſocietatem eſſe tolerabilem. Atqui abſque ira ſit, etiam ebrietas moleſta non eſt: ferula enim dei iſtius ſufficit ad caſtigandum ebrium, niſi ubi ira accedente pro Lyæo et Choræo, (id eſt animum laxante et choreas ſuadente,) Crudelem et Furioſum Bacchum facimus: tum inſaniam ipſa pro ſe ſanat Anticyra, iræ conjuncta tragœdias et fabulas exhibet.

XIV. Proinde iræ neque inter jocos dandus eſt locus, amicitiam enim in odium mutat: neque in diſputatione, nam ſtudium cognoſcendi in libidinem contendendi vertit: neque in judicio, poteſtati enim inſolentiam addit: neque in inſtitutione liberali, animo enim mœſtitiam ingerit, odiumque diſciplinæ gignit: ne-

τυχοῦσαι, αὔξει γὰρ τὸν φθόνον· μήτε δυστυχοῦσαι,
ἀφαιρεῖ γὰρ τὸν ἔλεον, ὅταν δυσκολαίνωσι καὶ μάχωνται
τοῖς συναχθομένοις, ὡς ὁ Πρίαμος,

> Ἔῤῥετε λωβητῆρες ἐλεγχέες· οὔ νυ καὶ ὑμῖν
> Ἐστὶ γόος, ὅτι μ' ἤλθετε κηδήσοντες;

Ἡ δ' εὐκολία τοῖς μὲν βοηθεῖ, τὰ δ' ἐπικοσμεῖ, τὰ
δὲ συνηδύνει· περιγίνεται δὲ τῇ πρᾳότητι, καὶ θυμοῦ
καὶ δυσκολίας ἁπάσης· ὥσπερ Εὐκλείδης, τοῦ ἀδελφοῦ
πρὸς αὐτὸν ἐκ διαφορᾶς εἰπόντος, Ἀπολοίμην εἰ μὴ
σε τιμωρησαίμην, Ἐγὼ δὲ, φήσας, ἀπολοίμην εἰ μὴ σε
D πείσαιμι, διέτρεψε παραχρῆμα καὶ μετέθηκε. Πολέμων
δὲ, λοιδοροῦντος αὐτὸν ἀνθρώπου φιλολίθου καὶ περὶ σφραγίδια πολυτελῆ νοσοῦντος, ἀπεκρίνατο μὲν οὐδὲν, τῶν σφραγιδίων δὲ ἑνὶ προσεῖχε τὸν νοῦν, καὶ κατεμάνθανεν· ἡσθεὶς οὖν ὁ ἄνθρωπος, Μὴ οὕτως, εἶπεν, ὦ Πολέμων, ἀλλ' ὑπ' αὐγὰς θεῶ, καὶ πολύ σοι βέλτιον φανεῖται. Ὁ δ' Ἀρίστιππος, ὀργῆς αὐτῷ πρὸς Αἰσχίνην γενομένης,

que in rebus ſecundis, quia invidiam auget: neque adverſis, nam miſericordia ſe privant, qui miſerantibus infenſi ſunt et cum iis litigant, ut Priamus,

> *Ite malam hinc in rem probroſa et peſſima turba:*
> *Nilne domi veſtræ quod deploretis habetis,*
> *Quod noſtro vultis ſolatia promere luctu?*

Facilitas contra quibuſdam rebus opitulatur, alias ornat, quibuſdam ſuavitatem conciliat: et manſuetudine iram moroſitatemque omnem abolet. Sic Euclides fratri dicenti in quodam jurgio, *Peream, niſi te ulciſcar*, reſpondens, *Ego vero peream, niſi te in meam traduxero ſententiam*, confeſtim pudorem homini incuſſit, et mutavit. Polemon maledictis inceſſitus a quodam homine lapidum pretioſorum ſtudioſo, et qui vitio conquirendi ſigilla magno emta laboraret, nihil reſpondit, ſed ſigillorum uni animum advertit, idque perſpexit: quo facto delectatus ille, *Non ſic*, inquit, *Polemon, ſed expoſitum luci contemplare, longe enim pulchrius tibi videbitur.* Ariſtippus, ira adverſus Æſchinem aliquando oborta, inter-

καὶ τινος εἰπόντος, Ὦ Ἀρίστιππε, ποῦ ὑμῶν ἡ φιλία; Καθεύδει, φησὶν, ἐγὼ δὲ αὐτὴν ἐγερῶ. Καὶ τῷ Αἰσχίνῃ προσελθὼν εἶπεν, Οὕτως σοι δοκῶ παντάπασιν ἀτυχής τις εἶναι καὶ ἀνήκεστος, ὥστε μὴ νουθεσίας τυχεῖν; Ὁ δ᾽ Αἰσχίνης, Οὐδὲν, ἔφη, θαυμαστὸν, εἰ πρὸς πάντα τῇ φύσει E
μου διαφέρων, κἀνταῦθα τὸ δέον πρότερος συνεῖδες.

Καὶ γὰρ κάπρον φριξαύχεν᾽ οὐ μόνον γυνὴ,
Παῖς δ᾽ ἂν νεογνὸς χειρὶ προσκνήθων νέα,
Κλίναι παλαιστοῦ παντὸς εὐμαρέστερον.

Ἀλλ᾽ ἡμεῖς ἀγριαίνοντα τιθασεύομεν ζῶα καὶ πραΰνομεν, λυκιδεῖς καὶ σκύμνους λεόντων ἐν ταῖς ἀγκάλαις περιφέροντες, εἶτα καὶ τέκνα καὶ φίλους καὶ συνήθεις ἐκ- F
βάλλομεν ὑπ᾽ ὀργῆς, οἰκέταις δὲ καὶ πολίταις τὸν θυμὸν ὥσπερ θηρίον ἐφίεμεν· οὐ καλῶς ὑποκοριζόμενοι μισοπονηρίαν, ἀλλ᾽ ὥσπερ, οἶμαι, τῶν ἄλλων παθῶν ψυχῆς καὶ νοσημάτων, τὸ μὲν πρόνοιαν, τὸ δὲ ἐλευθεριότητα, τὸ δὲ εὐσέβειαν καλοῦντες, οὐδενὸς ἀπαλλαγῆναι δυνάμεθα.

F. 3. ἐφίεμεν] Ita C. Moſc. 1. 2. Colleg. Nov. Mez. Vulgo, ἀφίεμεν.

rogatus a quodam, *Ubi nunc veſtra illa, Ariſtippe, amicitia?* reſpondit, *Dormit illa, at ego eam reſuſcitabo:* et Æſchinem conveniens, *Itane*, inquit, *prorſum ego tibi infelix et inſanabilis videor, ut me caſtigatione indignum putes?* Tum Æſchines, *Nihil*, ait, *miri eſt, ſi in aliis rebus omnibus me ingenioſior, etiam hic prior ſenſiſti quid facto opus eſſet.*

Non tantum enim mulier caprum horrentem juba,
Tenera puellus ſed quoque pruriens manu
Quovis palæſtra facilius proſtraverit.

At enim nos qui feras cicuramus, et luporum demulcemus, ac leonum catulos in ulnis circumgeſtamus, iidem iræ concedentes, liberis, amicis, familiaribuſque ejectis, ſervis noſtris civibuſque excandeſcentiam animi noſtri quaſi feram immittimus: non profecto odii malorum nomine hoc vitium, ut molliori, probe velantes: ſed, niſi fallor, eadem ratione et reliquis animi perturbationibus atque vitiis huic prudentiæ, aliæ liberalitatis, alteri pietatis nomen affingentes, iſtarum nullam dimittere poſſumus.

ιε'. Καίτοι, καθάπερ ὁ Ζήνων ἔλεγε, τὸ σπέρμα σύμ-
μιγμα καὶ κέρασμα τῶν τῆς ψυχῆς δυνάμεων ὑπάρ-
χειν ἀπεσπασμένον, οὕτως ἔοικε τῶν παθῶν πανσπερμία
463 τις ὁ θυμὸς εἶναι· καὶ γὰρ λύπης ἐμπέπλησται καὶ ἡδο-
νῆς καὶ ὕβρεως· καὶ φθόνου μὲν ἔχει τὴν ἐπιχαιρεκακί-
αν· φόνου δὲ καὶ χεῖρον ἐστίν, ἀγωνίζεται γὰρ οὐχὶ μὴ πα-
θεῖν αὐτὸς, ἀλλὰ παθεῖν κακῶς ἐπιτρίψας ἕτερον· ἐπι-
θυμίας δὲ αὐτὸ τὸ ἀτερπέστατον ἐμπέφυκεν, εἴ γε δὴ τοῦ
λυπεῖν ἕτερον ὄρεξίς ἐστι. Διὸ τῶν μὲν ἀσώτων ταῖς οἰ-
κίαις προσιόντες, αὐλητρίδος ἀκούομεν ἑωθινῆς, καὶ πη-
λὸν ὥς τις εἶπεν οἴνου, καὶ σπαράγματα στεφάνων, καὶ
κραιπαλῶντας ὁρῶμεν ἐπὶ θύραις ἀκολούθους· τὰ δὲ τῶν
πικρῶν ἐκκαλύμματα καὶ δυσκόλων, ἐν τοῖς προσώ-
B ποις τῶν οἰκετῶν ὄψει, καὶ τοῖς στίγμασι καὶ ταῖς πέδαις·

A. 3. φόνου—ἕτερον] Utcumque ferri poteſt oratio, tamen quid ad ejus integritatem requiri videtur.
A. 8. ὥς τις] Dedi ex Moſc. 1. 2. Schott. Mez. quibuſcum ita conſentiunt A. D. ut habeant ὥς τι. Vulgo, ὅστις.

XV. Et tamen, ſicut Zeno dicebat, ſemen eſſe mixturam atque temperaturam ab omnibus avulſam animæ facultatibus, ſic omnium animi perturbationum ſemina videntur in iram confluxiſſe: nam et doloris particulam ſibi ſumſit, et voluptatis, et inſolentiæ: habet hoc ab invidentia, quod aliorum e malis gaudium percipit: deterior eſt homicidii affectatione; non enim in hoc elaborat, ut nihil patiatur ipſe, ſed cupit male ſibi eſſe, dum modo alterum perdat; denique concupiſcentiæ id quod eſt minime jucundum, in ſe habet ira; ſiquidem dicenda eſt appetitio, quando alteri quis vult ægre facere. Hinc adeo fit, ut cum ad intemperantia diffluentium domos accedimus, tibicinam audiamus matutinam, et argillam (ut quidam aiebat) terra vino rigata factam, et divulſorum fragmenta ſertorum, et famulos in foribus ebrios: indicia autem amarulentorum et moroſorum hominum poſſis conſpicere in faciebus ſervorum, ſtigmatis, compedibus:

> Αἰὶ δὲ ἀοιδῶν μοῦνος ἐν στέγαις
ὀργίλου ἀνδρὸς,
> Κωκυτὸς ἐμπέπτωκε, ——

μαστιγουμένων ἔνδον οἰκονόμων, καὶ στρεβλουμένων θεραπαινίδων· ὥστε τοῦ θυμοῦ τὰς λύπας ἐν ταῖς ἐπιθυμίαις καὶ ταῖς ἡδοναῖς οἰκτείρειν ὁρῶντας.

ιϛ'. Οὐ μὴν ἀλλὰ ὅσοις γε συμβαίνει διὰ μισοπονηρίαν ἀληθῶς ἁλίσκεσθαι πολλάκις ὑπὸ ὀργῆς, τὸ ἄγαν ἀφαιρετέον αὐτῆς καὶ τὸ ἄκρατον ἅμα τῇ σφοδρᾷ πίστει περὶ τῶν συνόντων· αὕτη γὰρ αὔξει μάλιστα τῶν αἰτιῶν τὸν θυμὸν, ὅταν ἢ χρηστὸς ὑποληφθεὶς ἀναφανῇ μοχθηρὸς, ἢ φιλεῖν δόξας ἐν διαφορᾷ τινι καὶ μέμψει γένηται. Τὸ δὲ ἐμὸν ἦθος, οἶσθα δήπουθεν ἡλίκαις c ῥοπαῖς φέρεται πρὸς εὔνοιαν ἀνθρώπων καὶ πίστιν· ὥσπερ οὖν οἱ κατὰ κενοῦ βαίνοντες, ὅπου μᾶλλον ἐπερείδω τῷ φιλεῖν ἐμαυτὸν, ἁμαρτάνω μᾶλλον, καὶ σφαλλόμενος ἀνιῶμαι· καὶ τοῦ μὲν φιλεῖν ἀπαρύσαι τὸ ἐμπαθὲς ἄγαν καὶ

> *Semperque ſolus iracundi in ædibus*
> *Auditur ejulatus cantor :*—

dum intus diſpenſator flagellatur, torquentur ancillæ: ita quidem, ut qui iſthæc tam triſtia ab animi excandeſcentia profecta vident, ipſas etiam iracundi voluptates miſereantur.

XVI. Tamen quibus accidit ut malorum odio vero aliquoties ab ira vincantur, ii nimiam vehementiam ſimul et perſuaſionem de fide eorum quibuſcum degunt nimiam debent deponere: non eſt enim alia cauſa, quæ vehementius animum inflammet, quam cum pro probo aliquis habitus, pravus eſſe deprehenditur, aut cum eo jurgium vel diſcordia incidit, qui amare videbatur. Meum quidem noſti ingenium, quantis momentis ſcilicet id impellatur ad complectendos benevolentia homines, iiſque adhibendam fidem: ac mihi id uſu venit, quod deſcendentibus per inane, quanto magis innitor alicui, eum amando, tanto magis fallor, et deceptum me eſſe indignor. Et nimiam quidem ad amandum propenſionem

πρόθυμον οὐκ ἂν ἔτι δυνηθείην· τοῦ δὲ πιστεύειν σφόδρα, χρησαίμην ἂν ἴσως χαλινῷ, τῇ Πλάτωνος εὐλαβείᾳ· καὶ γὰρ Ἑλικῶνα τὸν μαθηματικὸν οὕτως ἐπαινῶν φησιν, ὡς φύσει εὐμετάβολον ζῶον, καὶ τοὺς τεθραμμένους ἐν τῇ πόλει καλῶς, δεδιέναι μὴ ἄνθρωποι καὶ σπέρματα ἀνθρώπων ὄντες, ἐκφήνωσί που τῆς φύσεως τὴν ἀσθένειαν. Ὁ δὲ Σοφοκλῆς λέγων ὅτι,

Τὰ πλεῖστα φωρῶν αἰσχρὰ φωράσεις βροτῶν,

ἄγαν ἔοικεν ἡμῖν ἐπεμβαίνειν καὶ κολούειν. Οὐ μὴν ἀλλὰ τὸ δύσκολον τοῦτο τῆς κρίσεως καὶ φιλαίτιον, εὐκολωτέρους ποιεῖ ταῖς ὀργαῖς· ἐκστατικὸν γάρ ἐστι τὸ ἄφνω καὶ τὸ ἀπροσδόκητον· δεῖ δὲ, ὥς που καὶ Παναίτιος ἔφη, χρῆσθαι τῷ Ἀναξαγόρᾳ, καὶ καθάπερ ἐκεῖνος ἐπὶ τῇ τελευτῇ τοῦ παιδὸς εἶπεν, Ἤιδειν ὅτι θνητὸν ἐγέννησα,
E τοῦτο τοῖς παροξύνουσιν ἕκαστον ἐπιφωνεῖν ἁμαρτήμασιν, Ἤιδειν ὅτι σοφὸν οὐκ ἐπριάμην δοῦλον, Ἤιδειν ὅτι ἀπα-

abjicere, jam nunc mihi non eſt amplius integrum. Nimiæ credulitati fortaſſe hoc injiciam frænum, quo ſibi Plato cavit, qui neque Heliconem mathematicum abs ſe laudatum dicebat, ut natura mutabile animal: et metuere ſe ne qui in civitate eſſent bene educati, utpote homines et ſemen hominum, alicubi naturæ imbecillitatem demonſtrarent. Sophocles autem nimis videtur nobis inſultare, noſque premere, hæc dicens:

Mortalium res perſcrutans, intelliges

Pleraſque turpes.—

Et tamen moroſum hoc atque conquerendi de omnibus nimio ſtudio editum judicium, facit ut levius iraſcamur. Subita enim et improviſa facile de ſtatu rationis dejiciunt. Oportet autem, ut Panætius alicubi docuit, Anaxagoram imitari: utque is narrata filii morte reſpondit, *Sciebam me genuiſſe mortalem:* ita irritantibus identidem nos delictis hoc accinere, *Sciebam me cum emerem ſervum, non emiſſe ſapientem: Sciebam me paraſſe*

ὅτι τὸν φίλον οὐκ ἐκτησάμην, Ἤδειν ὅτι τὴν γυναῖκα, γυναῖκα εἶχον. Ἂν δὲ κἀκεῖνό τις ἐπιφθεγγόμενος ἀεὶ τὸ τοῦ Πλάτωνος, Ἦπου ἄρ' ἐγὼ τοιοῦτος; ἔξωθεν εἴσω τὸν λογισμὸν ἀναστρέφῃ, καὶ παρεμβάλλῃ ταῖς μέμψεσι τὴν εὐλάβειαν, οὐ πολλῇ χρήσεται μισοπονηρίᾳ πρὸς ἑτέρους, πολλῆς ὁρῶν ἑαυτὸν συγγνώμης δεόμενον. Νῦν δὲ ἕκαστος ἡμῶν ὀργιζόμενος καὶ κολάζων, Ἀριστείδου φωνὰς ἐπιφέρει καὶ Κάτωνος, Μὴ κλέπτε, Μὴ ψεύδου· Διὰ τί ῥᾳθυμεῖς; καὶ, ὃ δὴ πάντων αἴσχιστόν ἐστιν, ὀργιζομένοις ἐπιτιμῶμεν μετ' ὀργῆς, καὶ τὰ διὰ θυμὸν ἡμαρτημένα, θυμῷ κολάζομεν, οὐχ ὥσπερ οἱ ἰατροὶ

Πικρῷ πικρὰν κλύζουσι φαρμάκῳ χολὴν,

ἀλλὰ μᾶλλον ἐπιτείνοντες καὶ προσεκταράττοντες. Ὅταν οὖν ἐν τούτοις γένωμαι τοῖς ἐπιλογισμοῖς, ἅμα τι πειρῶμαι καὶ τοῦ πολυπράγμονος ἀφαιρεῖν. Τὸ γὰρ ἐξακριβοῦν ἅπαντα καὶ φωρᾶν, καὶ πᾶσαν ἕλκειν εἰς μέ-

amicum, cujus animus motibus eſſet obnoxius: Sciebam mulierem mihi eſſe, cum acciperem mulierem. Quod ſi quis Platonicum iſtud, *Numnam et ego talis ſum?* ſubinde inſuſurrans intro rationem avertat, et aliorum reprehenſionibus de cavendo peccato cautionem ſibi inſerat; næ is non magno vitiorum in aliis odio indulſerit, ſeipſum venia plurima indigere ſentiens. Nunc quivis noſtrum iratus et puniens Ariſtidis et Catonis voces ingerit, Noli furari, mentiri, ſocors eſſe: et, quod eſt omnium turpiſſimum, iratos irati ipſi objurgamus, et quæ per iram ſunt peccata, in ea per iram vindicamus: non ſicut medici, qui

Amaram amaro bilem pharmaco eluunt:

ſed perturbationem animi augentes ac vehementiorem reddentes. Ac quando in has perveni cogitationes ſimul etiam de curioſitate aliquid deminuere conor. Accurate conſectari et ſcrutari inquirendo omnia, atque in medium protrahere omnia ſervi negotia, omnes amici actio-

σον ἀσχολίαν οἰκέτου, καὶ πρᾶξιν φίλου, καὶ διατριβὴν υἱοῦ, καὶ ψιθυρισμὸν γυναικὸς, ὀργὰς φέρει πολλὰς καὶ συνεχεῖς, καὶ καθημερινὰς, ὧν δυσκολία τρόπου καὶ χαλεπότης τὸ κεφάλαιόν ἐστι. Ὁ μὲν οὖν θεὸς, ὡς Εὐριπίδης φησὶ,

——— τῶν ἄγαν ἅπτεται,
Τὰ μικρὰ δ' εἰς τύχην ἀφεὶς ἐᾷ·

ἐγὼ δὲ τῇ τύχῃ μὲν οὐδὲν οἶμαι δεῖν ἐπιτρέπειν, οὐδὲ παρορᾷν τὸν νοῦν ἔχοντα, πιστεύειν δὲ καὶ χρῆσθαι τὰ μὲν γυναικὶ, τὰ δὲ οἰκέταις, τὰ δὲ φίλοις, οἷον ἄρχοντα ἀρχόντων ἐπιτρόποις τισὶ καὶ λογισταῖς καὶ διοικηταῖς, αὐτὸν ἐπὶ τῶν κυριωτάτων ὄντα τοῦ λογισμοῦ καὶ μεγίστων. Ὡς γὰρ τὰ λεπτὰ γράμματα τὴν ὄψιν, οὕτω τὰ μικρὰ πράγματα μᾶλλον ἐντείνοντα, νύττει καὶ ταράττει τὴν ὀργὴν, ἔθος πονηρὸν ἐπὶ τὰ μείζονα λαμβάνουσαν. Ἐπὶ πᾶσι τοίνυν τὸ μὲν τοῦ Ἐμπεδοκλέους, μέγα καὶ θεῖον ἡγούμην, τὸ,

A. 12. ἄρχοντα] Sic D. Ceteri ἀρχόντων. Correxi Latina.

nes, omnia filii ſtudia, omnes uxoris ſuſurros, ea vero res iras gignit multas atque continuas et quotidianas, quarum ſumma eo redit, ut moroſi intractabileſque reddamur. Euripidis eſt, *deum res magnas curare, exiguas, fortunæ dimiſſas ſinere.* Ego hominem cordatum non cenſeo quicquam fortunæ mandare, aut negligere, debere: ſed tamen quædam operæ uxoris, alia amicorum, nonnulla ſervorum committere: ita ut his utens veluti magiſtratus, magiſtratuum procuratoribus, ratiocinatoribus, atque diſpenſatoribus, ipſe principis inſtar rationis uſu maxima et præcipua quæque conficiat. Sicut enim exiles litteræ viſum, ita leviuſculæ res animum magis intendentes offendunt atque turbant, malamque conſuetudinem ingenerant etiam de majoribus proclivius iraſcendi. Præter hæc omnia, magnum et divinum mihi illud Empedoclis viſum eſt,

——— νηστεῦσαι κακότητος·

ἐπῄνουν δὲ κἀκείνας, ὡς οὐκ ἀχαρίστους οὐδὲ ἀφιλοσόφους ἐν εὐχαῖς ὁμολογίας, ἐνιαυτὸν ἀφροδισίων ἁγνεῦσαι καὶ οἴνου, τιμῶντας ἐγκρατείᾳ τὸν θεόν· ἢ ψευδολογίας πάλιν ἀπέχεσθαι χρόνον ὡρισμένον, αὐτοῖς προσέχοντας πῶς ἀληθεύσομεν ἔν γε παιδιᾷ καὶ μετὰ σπουδῆς C
ἁπάσης· εἶτα ταύταις τὴν ἐμαυτοῦ παρέβαλλον ψυχὴν, ὡς οὐχ ἧττον θεοφιλῆ καὶ ἱερᾶς, ἡμέρας πρῶτον ἀοργήτους ὀλίγας, οἷον ἀμεθύστους καὶ ἀοίνους διαγαγεῖν, ὥσπερ νηφάλια καὶ μελίσπονδα θύοντα· εἶτα μῆνα καὶ δύο πειρώμενος ἐμαυτοῦ κατὰ μικρὸν, οὕτω τῷ χρόνῳ προὔβαινον εἰς τὸ πρόσθεν τῆς ἀνεξικακίας, ἐγκρατῶς προσέχων, καὶ διαφυλάττων μετ' εὐφημίας ἵλεω καὶ ἀμήνιτον ἐμαυτὸν, ἁγνεύοντα καὶ λόγων πονηρῶν, καὶ πράξεων ἀτόπων, καὶ πάθους ἐφ' ἡδονῇ μικρᾷ καὶ D

C. 2. ψυχὴν,—ὀλίγας] Corrigendum: εὐχὴν, ὡς οὐχ' ἧττον θεοφιλῆ καὶ ἱερὰν, ἡμέρας πρῶτον ἀοργήτους ὀλίγας &c. non auſus, quamvis verum judicans, recipere, vertendo quidem reddidi.

—*Eſſe velis abſtemius improbitatis.*

quin et iſta pacta ſive vota, ut non inelegantia, neque aliena a philoſopho probavi, cum per annum pollicebantur ſe velle re Venerea et vino abſtinere, deumque continentia ſua venerari: itemque per certum tempus mendacio vacare, ut animadvertere poſſent, quomodo et in jocis, et in ſeriis omnibus veritatem tenerent. His ego votis meum votum accommodans, non minus illud et Diis gratum et ſacrum, quoſdam initio dies, quibus ira vacarem, paucos inſtitui, tanquam vini et ebrietatis vacuas, ac ſi Nephalia, (id eſt ſobria,) ſacra et Meliſponda, (id eſt libationes mellis) agerem: deinde menſem, mox duos eandem tenui rationem: atque hoc pacto meipſum expertus, ſucceſſu temporis magnos feci ad patientiam progreſſus, temperanter meipſum attendens atque cuſtodiens cum boni ominis comprecationibus, immunem iræ, et purum omnis pravi ſermonis, abſurdæque actionis, ac perturbationis, quæ propter voluptatem exiguam atque in-

ἀχαρίστῳ ταραχάς τε μεγάλας καὶ μεταμέλειαν αἰσχίστην φέροντος. Ὅθεν, οἶμαι, καὶ θεοῦ τι συλλαμβάνοντος, ἐσαφήνιζεν ἡ πεῖρα τὴν κρίσιν ἐκείνην, ὅτι τὸ ἵλεων τοῦτο καὶ πρᾶον καὶ φιλάνθρωπον, οὐδενὶ τῶν συνόντων εὐμενές ἐστιν οὕτω καὶ φίλον καὶ ἄλυπον, ὡς αὐτοῖς τοῖς ἔχουσιν.

gratam turbas magnas, turpiſſimamque adferret pœnitentiam. Atque hinc, niſi fallor, deo etiam nonnihil adjuvante, comprobavit experientia judicium hoc: Placidos, manſuetos, atque humanos mores, nemini eorum quibuſcum vivitur ita gratos, jucundoſque eſſe, ut ei ipſi, qui iis eſt præditus.

[illegible]

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΕΥΘΥΜΙΑΣ.

E

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΕΥΘΥΜΙΑΣ.

PLUTARCHI

DE

TRANQUILLITATE ANIMI.

ΠΛΟΥΤΑΡΧΟΣ

ΠΑΚΚΙΩ ΕΥ ΠΡΑΤΤΕΙΝ.

PLUTARCHUS

PACCIO S.

α'. ΟΨΕ σου τὴν ἐπιστολὴν ἐκομισάμην, ἐν ᾗ παρεκάλεις περὶ Εὐθυμίας σοι τὶ γραφῆναι, καὶ περὶ τῶν ἐν Τιμαίῳ δεομένων ἐπιμελεστέρας ἐξηγή-
F σεως. Ἅμα δέ πως τὸν ἑταῖρον ἡμῶν Ἔρωτα κατε-

I. SERO tuas accepi litteras, in quibus me hortabaris, ut aliquid de Animi Tranquillitate tibi ſcriberem, et de his quæ in Timæo ſcripta accuratiorem deſiderant interpretationem. Sub idem tempus Eroti ſodali noſtro

λάμβανεν αἰτία τοῦ πλεῖν εὐθὺς εἰς Ῥώμην, παρὰ Φουνδάνου τοῦ κρατίστου γράμματα δεδεγμένον, οἷος ἐκεῖνος, ἐπιταχύνοντα. Μήτε δὲ χρόνον ἔχων, ὡς προῃρούμην, γενέσθαι πρὸς οἷς ἐβούλου, μήτε ὑπομένων κεναῖς παντάπασι τὸν ἄνδρα χερσὶν ὀφθῆναί σοι παρ' ἡμῶν ἀφιγμένον, ἀνελεξάμην περὶ Εὐθυμίας, ἐκ τῶν ὑπομνημάτων ὧν ἐμαυτῷ πεποιημένος ἐτύγχανον· ἡγούμενός τι σὲ τὸν λόγον τοῦτον οὐκ ἀκροάσεως ἕνεκα θηρωμένης καλλιγραφίαν, ἀλλὰ χρείας βοηθητικῆς, ἐπιζητεῖν· καὶ συνηδόμενος ὅτι καὶ φιλίας ἔχων ἡγεμονικάς, καὶ δόξαν οὐδενὸς ἐλάττονα τῶν ἐν ἀγορᾷ λεγόντων, τὸ τοῦ τραγικοῦ Μέροπος οὐ πέπονθας, οὐδ' ὡς ἐκεῖνον εὐδαιμονίζων ὁ ὄχλος ἐξέπληξε τῶν φυσικῶν παθῶν, ἀλλὰ πολλάκις ἀκηκοὼς μνημονεύεις ὡς οὔτε ποδάγρας ἀπαλλάττει καλτίκιος, οὔτε δακτύλιος πολυτελὴς παρωνυχίας, οὐδὲ διάδημα κεφαλαλγίας. Πόθεν γε δὴ πρὸς ἀλυπίαν ψυχῆς καὶ

A. 5. ἐξέπληξε τῶν φυσικῶν] Legendum, ἐξέπληξέ σε τῶν φυσικῶν Mez.

incidit Romam navigandi neceſſitas, accepta a Fundano optimo viro epiſtola, more ſuo, feſtinare jubente. Ita cum neque tempus haberem iis quæ inſtitueram vacandi, neque pati vellem iſtum plane vacuis manibus ad te abs me venire, ex commentariis, quos mihi feceram, iſthæc de Animi Tranquillitate collegi: cum et te exiſtimarem non auditionis elegantem venantis orationem gratia, ſed ob uſum auxilii ea requirere: tibique gratuler, qui et principum uſus amicitiis, et gloriam, quantam in foro dicentium nemo, conſecutus, non itidem, ut Merops ille tragicus, paſſus es vocibus te beatum prædicantium percelli, et ultra quam naturales animi motus ſint attonitum reddi: quippe qui memoria teneas id quod ſæpius audiviſti, neque calceum podagra, neque annulum pretioſum reduvia, neque diadema dolore capitis liberare. Etenim, unde ad vacuitatem moleſtiæ animo, vitæque conſtantiam parandam,

βίον ἀκύμονα, χρημάτων ὄφελος, ἢ δόξης, ἢ δυνά-
μεως ἐν αὐλαῖς, ἂν μὴ τὸ χρώμενον εὔχαριστον ᾖ τοῖς
B ἔχουσι, καὶ τὸ τῶν ἀπόντων μὴ δεόμενον ἀεὶ παρακο-
λουθῇ; τί δὲ τοῦτ' ἔστιν ἄλλο ἢ λόγος εἰθισμένος καὶ με-
μελετηκὼς τοῦ παθητικοῦ καὶ ἀλόγου τῆς ψυχῆς ἐξιστα-
μένου πολλάκις, ἐπιλαμβάνεσθαι ταχὺ, καὶ μὴ περιορᾷν
ἀποῤῥέον καὶ καταφερόμενον ἀπὸ τῶν παρόντων. Ὥσπερ
οὖν ὁ Ξενοφῶν παρῄνει, τῶν θεῶν εὐτυχοῦντας μάλιστα
μεμνῆσθαι καὶ τιμᾷν, ὅπως, ὅταν ἐν χρείᾳ γενώμεθα,
θαῤῥοῦντες αὐτοὺς παρακαλῶμεν ὡς εὐμενεῖς ὄντας ἤδη
καὶ φίλους· οὕτω καὶ τῶν λόγων ὅσοι πρὸς τὰ πάθη βοη-
C θοῦσι, δεῖ πρὸ τῶν παθῶν ἐπιμελεῖσθαι τοὺς νοῦν ἔχον-
τας, ἵν' ἐκ πολλοῦ παρεσκευασμένοι μᾶλλον ὠφελῶσιν.
Ὡς γὰρ οἱ χαλεποὶ κύνες πρὸς πᾶσαν ἐκταραττόμε-
νοι βοὴν, ὑπὸ μόνης καταπραΰνονται τῆς συνήθους·
οὕτω καὶ τὰ πάθη τὰ τῆς ψυχῆς διαγριαινόμενα κατα-

B. 5. ἀπὸ τῶν παρόντων] Recepi ex C. Moſc. 2. Colleg. Nov. Vulgo, ὑπὸ τῶν παρόντων.

divitiis, aut gloriæ, aut potentiæ aulicæ facultas ſit, niſi eas res vel præſentes uſus venuſtus, vel abſentes nullum deſiderium perpetuo comitetur? hoc autem quid eſt aliud, quam ratio condocefacta motibus obnoxiam et brutam animæ partem ſæpe de poteſtate exeuntem celeriter reprehendere, neque permittere, ut præſentibus non contenta rebus diffluat atque invertatur. Itaque ſicut Xenophon præcipiebat, *debere nos deorum maxime meminiſſe, iiſque honorem habere, cum ſecundæ eſſent res; ut uſu flagitante invocare eos cum fiducia poſſemus, jam ſcilicet propitios atque amicos:* ita eas quoque rationes, quæ adverſus animi perturbationes auxilio ſunt, cordati ante quam perturbentur meditari debent, ut multo ante preparatæ tanto plus habeant virium. Quemadmodum enim feri canes cum ad omnem vocem exaſperentur, ſola ea cui adſuevere demulcentur: ſic et animi mo-

παῦσαι ῥᾳδίως οὐκ ἔστιν, ἂν μὴ λόγοι παρόντες οἰκεῖοι καὶ συνήθεις ἐπιλαμβάνωνται τῶν ταραττομένων.

β'. Ὁ μὲν οὖν εἰπὼν, "ὅτι δεῖ τὸν εὐθυμεῖν μέλλοντα μήτε πολλὰ πρήσσειν μήτε ἰδίῃ μήτε ξυνῇ," πρῶτον μὲν ἡμῖν πολυτελῆ τὴν εὐθυμίαν καθίστησι, γινομένην ὤνιον ἀπραξίας· οἷον ἀῤῥώστῳ παραινῶν ἑκάστῳ,

Μίν', ὦ ταλαίπωρ', ἀτρέμας σοῖς ἐν δεμνίοις· D

καίτοι κακὸν μὲν ἀναισθησία σώματι φάρμακον ἀπονοίας· οὐδὲν δὲ βελτίων ψυχῆς ἰατρὸς, ὁ ῥαθυμίᾳ καὶ μαλακίᾳ καὶ προδοσίᾳ φίλων καὶ οἰκείων καὶ πατρίδος, ἐξαίρων τὸ ταραχῶδες αὐτῆς καὶ λυπηρόν. Ἔπειτα καὶ ψεῦδός ἐστι τὸ εὐθυμεῖν τοὺς μὴ πολλὰ πράσσοντας. Ἔδει γὰρ εὐθυμοτέρας εἶναι γυναῖκας ἀνδρῶν, οἰκουρίᾳ τὰ πολλὰ συνούσας· νυνὶ δὲ ὁ μὲν Βορέας

Διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν,

D. 2. ἀναισθησία—ἀπονοίας] Ita recte Stob. S. xxix. p. 206. item Ed. Trincavell. Conſentiunt ex parte codices Plutarchei. Vulgo, ἀναισθησίας—ἀπονία.

D. 4. ἐξαίρων] Legendum, ἐξαιρῶν.

tus ſævientes nemo facile deliniverit, niſi rationes familiares et conſuetæ animo perturbato præſto ſint eumque inhibeant.

II. Cæterum is qui dixit, *Animi Tranquillitatem affectanti neque privatim multa neque publice debere agere:* primum magno nobis emendam facit rem, venalem nimirum inertia: tanquam unicuique infirmo præcipiens,

Quietus in ſtratis mane tuis, miſer.

et quidem ſtupor adverſus deſperationem malum eſt corpori remedium: neque melior eſt medicus animo ſocordia, et mollities amicorum familiarium patriæque neglectu perturbationes ejus amoliens. Deinde id quoque falſum eſt, animo tranquillo eſſe eos qui non agant multa. Oportebat enim mulieres viris eſſe animo quietiore, plerumque domi in re familiari curanda deſidentes. Nunc Aquilo quidem

Virginis intactæ nunquam per membra penetrat,

ὥς φησιν Ἡσίοδος· λῦπαι δὲ καὶ ταραχαὶ καὶ κακοθυμίαι διὰ ζηλοτυπίας, καὶ δεισιδαιμονίας καὶ φιλοτιμίας καὶ κενῶν δοξῶν,
E ὅσας οὐκ ἂν εἴποι τις, εἰς τὴν γυναικωνῖτιν ὑπορρέουσιν. Ὁ δὲ Λαέρτης εἴκοσιν ἔτη καθ' ἑαυτὸν ἐν ἀγρῷ διαιτώμενος,

Γρηῒ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε

παρετίθει, τὴν μὲν πατρίδα καὶ τὸν οἶκον καὶ τὴν βασιλείαν ἔφυγε, τὴν δὲ λύπην μετ' ἀπραξίας καὶ κατηφείας ἀεὶ συνοικοῦσαν εἶχεν. Ἐνίους δὲ καὶ τὸ μὴ πράσσειν αὐτὸ πολλάκις εἰς ἀθυμίαν καθίστησιν, ὡς τοῦτον,

Αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος ὠκυπόροισι
Διογενὴς Πηλέος υἱὸς πόδας ὠκὺς Ἀχιλλεύς.
F Οὔτέ ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν,
Οὔτέ ποτ' ἐς πόλεμον, ἀλλὰ φθινύθεσκε φίλον κῆρ
Αὖθι μένων, ποθέεσκε δ' ἀϋτήν τε πτόλεμόν τε.

καὶ λέγει περιπαθῶν ἐπὶ τούτῳ καὶ ἀσχάλλων αὐτός,

Ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης.

Ὅθεν οὐδὲ Ἐπίκουρος οἴεται δεῖν ἡσυχάζειν, ἀλλὰ τῇ φύσει χρῆσθαι πολιτευομένους καὶ πράσσοντας τὰ κοινὰ τοὺς φιλοτίμους καὶ φιλοδόξους, ὡς μᾶλλον ὑπ' ἀπραγ-

ut ait Heſiodus: ſed dolores, tumultus, ægritudines ob rivalitatem, ſuperſtitionem, ambitionem et vanas opiniones innumeræ in gynæceum confluunt. Et Laërtes per viginti annos ſeorſim in agro degens

Cum famula vetula, quæ menſam et pocula ſoli
Poneret,—

patriam quidem, et domum, regnumque fugit, dolorem autem cum otio et mœſtitia perpetuo ſecum habuit. Sunt quos ipſum otium in animi conjicit ægritudinem: qualis

Ille ſedens juxta naves divinus Achilles
Paſcebat rabidas animis ferventibus iras.
Non ille aut ſocium cœtus veniebat in ullos,
Ad pugnam ſumtis aut procedebat in armis.
Sed deſiderio belli pugnæque ſuum cor
Conficiebat, in invisa ſcenaque manebat.

atque ipſe hoc de ſe graviſſima affectus moleſtia dicit:

Navibus aſſideo telluris inutile pondus.

Hinc adeo etiam Epicurus cupidos honorum et gloriæ non vult quieſcere, ſed obſequi naturæ ſuæ rempublicam tractando jubet: quod facilius otio perturbatum iri eos et lædi

χήραις τοῖς πένησιν,

'Ἆρ' ἐστὶ [φησὶ] συγγενές τι λύπη καὶ βίος;
Τρυφερῷ βίῳ σύνεστιν, ἐνδόξῳ βίῳ
Πάρεστιν, ἀπόρῳ συγκαταγηράσκει βίῳ.

Ἀλλ' ὥσπερ οἱ δειλοὶ καὶ ναυτιῶντες ἐν τῷ πλεῖν, εἶτα
C ῥᾷον οἰόμενοι διάξειν ἐὰν εἰς γαῦλον ἐξ ἀκάτου, καὶ πάλιν ἐὰν εἰς τριήρη μεταβῶσιν, οὐδὲν περαίνουσι, τὴν χολὴν καὶ τὴν δειλίαν συμμεταφέροντες ἑαυτοῖς· οὕτως αἱ τῶν βίων ἀντιμεταλήψεις οὐκ ἐξαίρουσι τῆς ψυχῆς τὰ λυποῦντα καὶ ταράττοντα· ταῦτα δ' ἐστὶν, ἀπειρία πραγμάτων, ἀλογιστία, τὸ μὴ δύνασθαι μηδ' ἐπίστασθαι χρῆσθαι τοῖς παροῦσιν ὀρθῶς· ταῦτα καὶ πλουσίους χειμάζει καὶ πένητας· ταῦτα καὶ γεγαμηκότας ἀνιᾷ καὶ ἀγάμους· διὰ ταῦτα φεύγουσι τὴν ἀγορὰν, εἶτα τὴν ἡσυχίαν οὐ φέρουσι· διὰ ταῦτα προαγωγὰς ἐν αὐλαῖς διώκουσι, καὶ παρελθόντες, εὐθὺς βαρύνονται·

Δυσάρεστοι οἱ νοσοῦντες ἀπορίας ὕπο·

καὶ γὰρ ἡ γυνὴ λυπεῖ, καὶ τὸν ἰατρὸν αἰτιῶνται, καὶ δυσχεραίνουσι τὸ κλινίδιον·

vitibus idem quod pauperibus evenire, inquit,

Eſt ergo vitæ conſanguinea moleſtia.
Vitæ hæc adeſt molli, claræ vitæque adeſt,
Inopique conſeneſcit vitæ.

Sed veluti timidi inter navigandum nauſea correpti melius ſe habituros putant ſi in lintrem e lembo, rurſumque inde in triremem conſcendant, nihil agentes ii, quia bilem et metum ſecum transferunt: ita vitæ mutationes non tollunt ex animo id quod ægre facit ac perturbat: id autem eſt imperitia rerum, inopia judicii, et impotentia atque inſcitia recte utendi ſtatu præſenti. Hæc ſane tam divites jactant quam pauperes, tam cœlibes quam conjuges: ob hæc forum fugitur, et rurſus moleſtum eſt otium: ob hæc produci in aulis volunt, et producti ſtatim ægre ferunt:

Ob inopiam moroſi ſunt quibus eſt male:

ægrotis et uxor moleſta eſt, et medicum incuſant, et lectulus diſplicet, et de amicis

Φίλων δ' ὅ, τ' ἐλθὼν, λυπηρὸς, ὅ, τ' ἀπιὼν βαρὺς, D

ὡς ὁ Ἴων φησίν. Εἶτα τῆς νόσου διαλυθείσης, καὶ κράσεως ἑτέρας γενομένης, ἦλθεν ἡ ὑγεία φίλα πάντα ποιοῦσα καὶ προσηνῆ· ὁ γὰρ χθὲς ὠὰ καὶ ἀμύλια, καὶ σητάνειον ἄρτον διαπτύων, τήμερον αὐτόπυρον ἐπ' ἐλαίαις ἢ καρδαμίδι σιτεῖται προσφιλῶς καὶ προθύμως.

δ'. Τοιαύτην ὁ λογισμὸς εὐκολίαν καὶ μεταβολὴν ἐγγενόμενος μεταποιεῖ πρὸς ἕκαστον βίον. Ἀλέξανδρος Ἀναξάρχου περὶ κόσμων ἀπειρίας ἀκούων ἐδάκρυε, καὶ τῶν φίλων ἐρωτώντων ὅ, τι πέπονθεν, Οὐκ ἄξιον, ἔφη, δακρύειν, εἰ κόσμων ὄντων ἀπείρων, ἑνὸς οὐδέπω κύριοι γεγόναμεν; Κράτης δὲ πήραν ἔχων καὶ τρίβωνα, παί- E
ζων καὶ γελῶν ὥσπερ ἐν ἑορτῇ τὸν βίον διετέλεσε. Καὶ μὴν καὶ τὸν Ἀγαμέμνονα, τὸ πολλῶν βασιλεύειν ἐλύπει·

Γνώσεαι Ἀτρείδην Ἀγαμέμνονα, τὸν περὶ πάντων
Ζεὺς ἐνέηκε πόνοισι διαμπερές.——

Διογένης δὲ πωλούμενος ἔσκωπτε τὸν κήρυκα κατακεί-

Gravis eſt qui venit: abiens parit moleſtiam,

ut Ion ait. Morbo autem fugato, aliaque facta temperie, ſanitas redit omnia grata redigens atque jucunda: qui enim heri ova, amylum, panem e cribrata farina reſpuebat, hodie cibarium panem cum oliva et naſturtio comedit alacriter ac ſuaviter.

IV. Eodem modo recta ratio quodvis vitæ genus, quamvis mutationem, facit facilem. Alexander cum infinitos mundos eſſe ex Anaxarcho audiviſſet, flevit: ac rogantibus amicis quid accidiſſet, *Non dignum*, inquit, *fletu vobis videtur, ſi, cum ſint infiniti mundi, nos ne uno quidem etiamnum potiti ſumus?* At Crates pera et palliolo inſtructus, vitam tanquam feſtivitatem quandam per jocum et riſum exigebat. Et quidem Agamemnoni moleſtiam attulit imperium in multos:

Atridem cernes Agamemnona, Juppiter unum
Præ reliquis tot inexhauſtos tolerare labores
Quem jubet aſſidue.—

Contra Diogenes cum venderetur, ſedens ſurgere no-

μενος· ἀναστῆναι δὲ οὐκ ἐβούλετο κελεύοντος, ἀλλὰ παίζων καὶ καταγελῶν ἔλεγεν, Εἰ δὲ ἰχθὺν ἐπίπρασκες; Καὶ Σωκράτης μὲν ἐν δεσμωτηρίῳ φιλοσοφῶν, διελέγετο τοῖς ἑταίροις· ὁ δὲ Φαέθων ἀναβὰς εἰς τὸν οὐρανὸν, ἔκλαιεν εἰ μηδεὶς αὐτῷ τοὺς τοῦ πατρὸς ἵππους καὶ τὰ ἅρματα παραδίδωσιν. Ὥσπερ οὖν τὸ ὑπόδημα τῷ ποδὶ συνδιαστρέφεται, καὶ οὐ τοὐναντίον, οὕτω τοὺς βίους αἱ διαθέσεις συνεξομοιοῦσιν αὑταῖς. Οὐ γὰρ ἡ συνήθεια ποιεῖ τοῖς ἑλομένοις τὸν ἄριστον βίον ἡδὺν, ὥς τις εἶπεν, ἀλλὰ τὸ φρονεῖν ἅμα τὸν αὐτὸν βίον ποιεῖ καὶ ἄριστον καὶ
17 ἥδιστον. Διὸ τὴν πηγὴν τῆς εὐθυμίας, ἐν αὐτοῖς οὖσαν ἡμῖν, ἐκκαθαίρωμεν, ἵνα καὶ τὰ ἐκτὸς, ὡς οἰκεῖα καὶ φίλια, μὴ χαλεπῶς χρωμένοις συμφέρηται,

Τοῖς πράγμασι γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
Μέλει γὰρ αὐτοῖς οὐδὲν, ἀλλ' ὁ τυγχάνων
Τὰ πράγματ' ὀρθῶς ἂν τιθῇ, πράξει καλῶς.

ε'. Κυβείᾳ γὰρ ὁ Πλάτων τὸν βίον ἀπείκασεν, ἐν ᾧ καὶ βαλεῖν δεῖ τὰ πρόσφορα, καὶ βάλοντα, χρῆσθαι

luit, ſubſannavitque venditorem ſurgere jubentem, cum joco et riſu dicens: *Quid faceres ſi piſcem venderes?* Socrates in carcere philoſophans cum amicis colloquebatur. Phaëthon conſcenſo cœlo plorabat, quod nemo ei patris equos et currum traderet. Sicut igitur calceus una cum pede, non in diverſam partem convertitur, ſic animi affectio vitam ſibi conformem reddit. Non enim conſuetudo, ut quidam dixit, vitæ optimum modum electum facit jucundum: ſed prudentia ſimul et optimam et ſuaviſſimam parat vitæ rationem. Ergo fontem Tranquillitatis Animi in nobis inſitum expurgemus: ut externa etiam tanquam familiaria non cum moleſtia nobis accidant atque uſurpentur.

Nihil eſt quod iraſcare rebus ſcilicet:
Non ira curæ illis tua eſt: bene huic erit,
Qui rebus obtingentibus recte utitur.

V. Ludo enim teſſerarum Plato vitam comparabat, ubi et jaciendum eſt quod ſit commodum, et jactu quod cecidit

τῶν δυσχερεστάτων πραγμάτων πολλάκις οἰκεῖόν τι καὶ χρήσιμον αὐτοῖς λαμβάνουσι.

ϛʹ. Τοῦτο οὖν δεῖ πρῶτον ἀσκεῖν καὶ μελετᾶν· ὥσπερ ὁ τῆς κυνὸς ἁμαρτὼν τῷ λίθῳ, καὶ τὴν μητρυιὰν πατάξας, Οὐδ᾽ οὕτως, ἔφη, κακῶς. Ἔξεστι γὰρ μεθιστάναι τὴν τύχην ἐκ τῶν ἀβουλήτων. Ἐφυγαδεύθη Διογένης· οὐδ᾽ οὕτως κακῶς· ἤρξατο γὰρ φιλοσοφεῖν μετὰ τὴν φυγήν. Ζήνωνι τῷ Κιτιεῖ μία ναῦς περιῆν φορτηγὸς, πυθόμενος δὲ ταύτην αὐτόφορτον ἀπολωλέναι συγκλυσθεῖσαν, Εὖγε, εἶπεν, ὦ τύχη, ποιεῖς, εἰς τὸν τρίβωνα καὶ τὴν στοὰν συνελαύνουσα ἡμᾶς. Τί οὖν κωλύει μιμεῖσθαι τούτους; Ἀρχήν τινα τελῶν διήμαρτες; ἐν ἀγρῷ διάξεις ἐπιμελούμενος τῶν ἰδίων. Ἀλλὰ φιλίαν μνώμενος ἡγεμόνος, ἀπώσθης; ἀκινδύνως καὶ ἀπραγμόνως βιώσῃ. Πάλιν ἐν πράγμασιν ἀσχολίας ἔχουσι καὶ φροντίδας γέγονας;

Οὐδὲ θερμὸν ὕδωρ τοσόνδε τέγξει μαλθακὰ γυῖα,

adverſiſſimis ſæpenumero conveniens aliquid et commodum decerpunt.

VI. Id ergo eſt primo omnium exercitatione perdiſcendum, ut quo pacto is qui canem lapide ferire cum voluiſſet, icta noverca, dixit, *Ne ſic quidem jactum lapidis male cecidiſſe:* ita nos quoque ea, quæ nolentibus nobis fortuna obtulit, alio transferre ſciamus. Actus eſt in exſilium Diogenes: ne hoc quidem male: nam factus extorris, philoſophari cœpit. Zeno Citienſis, audito, navi oneraria, quam unicam reliquam habebat, una cum mercibus eſſe vi fluctuum obrutam atque demerſam, *Laudo,* inquit, *tuum factum, O fortuna, quæ nos in palliolum et porticum redigis.* Quid obſtat quo minus iſta imiteris? Obeundo aliquo magiſtratu impegiſti? vives poſtmodo ruri, rerum tuarum ſatagens. Ambiens principis alicujus amicitiam, paſſus es repulſam? vives periculorum et negotiorum liber. Rurſum res geſſiſti curarum et occupationum plenas? atqui *ne calida quidem aqua ita fovebit*

κατὰ Πίνδαρον, ὡς δόξα ποιεῖ, καὶ τὸ τιμᾶσθαι μετά τινος δυνάμεως, πόνον ἡδὺν, κάματόν τ' εὐκάματον. Ἀλλά τις ἀπήντηκεν ἐκ διαβολῆς ἢ φθόνου δυσημε- E ρία καὶ σκορακισμός; ἐπὶ τὰς Μούσας οὔριον τὸ πνεῦμα καὶ τὴν Ἀκαδημίαν, ὥσπερ Πλάτωνι χειμασθέντι περὶ τὴν Διονυσίου φιλίαν. Διὸ καὶ τοῦτο πρὸς Εὐθυμίαν μέγα, τὸ τοὺς ἐνδόξους ἀποθεωρεῖν, εἰ μηδὲν ὑπὸ τῶν αὐτῶν πεπόνθασιν. Οἷον, ἀπαιδία τὸ λυποῦν ἐστι; τοὺς τῶν Ῥωμαίων ὅρα βασιλεῖς, ὧν οὐδεὶς υἱῷ τὴν ἀρχὴν ἀπέλιπε. Πενία δυσφορεῖς παρούσῃ; καὶ τίς ἂν ἐβούλου εἶναι μᾶλλον Βοιωτῶν, ἢ Ἐπαμινώνδας; τίς δὲ Ῥω- F μαίων, ἢ Φαβρίκιος; Ἀλλὰ διέφθαρταί σου τὸ γύναιον; οὐκ ἀνέγνωκας οὖν τὸ ἐπίγραμμα τὸ ἐν Δελφοῖς;

Ὑγρᾶς καὶ τραφερᾶς βασιλεὺς Ἆγίς μ' ἀνέθηκεν·

οὐδὲ ἀκήκοας ὅτι τούτου τὴν γυναῖκα Τιμαίαν Ἀλκιβιάδης διέφθειρε, καὶ τὸ γεννηθὲν, Ἀλκιβιάδην ἐκάλει

F. 4. τραφερᾶς] Sic C. D. Moſc. 1. Salmaſ. Vulgo τρυφερᾶς.

mollia membra, ut eſt apud Pindarum, ſicut gloria et honor conjuncta potentiæ alicui laborem facient dulcem, moleſtiamque moleſtiæ expertem. Accidit per calumniam vel invidiam exſibilatio aliqua et infelix ſucceſſus? ſecundo vento ad Muſas et Academiam navigare licet, quod fecit Plato, poſtquam naufragium amicitiæ cum Dionyſio fecit. Ac profecto ad parandam Animi Tranquillitatem multum conducit, illuſtres viros conſiderare, qui eadem qua nos fortuna æquo ſunt animo uſi. Moleſtum tibi eſt quod prole cares? at Romanorum vide reges, quorum nullus filio regnum reliquit. Paupertas tibi gravis eſt? quis vero Bœotorum eſſe malles quam Epaminondas, aut Romanorum quam Fabricius? Adulterata eſt mulier? nonne legiſti inſcriptionem apud Delphos?

Agis me poſuit terræ rex et maris idem.

et audiviſti uxorem ejus Timæam fuiſſe ab Alcibiade vitiatam, et ancillis inſuſurraſſe,

ψιθυρίζουσα πρὸς τὰς θεραπαινίδας; ἀλλὰ τοῦτο Ἄγιν οὐκ ἐκώλυσεν ἐνδοξότατον Ἑλλήνων εἶναι καὶ μέγιστον.
8 [d]Ὥσπερ οὐδὲ Στίλπωνα τῶν κατ' αὐτὸν φιλοσόφων ἱλαρώτατα ζῆν ἀκόλαστος οὖσα ἡ θυγάτηρ· ἀλλὰ καὶ Μητροκλέους ὀνειδίσαντος, « Ἐμὸν οὖν, ἔφη, ἁμάρτημα « τοῦτ' ἐστιν, ἢ ἐκείνης; εἰπόντος δὲ τοῦ Μητροκλέους, « Ἐκείνης μὲν ἁμάρτημα, σὸν δὲ ἀτύχημα, Πῶς λέ-« γεις, εἶπεν, οὐχὶ τὰ ἁμαρτήματα καὶ διαπτώματά « ἐστι; Πάνυ μὲν οὖν, ἔφη. Τὰ δὲ διαπτώματα, οὐχ « ὧν διαπτώματα, καὶ ἀποτεύγματα; Συνωμολόγησεν « ὁ Μητροκλῆς· Τὰ δὲ ἀποτεύγματα, οὐχ ὧν ἀπο-« τεύγματα, ἀτυχήματα;" πρᾴῳ λόγῳ καὶ φιλοσόφῳ
B κενὸν ἀποδείξας ὕλαγμα τὴν τοῦ Κυνικοῦ βλασφημίαν.

ζʹ. Τοὺς δὲ πολλοὺς οὐ μόνον τὰ τῶν φίλων καὶ οἰκείων, ἀλλὰ καὶ τὰ τῶν ἐχθρῶν ἀνιᾷ καὶ παροξύνει κακά. Βλασφημίαι γὰρ καὶ ὀργαὶ καὶ φθόνοι καὶ κακοήθειαι καὶ ζηλοτυπίαι μετὰ δυσμενείας, αὐτῶν μὲν εἰσι τῶν

Alcibiadem eſſe quem peperit infantem? Verum id Agidi non obſtitit, quo minus Græcorum fieret clariſſimus atque maximus. Neque Stilponem prohibuit jucundiſſime omnium ſuæ ætatis philoſophorum vivere intemperans filia: quin etiam Metrocli id exprobranti, *Meumne*, inquit, *hoc eſt peccatum, an filiæ?* ac dicente Metrocle, *Filiæ peccatum eſt, tuum infortunium: Quid ais?* reſpondit: *nonne peccata etiam ſunt lapſus? Omnino*, aiebat Metrocles. *Quid?* inquit, *nonne lapſus ſunt earum rerum lapſus, quibus aſſequendis excidimus?* Aſſenſit. *Nonne vero*, inquit, *iſtæ a rebus appetitis aberrationes eorum ſunt infortunia qui eas non aſſequuntur?* Sic ille placido et philoſophico ſermone oſtendit vanum latratum eſſe cynicam calumniam.

VII. At multos non amicorum modo et familiarium, ſed inimicorum etiam perturbant atque irritant mala. Nam maledicta, iræ, invidiæ, malevolentiæ, obtrectationes cum malignitate conjunctæ, peſtes

χρωμένους ἀλύπως καὶ ἱλαρῶς ὁρῶμεν. Ἀγαθὸν τοίνυν ἐν τοῖς ἀβουλήτοις συμπτώμασι πρὸς Εὐθυμίαν, καὶ τὸ μὴ παρορᾷν ὅσα προσφιλῆ καὶ ἀστεῖα πάρεστιν ἡμῖν, ἀλλὰ μιγνύντας ἐξαμαυροῦν τὰ χείρονα τοῖς βελτίοσι. Νῦν δὲ τὰς μὲν ὄψεις ἀπὸ τῶν ἄγαν λαμπρῶν τιτρωσκομένας ἀποστρέφοντες, ταῖς ἀνθηραῖς καὶ ποώδεσι χροιαῖς παρηγοροῦμεν· τὴν δὲ διάνοιαν ἐντείνομεν εἰς τὰ λυπηρὰ καὶ προσβιαζόμεθα τοῖς τῶν ἀνιαρῶν ἐνδιατρίβειν ἀναλογισμοῖς, μονονοὺ βίᾳ τῶν βελτιόνων ἀποσπάσαντες. Καίτοι τό γε πρὸς τὸν πολυπράγμονα λελεγμένον οὐκ ἀηδῶς, δεῦρ' ἐπὶ μετενεγκεῖν,

Τί τἀλλότριον, ἄνθρωπε βασκανώτατε,
Κακὸν ὀξυδορκεῖς, τὸ δ' ἴδιον παραβλέπεις;

τί τὸ σεαυτοῦ κακόν, ὦ μακάριε, λίαν καταβλέπεις, καὶ ποιεῖς ἐναργὲς ἀεὶ καὶ πρόσφατον, ἀγαθοῖς δὲ παροῦσιν οὐ προσάγεις τὴν διάνοιαν; ἀλλ' ὥσπερ αἱ σικῦαι τὸ χείριστον ἐκ τῆς σαρκὸς ἕλκουσιν, οὕτω τὰ κάκιστα τῶν ἰδίων συνάγεις ἐπὶ σαυτόν; οὐδέν τι τοῦ Χίου βελτίων

lore et cum hilaritate uti. Jam id quoque multum ad Animi Tranquillitatem confert, ſi in his quæ nobis invitis evenerunt, non negligamus in hæc intueri quæ nobis grata et venuſta adſunt: ſed mixtione utrorumque inſtituta, meliorum momentis deteriora aboleamus. Sed nos, qui oculos nimio ſplendore offenſos ad florida et viridia avertentes reficimus: iidem cogitationem rebus dolorem afferentibus intendimus, eamque recenſioni moleſtiarum immorari cogimus, tantum non abſtractam a melioribus. Atqui huc non inepte transferri poteſt, quod ſcite dictum eſt in curioſum,

Aliena quorſum acute perspicis mala,
In propriis cæcus hominum invidiſſime?

Quid enim mala tua, mi homo, nimis ſubtili viſu perſpiciens, ſemper conſpicua facis ac renovas? bonis autem præſentibus animum non adhibes? ſed, quemadmodum cucurbitulæ deterrimum e carne ſanguinem eliciunt, ita de rebus tuis peſſima quæque adverſum te colligis? nihil ſane Chio

γενόμενος, ὃς πολὺν καὶ χρηστὸν οἶνον ἑτέροις πιπράσκων, C
ἑαυτῷ πρὸς τὸ ἄριστον ὀξίνην ἐζήτει διαγευόμενος· οἰκέτης δέ τις ἐρωτηθεὶς ὑφ' ἑτέρου τί ποιοῦντα τὸν δεσπότην καταλέλοιπεν, Ἀγαθῶν, ἔφη, παρόντων, κακὰ ζητοῦντα. Καὶ γὰρ οἱ πολλοὶ τὰ χρηστὰ καὶ πότιμα τῶν ἰδίων ὑπερβαίνοντες, ἐπὶ τὰ δυσχερῆ καὶ μοχθηρὰ τρέχουσιν. Ὁ δὲ Ἀρίστιππος οὐ τοιοῦτος, ἀλλ' ἀγαθὸς, ὥσπερ ἐπὶ ζυγοῦ, πρὸς τὰ βελτίονα τῶν ὑποκειμένων ἐξαναφέρειν καὶ ἀνακουφίζειν αὑτόν· χωρίον οὖν ἀπολέσας καλὸν, ἠρώτησεν ἕνα τῶν πάνυ προσποιουμένων συνάχθεσθαι καὶ συναγανακτεῖν, Οὐχὶ σοὶ μὲν χωρίδιον ἕν ἐστιν, D
ἐμοὶ δὲ τρεῖς ἀγροὶ καταλείπονται; συνομολογήσαντος δ' ἐκείνου, Τί οὖν, εἶπεν, οὐ σοὶ μᾶλλον ἡμεῖς συναχθόμεθα; Μανικὸν γάρ ἐστι τοῖς ἀπολλυμένοις ἀνιᾶσθαι, μὴ χαίρειν δὲ τοῖς σωζομένοις, ἀλλ' ὥσπερ τὰ μικρὰ παιδάρια, ἀπὸ πολλῶν παιγνίων ἂν ἕν τις ἀφέληταί τι,

C. 2. τὸ ἄριστον] Sic Moſc. 1. Vulgo, τὸν ἄριστον.
C. 5. τῶν ἰδίων] Lege ἡδίων. Mez.

illi præſtans, qui multo boni vini aliis divendito, acidum ſibi ad cœnam guſtando exquirebat: ſervus autem quidam ab alio interrogatus, *quidnam rei agentem herum reliquiſſet*, reſpondit, *Bonis præſentibus mala quærentem.* Plerique enim bonis et ſuavibus rebus præteritis, ad difficilia et gravia toleratu currunt. Ex horum numero non fuit Ariſtippus, gnarus quaſi in trutina meliorum rerum momentis adverſus incommoda ſeſe ſublevare atque efferre: itaque prædio amiſſo quodam egregio, ex aliquo eorum qui majorem in modum ſe caſum ejus dolere et inique ferre ſimulabant, quæſivit, *Nonne tu unicum poſſides agellum, mibi tres fundi ſunt reliqui?* Aſſenſo, *Cur itaque non tuam potius vicem doleam?* inquit. Eſt enim inſani, ob amiſſa dolore affici, non gaudere relictis, ac ſicut pueruli, ſi quis ludicrarum rerum unam ipſis auferat, reliquis etiam omni-

καὶ τὰ λοιπὰ πάντα περιρρίψαντα κλαίειν καὶ βοᾷν, τὸν αὐτὸν τρόπον ἡμᾶς περὶ ἓν ὀχληθέντας ὑπὸ τῆς τύχης, καὶ τἄλλα πάντα ποιεῖν ἀνόητα ἑαυτοῖς, ὀδυρομένους καὶ δυσφοροῦντας.

E θ'. Καὶ τί, φήσαι τις ἂν, ἔχομεν; Τί δὲ οὐκ ἔχομεν; ὁ μὲν δόξαν, ὁ δὲ οἶκον, ὁ δὲ γάμον, τῷ δὲ φίλος ἀγαθός ἐστιν. Ἀντίπατρος δὲ ὁ Ταρσεὺς, πρὸς τῷ τελευτᾷν, ὧν ἔτυχεν ἀγαθῶν ἀναλογιζόμενος, οὐδὲ τὴν εὔπλοιαν παρέλιπε τὴν ἐκ Κιλικίας αὐτῷ γενομένην εἰς Ἀθήνας. Δεῖ δὲ καὶ τὰ κοινὰ μὴ παρορᾷν, ἀλλ' ἔν τινι λόγῳ τίθεσθαι, καὶ χαίρειν ὅτι ζῶμεν, ὑγιαίνομεν, τὸν ἥλιον ὁρῶμεν· οὐ πόλεμος, οὐ στάσις ἐστίν· ἀλλὰ καὶ ἡ γῆ παρέχει γεωργεῖν, καὶ θάλασσα πλεῖν ἀδεῶς τοῖς βουλομένοις· καὶ λέγειν ἔξεστι καὶ σιωπᾷν, καὶ πράττειν
F καὶ σχολάζειν. Εὐθυμήσομεν δὲ τούτοις μᾶλλον παροῦσιν, ἂν μὴ παρόντων αὐτῶν φαντασίαν λαμβάνωμεν· ανα-

E. 1. φήσαι τις ἂν, ἔχομεν;] Ita omnes libri, excepto Steph. et tribus Gr. Latinis, ubi vitioſe legitur, φήσαι τις ἂν οὐκ ἔχομεν;

bus projectis plorant ac vociferantur, ita una aliqua in re fortuna nobis obturbante, inique ferendo et lamentando cætera omnia nobis reddere inutilia.

IX. Diceres, quid habemus? Immo autem, quid non habemus? huic gloria, illi familia, alii conjugium, alii bonus amicus contigit. Antipater Tarſenſis, cum jam moriturus bona quæ ipſi contigiſſent recenſeret, ne proſperam quidem navigationem prætermiſit, qua e Cilicia Athenas uſus fuerat. Communia quoque negligenda non ſunt, ſed eorum habenda ratio eſt, et gaudendum quod vivimus, valemus, Solem videmus, bellum nullum, nulla eſt ſeditio, terra cultui, mare navigationi libere proſtat, licet nobis loqui, tacere, res agere, otio frui. Hæc præſentia majorem nobis animi parabunt tranquillitatem, ſi abſentium imagines nobis fingamus, ſæpius nobiſcum memoria repetentes,

μιμνήσκοντες αὐτοὺς πολλάκις, ὡς ποθεινόν ἐστιν ὑγίεια νοσοῦσι, καὶ πολεμουμένοις εἰρήνη, καὶ κτήσασθαι δόξαν ἐν πόλει τηλικαύτῃ καὶ φίλους, ἀγνῶτι καὶ ξένῳ· καὶ τὸ στέρεσθαι γενομένων, ὡς ἀνιαρόν. Οὐ γάρ τότε τῶν μέγα καὶ τίμιον ἕκαστον ἡμῖν ὅταν ἀπόληται, σωζόμενον δὲ, τὸ μηδὲν ἐστιν. Οὐδὲν γὰρ ἀξίαν τὸ μὴ εἶναι προστίθησιν. Οὐδὲ δεῖ κτᾶσθαι μὲν ὡς μεγάλα, καὶ τρέμειν ἀεὶ δεδιότας, ὡς ὑπὲρ μεγάλων, μὴ στερηθῶμεν· ἔχοντας δὲ, παρορᾷν καὶ καταφρονεῖν ὡς μηδενὸς ἀξίων· ἀλλὰ 471
χρῆσθαι μάλιστα ἐπὶ τῷ χαίρειν καὶ ἀπολαύειν αὐτῶν, ἵνα καὶ τὰς ἀποβολὰς, ἂν συντυγχάνωσι, πρᾳότερον φέρωμεν. Οἱ δὲ πολλοὶ ποιήματα μὲν, ὡς ἔλεγεν Ἀρκεσίλαος, ἀλλότρια καὶ γραφὰς καὶ ἀνδριάντας, οἴονται δεῖν ἀκριβῶς καὶ κατὰ μέρος ἕκαστον ἐπιπορευόμενοι τῇ διανοίᾳ καὶ τῇ ὄψει θεωρεῖν, τὸν δ' αὐτῶν βίον ἔχοντα πολλὰς οὐκ ἀτερπεῖς ἀναθεωρήσεις ἐῶσιν, ἔξω βλέποντες ἀεὶ καὶ θαυμάζοντες ἀλλοτρίας δόξας καὶ τύχας, ὥσπερ

quam deſiderabilis ſit ægrotanti ſanitas, in bello conſtitutis pax, gloriæ in tanta urbe et amicorum copia peregrino et ignoto: et quam ſit moleſtum privari partis iis. Sic fiet, ut non tum demum magna ac præclara ſingula iſta deputemus, quando amittimus: ante autem, et dum potimur, pro nihilo ducamus. Non enim pretium rebus iſtis interitus addit. Neque eas debemus tanquam magnas comparare, ſemperque trepidare et metuere ne tantis rebus ſpoliemur; dum vero poſſidemus, tanquam nullius pretii res contemnere et negligere: ſed ita maxime frui, ut voluptatem ex iis gaudiumque capiamus; ut etiam amiſſionem eorum, ſicubi accidat, æquiore animo feramus. Sed plerique poëmata, ut aiebat Arceſilaus, aliena, et picturas, et ſtatuas putant ſibi exacte ſingulis partibus animo oculiſque perluſtratis contemplanda: vitam autem ſuam multa habentem conſideratu non injucunda prætereunt, foras ſemper proſpicientes, aliorumque famam et fortunam admirantes: ſicut a-

μοιχοὶ τὰς ἑτέρων γυναῖκας, αὑτῶν δὲ καὶ τῶν ἰδίων καταφρονοῦντες.

B ι΄. Καίτοι καὶ τοῦτο μέγα πρὸς Εὐθυμίαν ἐστί, τὸ μάλιστα μὲν αὑτὸν ἐπισκοπεῖν καὶ τὰ καθ' ἑαυτόν, εἰ δὲ μή, τοὺς ὑποδεεστέρους ἀποθεωρεῖν, καὶ μή, καθάπερ οἱ πολλοί, πρὸς τοὺς ὑπερέχοντας ἀντιπαρεξάγουσιν. Οἷον εὐθύς, οἱ δεδεμένοι εὐδαιμονίζουσι τοὺς λελυμένους, ἐκεῖνοι δὲ τοὺς ἐλευθέρους· οἱ δὲ ἐλεύθεροι τοὺς πολίτας, οὗτοι δὲ πάλιν αὖ τοὺς πλουσίους· οἱ δὲ πλούσιοι τοὺς σατράπας, οἱ δὲ σατράπαι τοὺς βασιλεῖς· οἱ δὲ βασιλεῖς τοὺς θεούς, μονονουχὶ βροντᾶν καὶ ἀστράπτειν ἐθέλοντες· εἶτα οὕτως ἀεὶ τῶν ὑπὲρ ἑαυτοὺς ἐνδεεῖς ὄντες, οὐδέποτε τοῖς καθ' ἑαυτοὺς χάριν ἔχουσιν.

C *Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει·*

καί,

Οὐδ' εἷλέ πώ με ζῆλος, οὐδ' ἀγαίομαι
Θεῶν ἔργα, μεγάλης δ' οὐκ ἐρῶ τυραννίδος·
Ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.

Θάσιος γὰρ ἐκεῖνος ἦν; Ἄλλος δέ τις Χῖος, ἄλλος δὲ

B. 4. ἀντιπαρεξάγουσιν] Legendum ἀντιπαρεξάγειν: niſi forte quædam exciderint.

C. 6. Θάσιος γὰρ ἐκεῖνος ἦν;] Puto ſanum eſſe, ea quidem ſententia quam in Latinis expreſſi vertendo, in Græcis interpungendo.

dulteri alienas ſpectant mulieres, ſuas deſpiciunt.

X, Cæterum id quoque ad Animi Tranquillitatem magnopere conducit, maxime quidem ſe et ſuas res intueri: ſin vero id non poſſit locum habere, non cum præſtantioribus ſe comparare: quo vitio vulgo laboratur. Nam, verbi gratia, qui vincti ſunt, ſolutorum laudant fortunam, ſoluti liberorum, liberi civium, cives divitum, divites ſatraparum, ſatrapæ regum, reges deorum, tantum non tonare et fulgurare cupientes.

Non res mihi ſunt cordi Gygæ divitiis,
Neque cepit æmulatio me, ſuperum neque
Magna obſtupeſco facta, nec tyrannidem
Magnam appeto, procul ab oculis ſita eſt meis.

At vero Thaſius, ais, hic fuit! Atqui eſt alius, Chius, Ga-

Γαλάτης ἢ Βιθυνὸς, οὐκ ἀγαπῶν εἴ τινος μερίδος ἢ δόξαν ἢ δύναμιν ἐν τοῖς ἑαυτοῦ πολίταις εἴληχε, ἀλλὰ κλαίων ὅτι μὴ φορεῖ πατρικίους· ἐὰν δὲ καὶ φορῇ, ὅτι μηδέπω στρατηγεῖ Ῥωμαίων· ἐὰν δὲ καὶ στρατηγῇ, ὅτι μὴ ὑπατεύει· καὶ ὑπατεύων, ὅτι μὴ πρῶτος ἀλλ' ὕστερος ἀνηγορεύθη. Τοῦτο τί δὲ ἐστί; τί ἄλλο, ἢ συλλέγοντα προφάσεις ἀχαριστίας ἐπὶ τὴν τύχην, αὐτὸν ὑφ' αὐτοῦ κολάζεσθαι καὶ διδόναι δίκην; Ἀλλ' ὅγε νοῦν ἔχων σωτήρια φρονοῦντα τοῦ ἡλίου μυριάδας ἀνθρώπων ἀπείρους ἐφορῶντος, D

Εὐρυεδοῦς γ' ὅσοι καρπὸν αἰνύμεθα χθονὸς,

οὐκ εἴ τινων ἧττον ἔνδοξός ἐστι καὶ πλούσιος, ὀδυρόμενος κάθηται καὶ ταπεινούμενος, ἀλλ' ὅτι μυρίων μυριάκις ἐν τοσούτοις εὐσχημονέστερον ζῇ καὶ βέλτιον, ὑμνῶν τὸν ἑαυτοῦ δαίμονα καὶ τὸν βίον, ἐν ὁδῷ πρόεισιν. Ἐν Ὀλυμπίᾳ μὲν γὰρ οὐκ ἔστι νικᾶν ἐκλεγόμενον ἀντιπάλους· ἐν τῷ

C. 9. φορῇ,—στρατηγῇ] Sic D. Vulgo, φορῶν—στρατηγῶν.

lata, vel Bithynus, non contentus ſe aliquo inter ſuos cives loco, in honore et cum potentia eſſe, plorat ſe non geſtare veſtem patriciam: et ſi ferat, quod non ſit prætor Romanorum: et hoc adeptus, quod non conſul: et conſul, quod non prior, ſed poſterior fuerit renunciatus. Hoc autem quid eſt aliud, quam occaſiones ingrato animo fortunam accuſandi conquirentem, a ſeipſo ſumere ſupplicium? At qui ſana mente præditus ſalubriter ſapit, is Sole infinita millia hominum intuente,

Amplæ quicunque fruuntur terræ frugibus,

non ſi quem de his gloria ſibi et opibus præſtare videt, ideo deplorans ſortem ſuam abjecto animo ſedet, ſed in publicum procedit, fortunam ſuam et vitam prædicans, quæ ſibi in tanta multitudine aliis beatior obtigit. In Olympiaco quidem certamine non ita permittêre vincere, ut ipſe tibi quicum certes deligas. At

E βίῳ δὲ τὰ πράγματα δίδωσι πρωτεύοντα πολλῶν μέγα φρονεῖν, καὶ ζηλωτὸν μᾶλλον εἶναι ἢ ζηλοῦν ἑτέρους· ἄν γε δὴ μὴ τοῦ Βριάρεω μηδὲ τοῦ Ἡρακλέους ποιήσῃς σεαυτὸν ἀνταγωνιστήν. Ὅταν οὖν πάνυ θαυμάσῃς ὡς κρείττονα τὸν ἐν τῷ φορείῳ κομιζόμενον, ὑποκύψας θέασαι καὶ τοὺς βαστάζοντας· καὶ ὅταν διαβαίνοντα τὴν σχεδίαν μακαρίσῃς τὸν Ξέρξην ἐκεῖνον, ὡς ὁ Ἑλλησπόντιος, ἴδε καὶ τοὺς ὑπὸ μάστιξι διορύττοντας τὸν Ἄθω, καὶ τοὺς περικοπτομένους ὦτα καὶ ῥῖνας ἐπὶ τῷ διαλυθῆναι τὴν γέφυραν ὑπὸ τοῦ κλύδωνος· ἅμα καὶ τὴν ἐκείνων
F ἀποθεωρῶν διάνοιαν, ὅτι τὸν σὸν βίον καὶ τὰ σὰ πράγματα μακαρίζουσιν. Ὁ Σωκράτης ἀκούσας τινὸς τῶν φίλων λέγοντος ὡς πολυτελὴς ἡ πόλις· μνᾶς ὁ Χῖος οἶνος· ἡ πορφύρα, τριῶν μνῶν· τοῦ μέλιτος ἡ κοτύλη, πέντε δραχμῶν· λαβὼν αὐτὸν προσήγαγε τοῖς ἀλφίτοις, Ὀβολοῦ τὸ ἡμίεκτον, εὐτελὴς ἡ πόλις· εἶτα ταῖς ἐλαίαις, δυοῖν χαλκοῖν ἡ χοῖνιξ, εὐτελὴς ἡ πόλις· εἶτα

in vita licet, ac res humanæ concedunt ut cum multis præſtes felicitate, magno ſis animo aliiſque potius æmulandus, quam aliorum admirator: ſiquidem te non cum Briareo aut Hercule componas. Ergo ubi magna te ceperit admiratio ejus qui lectica geſtatur, oculis paululum demiſſis etiam bajulos contemplare: et cum Xerxem illum rati mare tranſeuntem cum Helleſpontio illo beatum prædicabis, inſpice etiam eos qui flagellis urgentibus Atho montem perforant, et quibus ob ruptum fluctibus pontem aures nareſque amputantur, ſimulque eorum ſenſum conſidera, quod vitam et res tuas ii felices exiſtimant. Socrates quendam amicorum audiens dicere, *Quam caro in hac urbe pretio vivitur? mina venditur vinum Chium, purpura tribus, mellis hemina quinque denariis:* adduxit ad farinas, *Hic*, dicens, *ſemiſextarius venditur obolo: exiguo pretio in Urbe vivitur:* tum ad olivas, *Duobus æreis chœnix*; deinde ad exomides, *Hæc di-*

ταῖς ἐξωμίσι, δέκα δραχμῶν, εὐτελὴς ἡ πόλις. Οἷα οὖν καὶ ἡμεῖς, ὅταν ἀκούσωμεν ἑτέρου λέγοντος ὡς μικρὰ τὰ καθ' ἡμᾶς πράγματα καὶ λυπρὰ δεινῶς, μὴ 47 ὑπατευόντων, μηδὲ ἐπιτροπευόντων, ἔξεστιν εἰπεῖν, Λαμπρὰ τὰ καθ' ἡμᾶς πράγματα, καὶ ζηλωτὸς ἡμῶν ὁ βίος· οὐ προσαιτοῦμεν, οὐκ ἀχθοφοροῦμεν, οὐ κολακεύομεν.

ια΄. Οὐ μὴν ἀλλ' ἐπεὶ πρὸς ἑτέρους μᾶλλον ἢ πρὸς αὐτοὺς ὑπ' ἀβελτηρίας εἰθίσμεθα ζῆν, καὶ πολὺ τὸ δύσζηλον ἡ φύσις ἔχουσα καὶ τὸ βάσκανον, οὐ χαίρει τοσοῦτον τοῖς ἰδίοις, ὅσον ἀνιᾶται τοῖς ἀλλοτρίοις ἀγαθοῖς· μὴ μόνον ὅρα τὰ λαμπρὰ καὶ τὰ περιβόητα τῶν ζηλουμένων ὑπὸ σοῦ καὶ θαυμαζομένων, ἀλλ' ἀνακαλύψας καὶ διαστείλας, ὥσπερ ἀνθηρὸν παραπέτασμα, τὴν δόξαν αὐτῶν καὶ τὴν ἐπιφάνειαν, ἐντὸς γενοῦ, καὶ κατόψει πολλὰ δυσχερῆ καὶ πολλὰς ἀηδίας ἐνούσας αὐτοῖς. Ὁ B

F. 8. ἐξωμίσι] Sic Baſ. Xyl. Moſc. 1. 2. Colleg. Nov. Schott. Jannot. Mez. Ceteri et vulgo ἐξαμίσι.

cem drachmis venditur veſtis; exiguo in hac urbe vivitur pretio. Ita et nos, cum audiemus aliquem pronunciantem tenues res noſtras eſſe et afflictas, qui conſules aut procuratores non ſimus; eſſe nos in lauta atque ſplendida re dicemus, ut qui neque mendicemus, neque oneribus bajulandis aut adulando vivamus.

XI. Enimvero quando ea eſt noſtra ſtultitia ut, magis aliorum quam noſtri reſpectu vivere adſueſcamus, ingeniumque ita eſt obtrectatione et invidentia corruptum, ut non tam gaudeamus noſtris bonis, quam ob aliorum bona doleamus: eorum quos æmularis atque admiraris, non tantum vide ſplendida illa et nobilia bona, ſed aperiens ea, et gloriæ ac ſpeciei tanquam florido aliquo conopeo reducto, intus penetra, cernes multa moleſta et minime jucunda iis ineſſe. Pittacus ille, cui mag-

υ Πιτ]ακὸς ἐκεῖνος, οὗ μέγα μὲν ἀνδρείας, μέγα δὲ ίας καὶ δικαιοσύνης κλέος, εἱςία ξένους· ἐπελθοῦσα δὲ ικὴ μετ' ὀργῆς ἀνέτρεψε τὴν τράπεζαν· τῶν δὲ ξέ-διατετραπέντων, Ἑκάςῳ τι, ἔφη, ἡμῶν κακόν ἐςιν, ὐ τοὐμὸν, ἄριςα πράττει.

Οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται,
Ὅταν δ' ἀνοίξῃ τὴν θύραν, τρισάθλιος.
Γυνὴ κρατεῖ πάντων, ἐπιτάττει, μάχετ' ἀεί.
Ἀπὸ πλειόνων ὀδυνᾶτ', ἐγὼ δ' ἀπ' οὐδενός.

αῦτα πολλὰ καὶ πλούτῳ καὶ δόξῃ καὶ βασιλείᾳ όσεςιν ἄδηλα τοῖς πολλοῖς· ἐπιπροσθεῖ γὰρ ὁ τῦφος,

Ὦ μάκαρ Ἀτρείδη, μοιρηγενὲς, ὀλβιόδαιμον·

θεν οὗτος ὁ μακαρισμὸς, ὅπλων καὶ ἵππων καὶ ςρα-κις περικεχυμένης· αἱ δὲ τῶν παθῶν φωναὶ πρὸς τὴν ὼ δόξαν ἔνδοθεν ἀντιμαρτυροῦσι,

Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ.

—— Ζηλῶ σε γέρον,

. ὦ δὲ τοὐμὸν] Xyl. C. D. Colleg. Nov. Jannot. ὦ δὲ τοῦτο μόνον. Ceteri vulgatum tuentur, exiguo diſcrimine.

a fortitudo, ſapientia, et itia paraverunt gloriam, a hoſpites convivio excc-et, uxorque irata ſuperve-et, et menſam ſubvertiſſet, pitibus perturbatis, *Uni-que*, inquit, *veſtrum eſt mali uid: feliciſſimus hic, cui tantum.*

ic in foro beatus eſſe creditur,
um foribus apertis fit ſuis miſerrimus:
nperat mulier, jubet omnia, ſemper li-tigat.
Multa adferunt illi dolorem, nil mihi.

lia multa opibus, gloriæ, regno inhærent, ignota vulgo: officit enim luminibus faſtus.

O felix, ſatiſque Atrida beantibus orte:

extrinſecus illa beatitatis lau-datio ducta, ob circumfuſam armorum, equorum, militum copiam: at intus voces per-turbationum animi vanæ huic gloriæ reclamant,

Juppiter implicuit noxæ me prorſus acer-bæ.

Item hæc,

Suſpicio te, o ſenex,

Ζηλῶ δ' ἀνδρῶν ὃς ἀκίνδυνον
Βίον ἐξεπέρασεν ἀγνὼς, ἀκλεής.

Ἔξεστιν οὖν καὶ τούτοις τοῖς ἐπιλογισμοῖς ἀπαρύτειν τοῦ πρὸς τὴν τύχην μεμψιμοίρου, καὶ διὰ τὸ θαυμάζειν τὰ τῶν πλησίον, ἐκταπεινοῦντος τὰ οἰκεῖα καὶ καταβάλλοντος. D

ιβ'. Οὐχ ἥκιστα τοίνυν εὐθυμίαν κολούει τὸ μὴ συμμέτροις χρῆσθαι πρὸς τὴν ὑποκειμένην δύναμιν ὁρμαῖς, ὥσπερ ἱστίοις, ἀλλὰ μειζόνων ἐφιεμένους ταῖς ἐλπίσιν, εἶτ' ἀποτυγχάνοντας, αἰτιᾶσθαι δαίμονα καὶ τύχην, ἀλλὰ μὴ τὴν αὑτῶν ἀβελτηρίαν. Οὐδὲ γὰρ ὁ τοξεύειν τῷ ἀρότρῳ βουλόμενος, καὶ τῷ βοῒ τὸν λαγὼ κυνηγετεῖν, δυστυχής ἐστιν· οὐδὲ τῷ γρίφοις καὶ σαγήναις ἐλάφους μὴ λαμβάνοντι, μηδεὶς δαίμων ἐναντιοῦται μοχθηρὸς, ἀλλ' ἀβελτηρία καὶ μοχθηρία τοῖς ἀδυνάτοις ἐπιχειροῦσιν. Αἴτιον δὲ ἡ φιλαυτία μάλιστα, φιλοπρώτους ποιοῦσα καὶ φιλονείκους ἐν πᾶσι, καὶ πάντων ἐπιδραττομένους E

D. 10. ἐπιχειροῦσιν] Lege ἐπιχειροῦσαι, vel ἐπιχειροῦντα cum Reiſkia.

Et quicunque virorum
Sine periclo vitam exegit
Inglorius, ignotuſque.

Ergo id genus ratiocinationes valent ad carpendum exhauriendumque hunc animi morbum, quo de fortuna noſtra queruli, ob vicinorum admirationem res noſtras extenuamus ac deprimimus.

XII. Id quoque non leviter tranquillitati mentis obeſt, quod non mediocribus et ad facultates noſtras accommodatis appetitionibus, tanquam velis, utimur: ſed ſpe majorum rerum concepta, poſtmodo fruſtrante conatu genium fortunamque incuſamus, non noſtram, quod erat rectius, ſtultitiam. Etenim non is infortunatus eſt, qui jaculari aratro, aut bove leporem venari voluit: neque ei qui fruſtra verriculo aut funda captavit cervum, ullus malus adverſatur genius: ſed ſtultitia et perverſitas eum ad tentanda impoſſibilia adigentes. In culpa eſt ſui amor, ſtudium ingenerans primas ſibi in omnibus rebus contentioſe arrogan-

ἀπλήστως. Οὐ γὰρ πλούσιοι μόνον ὁμοῦ καὶ λόγιοι καὶ ἰσχυροὶ καὶ συμποτικοὶ καὶ ἡδεῖς εἶναι καὶ φίλοι βασιλέων, καὶ πόλεων ἄρχοντες ἀξιοῦσιν· ἀλλ᾽ εἰ μὴ καὶ κύνας ἕξουσι πρωτεύοντας ἀρετῇ, καὶ ἵππους καὶ ὄρτυγας καὶ ἀλεκτρυόνας, ἀθυμοῦσι. Διονύσιος ὁ πρεσβύτερος, οὐκ ἠγάπα μέγιστος ὢν τῶν τότε τυράννων, ἀλλ᾽ ὅτι Φιλοξένου τοῦ ποιητοῦ μὴ βέλτιον ᾖδε μηδὲν, μηδὲ περιῆν ἐν τῷ διαλέγεσθαι Πλάτωνος, ὀργισθεὶς καὶ παροξυνθεὶς, τὸν μὲν εἰς τὰς λατομίας ἐνέβαλε, τὸν δὲ ἀπέδοτο πέμψας εἰς Αἴγιναν. Οὐ τοιοῦτος Ἀλέξανδρος, ἀλλ᾽ ἐπεὶ Κρίσων ὁ σταδιοδρόμος ἁμιλλώμενος αὐτῷ περὶ τάχους, ἔδοξεν ἑκὼν παρεῖναι, σφόδρα διηγανάκτησεν. Εὖ δὲ καὶ ὁ ποιητικὸς Ἀχιλλεὺς παρειπὼν,

Τοῖος ἐὼν οἷος οὔτις Ἀχαιῶν χαλκοχιτώνων,

ἐπήνεγκεν,

E. 9. ᾖδε] Sic D. Pol. Jannot. Mez. Vulgo, ᾔδει. Proximum μηδὲν, delendum.
F. 3. Κρίσων] Sic in D. et alio Plutarchi loco, ſupra p. 58. E. et præ Βρίσων vulgato probat Palmer. Exerc. p. 214.

di, et inexſaturabili cupiditate omnia aggrediundi: non enim divites modo ſimul, et docti, et robuſti, et ad compotandum idonei, et comes eſſe atque amici regum et urbium principes volunt: ſed male ſecum agi putant, niſi canes etiam, et equos, et coturnices, et gallos aliis habeant præſtantiores. Dionyſius major non contentus omnium ea tempeſtate tyrannorum quod eſſet maximus, irritato atque exaſperato animo quod Philoxenum poëtam canendo, Platonem diſſerendo non ſuperaret, alterum in lapicidinas conjecit, alterum in Æginam vendidit. Non hoc modo egit Alexander: qui cum Criſo ſtadii curſor cum ipſo de velocitate certans dedita opera viſus fuiſſet ſuccumbere, vehementer eſt indignatus. Probe etiam Homericus Achilles, cum dixiſſet,

Non me inter Danaos cum ſit præſtantior alter,

ſubjecit,

Ἐν πολέμῳ· ἀγορῇ δὲ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι.

Μεγάβυζον δὲ τὸν Πέρσην εἰς τὸ ζωγραφεῖον ἀναβάντα τοῦ Ἀπελλοῦ, καὶ λαλεῖν ἐπιχειρήσαντα περὶ τῆς τέχνης ἐπεστόμισεν ὁ Ἀπελλῆς, εἰπὼν, Ἕως μὲν ἡσυχίαν ἦγες, ἐδόκεις τις εἶναι διὰ τὰ χρυσία καὶ τὴν πορφύραν, νυνὶ δὲ καὶ ταυτὶ τὰ τρίβοντα τὴν ὤχραν παιδάρια καταγελᾷ σου φλυαροῦντος. Ἀλλ' ἔνιοι τοὺς μὲν Στωϊκοὺς οἴονται παίζειν, ὅταν ἀκούσωσι τὸν σοφὸν παρ' αὐτοῖς μὴ μόνον φρόνιμον καὶ δίκαιον καὶ ἀνδρεῖον, ἀλλὰ καὶ ῥήτορα καὶ στρατηγὸν καὶ ποιητὴν καὶ πλούσιον καὶ βασιλέα προσαγορευόμενον, αὐτοὺς δὲ πάντων ἀξιοῦσι τούτων· κἂν μὴ τυγχάνωσιν, ἀνιῶνται. Καίτοι καὶ τῶν θεῶν ἄλλος ἄλλην ἔχων δύναμιν, ὁ μὲν, Ἐνυάλιος, ὁ δὲ, Μαντῷος, ὁ δὲ, Κερδῷος ἐπονομάζεται· καὶ τὴν Ἀφροδίτην ὁ Ζεὺς, ὡς οὐ μετὸν αὐτῇ πολεμικῶν ἔργων, ἐπὶ γάμους ἀποστέλλει καὶ θαλάμους.

ιγ'. Τινὰ γὰρ οὐδὲ συνυπάρχειν, ἀλλὰ μᾶλλον ὑπεναντιοῦσθαι πέφυκεν ἀλλήλοις τῶν σπουδαζομένων· οἷον,

Pugnando: mea namque aliis facundia cedat.

Megabyzo Perſæ cum in officinam Apellis pictoris deſcendiſſet, et neſcio quid de arte dicere cœpiſſet, ſilentium impoſuit Apelles his verbis: *Quandiu tacebas, exiſtimabare aliquid eſſe ob auri et purpuræ ornamenta: at nunc te nugantem etiam puerufi iſti ochram terentes derident.* Sed nonnulli Stoicos ludere putant, quando ab iis audiunt ſapientem non modo prudentem, juſtum, fortem, ſed rhetorem quoque, imperatorem, poëtam, divitem, regemque cognominari; cum interim hos ſibi titulos ipſi arrogent omnes, et, niſi obtinent, indignentur. Atqui Deorum alius alia virtute præditus, hic bellicoſus, ille fatidicus, rurſum alius lucri præſes nominatur: et Venerem Jupiter, quod ad eam res bellicæ nihil pertinerent, ad nuptias et cubilia ablegat.

XIII. Et vero ſunt quæ ſimul locum habere non poſſint, ſed invicem pugnent ſtudia: puta, otio opus habet di-

ἄσκησις λόγων καὶ μαθημάτων ἀνάληψις, ἀπραγμοσύνης δεῖται καὶ σχολῆς· δυνάμεις δὲ πολιτικαὶ, καὶ φιλίαι βασιλέων, οὐκ ἄνευ πραγμάτων οὐδὲ ἀσχολιῶν παραγίγνονται· καὶ μὴν οἶνός τε καὶ σαρκῶν ἐμφόρησις σῶμα μὲν ἰσχυρὸν ποιοῦσι καὶ ῥωμαλέον, ψυχὴν δὲ ἀσθενῆ·
C καὶ χρημάτων ἐπιμέλεια μὲν καὶ τήρησις συνεχὴς αὔξει πλοῦτον, ὑπεροψία δὲ καὶ καταφρόνησις, μέγα πρὸς φιλοσοφίαν ἐφόδιον. Ὅθεν οὐ πάντα πάντων ἐστὶν, ἀλλὰ δεῖ τῷ Πυθικῷ γράμματι πειθόμενον, αὑτὸν καταμαθεῖν· εἶτα χρῆσθαι πρὸς ἓν ὃ πέφυκε, καὶ μὴ πρὸς ἄλλον ἄλλοτε βίου ζῆλον ἕλκειν καὶ παραβιάζεσθαι τὴν φύσιν,

Ἐν ἅρμασιν ἵππος, ἐν δ' ἀρότρῳ βοῦς,
Παρὰ ναῦν δ' ἰθύει τάχιστα δελφὶς,
Κάπρῳ δὲ βουλεύοντα φόνον,
Κύνα χρὴ τλάθυμον ἐξευρεῖν.

Ὁ δ' ἀσχάλλων καὶ λυπούμενος ὅτι μὴ καὶ λέων ἐστὶν,

C. 10. βουλεύοντα] Retinui Stephani lectionem, a qua unus non diſſentit C, reliquis omnibus βουλεύοντι exhibentibus Ald. Baſ. Xyl. A. D. Moſc. 1. 2. Voſſ. Colleg. Nov. Illud prætuli item ſupra p. 451. D.

cendi exercitatio, et mathematum tractatio, atque aliarum vacatione occupationum, facultas civilis, et amicitiæ regum, non ſine negotiis et occupationibus parari poſſunt: tum vini et carnium uſus largior, corpus validum ac robuſtum facit, animum imbecillum: aſſidua rei faciundæ cura et conſervatio divitias auget, contemptus opum ad philoſophiam eſt perquam utile viaticum. Hinc quidem conſtat non omnia eſſe omnium: ſed oportere Pythicæ obtemperantem inſcriptioni, Seipſum noſſe: deinde uti ſuo ingenio ad ea ad quæ natura factus eſt: neque id ad alius vitæ ſtudium trahendo, huic vim facere.

Equus eſt ad currum idoneus:
Ad aratra bos: propter ratem
Delphin celerrime incitatur.
Apro ſi quis necem ſtruit,
Canem inveniat laborioſum.

Qui autem indigne fert, quod non ſimul eſt

Ἐν πολέμῳ· ἀγορῇ δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι.

Μεγάβυζον δὲ τὸν Πέρσην εἰς τὸ ζωγραφεῖον ἀναβάντα τοῦ Ἀπελλοῦ, καὶ λαλεῖν ἐπιχειρήσαντα περὶ τῆς τέχνης ἐπεστόμισεν ὁ Ἀπελλῆς, εἰπὼν, Ἕως μὲν ἡσυχίαν ἦγες, ἐδόκεις τις εἶναι διὰ τὰ χρυσία καὶ τὴν πορφύραν, νυνὶ δὲ καὶ ταυτὶ τὰ τρίβοντα τὴν ὤχραν παιδάρια καταγελᾷ σου φλυαροῦντος. Ἀλλ' ἔνιοι τοὺς μὲν Στωϊκοὺς οἴονται παίζειν, ὅταν ἀκούσωσι τὸν σοφὸν παρ' αὐτοῖς μὴ μόνον φρόνιμον καὶ δίκαιον καὶ ἀνδρεῖον, ἀλλὰ καὶ ῥήτορα καὶ στρατηγὸν καὶ ποιητὴν καὶ πλούσιον καὶ βασιλέα προσαγορευόμενον, αὐτοὺς δὲ πάντων ἀξιοῦσι τούτων· κἂν μὴ τυγχάνωσιν, ἀνιῶνται. Καίτοι καὶ τῶν θεῶν ἄλλος ἄλλην ἔχων δύναμιν, ὁ μὲν, Ἐνυάλιος, ὁ δὲ, Μαντῷος, ὁ δὲ, Κερδῷος ἐπονομάζεται· καὶ τὴν Ἀφροδίτην ὁ Ζεὺς, ὡς οὐ μετὸν αὐτῇ πολεμικῶν ἔργων, ἐπὶ γάμους ἀποστέλλει καὶ θαλάμους.

ιγ'. Τινὰ γὰρ οὐδὲ συνυπάρχειν, ἀλλὰ μᾶλλον ὑπεναντιοῦσθαι πέφυκεν ἀλλήλοις τῶν σπουδαζομένων· οἷον,

Pugnando: mea namque aliis facundia cedat.

Megabyzo Perſæ cum in officinam Apellis pictoris deſcendiſſet, et neſcio quid de arte dicere cœpiſſet, ſilentium impoſuit Apelles his verbis: *Quandiu tacebas, exiſtimabare aliquid eſſe ob auri et purpuræ ornamenta: at nunc te nugantem etiam pueruli iſti ochram terentes derident.* Sed nonnulli Stoicos ludere putant, quando ab iis audiunt ſapientem non modo prudentem, juſtum, fortem, ſed rhetorem quoque, imperatorem, poëtam, divitem, regemque cognominari; cum interim hos ſibi titulos ipſi arrogent omnes, et, niſi obtinent, indignentur. Atqui Deorum alius alia virtute præditus, hic bellicoſus, ille fatidicus, rurſum alius lucri præſes nominatur: et Venerem Jupiter, quod ad eam res bellicæ nihil pertinerent, ad nuptias et cubilia ablegat.

XIII. Et vero ſunt quæ ſimul locum habere non poſſint, ſed invicem pugnent ſtudia: puta, otio opus habet di-

ἄσκησις λόγων, καὶ μαθημάτων ἀνάληψις, ἀπραγμοσύνης δεῖται καὶ σχολῆς· δυνάμεις δὲ πολιτικαὶ, καὶ φιλίαι βασιλέων, οὐκ ἄνευ πραγμάτων οὐδὲ ἀσχολιῶν περιγίγνονται· καὶ μὴν οἶνός τε καὶ σαρκῶν ἐμφόρησις σῶμα μὲν ἰσχυρὸν ποιοῦσι καὶ ῥωμαλέον, ψυχὴν δὲ ἀσθενῆ·
C καὶ χρημάτων ἐπιμέλεια μὲν καὶ τήρησις συνεχὴς αὔξει πλοῦτον, ὑπεροψία δὲ καὶ περιφρόνησις, μέγα πρὸς φιλοσοφίαν ἐφόδιον. Ὅθεν οὐ πάντα πάντων ἐστὶν, ἀλλὰ δεῖ τῷ Πυθικῷ γράμματι πειθόμενον, αὑτὸν καταμαθεῖν· εἶτα χρῆσθαι πρὸς ἓν ὃ πέφυκε, καὶ μὴ πρὸς ἄλλον ἄλλοτε βίου ζῆλον ἕλκειν καὶ παραβιάζεσθαι τὴν φύσιν,

Ἐν ἅρμασιν ἵππος, ἐν δ' ἀρότρῳ βοῦς,
Παρὰ ναῦν δ' ἰθύνει τάχιστα δελφὶς,
Κάπρῳ δὲ βουλεύοντα φόνον,
Κύνα χρὴ τλάθυμον ἐξευρεῖν.

Ὁ δ' ἀσχάλλων καὶ λυπούμενος ὅτι μὴ καὶ λέων ἐστὶν,

C. 10. βουλεύοντα] Retinui Stephani lectionem, a qua unus non diſſentit C, reliquis omnibus βουλεύοντι exhibentibus Ald. Baſ. Xyl. A. D. Moſc. 1. 2. Voſſ. Colleg. Nov. Illud prætuli item ſupra p. 451. D.

cendi exercitatio, et mathematum tractatio, atque aliarum vacatione occupationum, facultas civilis, et amicitiæ regum, non ſine negotiis et occupationibus parari poſſunt: tum vini et carnium uſus largior, corpus validum ac robuſtum facit, animum imbecillum: aſſidua rei faciundæ cura et conſervatio divitias auget, contemptus opum ad philoſophiam eſt perquam utile viaticum. Hinc quidem conſtat non omnia eſſe omnium: ſed oportere Pythicæ obtemperantem inſcriptioni, Seipſum noſſe: deinde uti ſuo ingenio ad ea ad quæ natura factus eſt: neque id ad alius vitæ ſtudium trahendo, huic vim facere.

Equus eſt ad currum idoneus:
Ad aratra bos: propter ratem
Delphin celerrime incitatur.
Apro ſi quis necem ſtruit,
Canem inveniat laborioſum.

Qui autem indigne fert, quod non ſimul eſt

—Ὀρεσίτροφος ἀλκὶ πεποιθὼς, D

ἅμα καὶ κυνίδιον Μελιταῖον ἐν κόλπῳ χήρας γυναικὸς τιθηνούμενον, ἀπόπληκτός ἐστι. Τούτου δὲ οὐδὲν βέλτιον, ὁ βουλόμενος ἅμα μὲν Ἐμπεδοκλῆς ἢ Πλάτων ἢ Δημόκριτος περὶ κόσμου γράφειν καὶ τῆς τῶν ὄντων ἀληθείας, ἅμα δὲ πλουσίᾳ γραῒ συγκαθεύδειν, ὡς Εὐφορίων· ἢ τῷ ἐπὶ κῶμον Ἀλεξάνδρῳ συμπίνειν, ὡς Μήδιος· ἀγανακτῶν δὲ καὶ λυπούμενος εἰ μὴ θαυμάζεται διὰ πλοῦτον, ὡς Ἰσμηνίας, καὶ δι᾽ ἀρετὴν, ὡς Ἐπαμινώνδας. Οὐδὲ γὰρ οἱ δρομεῖς ὅτι μὴ τοὺς τῶν παλαιστῶν φέρονται στεφάνους ἀθυμοῦσιν, ἀλλὰ τοῖς αὑτῶν ἀγάλλονται καὶ χαίρουσι. Σπάρταν ἔλαχες, ταύταν κόσμει. Καὶ E
γὰρ ὁ Σόλων,

Ἀλλ᾽ ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδόν ἐστι,
Χρήματα δ᾽ ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

Καὶ Στράτων ὁ φυσικὸς, ἀκούσας ὅτι πολλαπλασίους ἔχει

D. 7. ἢ τῷ] Vitioſum, nec melius quid in libris. Equidem conjeci ἢ ἐπίκωμος τῷ Ἀλ. σ. Nec repudiandum Reiſkii ἢ ἰὼν ἐπὶ κῶμον, Ἀλ. σ: quandoquidem pro τῷ habent τῶν Ald. Baſ. Xyl. D. Moſc. 2. Colleg. Nov. Voſſ.

Robore confidens leo, montibus innutritus,
et catellus Melitæus in ſinu viduæ mulieris educatus, ſtupidus eſt. Neque eo melior, qui ſimul vult et Empedocles, Plato, aut Democritus eſſe de mundo ſcribens, et cum vetula divite dormire, ut Euphorion; aut cum comeſſatoribus Alexandri potare, ut Medius: et qui iniquo animo toleret, non ſimul et ob divitias, ut Iſmeniam, et ob virtutem, ut Epaminondam, ſe in admiratione haberi. Nam neque curſores animo ſunt ægro, quia non auferunt coronas luctatorum, ſed ſuis gaudent atque exſultant. *Spartam es nactus, hanc orna.* Sic et Solon,

At nos virtutis non permutabimus horum,
Pulchraque virtutis munia divitiis:
Cum ſtet virtutis ſtabilis poſſeſſio ſemper,
Incertæ varia ſorte feruntur opes.

Et Strato phyſicus audito Menedemum multis modis plus

Μενέδημος μαθητὰς, Τί οὖν, ἔφη, θαυμαστὸν εἰ πλείονες εἰσὶν οἱ λούεσθαι θέλοντες τῶν ἀλείφεσθαι βουλομένων; Ἀριστοτέλης δὲ πρὸς Ἀντίπατρον γράφων, Οὐκ Ἀλεξάνδρῳ μόνον, ἔφη, προσήκει μέγα φρονεῖν, ὅτι κρατεῖ
F πολλῶν ἀνθρώπων, ἀλλ' οὐχ ἧττον οἷς ὑπάρχει περὶ θεῶν ἃ δεῖ δοξάζειν. Τοὺς γὰρ οὕτω τὰ οἰκεῖα σεμνύνοντας οὐκ ἐνοχλήσει τὰ τῶν πλησίον. Νῦν δὲ τὴν ἄμπελον σῦκα φέρειν οὐκ ἀξιοῦμεν, οὐδὲ τὴν ἐλαίαν βότρυς· αὐτοὶ δὲ ἑαυτοὺς, ἐὰν μὴ καὶ τὰ τῶν πλουσίων ἅμα καὶ τὰ τῶν λογίων, καὶ τὰ τῶν στρατευομένων καὶ τὰ τῶν φιλοσοφούντων, καὶ τὰ τῶν κολακευόντων καὶ τὰ τῶν παρρησιαζομένων, καὶ τὰ τῶν φειδομένων καὶ τὰ τῶν δαπανώντων ἔχωμεν προτερήματα, συκοφαντοῦμεν καὶ ἀχαριστοῦμεν ἑαυτοῖς, καὶ καταφρονοῦμεν ὡς ἐνδεῶς καὶ ἀτελῶς
73 βιούντων. Πρὸς δὲ τούτῳ, καὶ τὴν φύσιν ὁρῶμεν ὑπομιμνήσκουσαν ἡμᾶς. Ὡς γὰρ τῶν θηρίων ἑτέροις ἀφ'

E. 8. θέλοντες] Rectius forte abſit quam adſit. Abeſt ſane in A. Moſc. 1. 2. Voſſ. Colleg. Nov.

habere diſcipulos, *Quid mirum eſt*, aiebat, *ſi plures ſunt qui lavare, quam qui ungi volunt?* Ariſtoteles quoque ad Antipatrum ſcribebat, *Non ſolum Alexandrum debere multum ſibi tribuere ob imperium in tot homines; nihilo minus id licere iis, qui recte de deo ſentiant:* Etenim eos qui hoc modo ſua extollunt bona, minus aliorum perturbabunt. Nunc nos, qui a vite ficus, aut ab olea uvas non requirimus, niſi prærogativas ſimul omnes divitum, doctorum, bellatorum, philoſophantium, adulantium, libere dicentium, parcorum, ſumtus facientium habeamus, calumniamur, ingratique adverſum noſmetipſos ſumus, ac vitam noſtram ut inopem mutilamque ſpernimus. Præter hæc vero, ab ipſa nos natura admoneri videmus. Ut enim brutorum animalium aliis aliunde nutrimentum ſuggerit, neque om-

ἑτέραν παρεσκεύασε τὴν τροφὴν εἶναι, καὶ οὐ πάντα σαρκοφαγεῖν ἢ σπερμολογεῖν ἢ ῥιζωρυχεῖν ἐποίησεν, οὕτω τοῖς ἀνθρώποις ποικίλας πρὸς τὸν βίον ἀφορμὰς ἔδωκε,

Μηλοβοτῇ τ' ἀρότῃ τ' ὀρνιθολόχῳ τε,

καὶ ὃν πόντος τρέφει. Δεῖ δὴ τὸ πρόσφορον ἑαυτοῖς ἑλομένους καὶ διαπονοῦντας, ἐᾷν τὰ τῶν ἄλλων· καὶ μὴ τὸν Ἡσίοδον ἐλέγχειν ἐνδεέστερον εἰπόντα,

Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων.

Οὐ γὰρ μόνον τοὺς ὁμοτέχνους καὶ τοὺς ὁμοτρόπους ζηλοτυποῦντες, ἀλλὰ καὶ λογίους πλούσιοι, καὶ πλουσίους ἔνδοξοι, B
καὶ δικολόγοι σοφιστὰς, καὶ καὶ μὰ Δία κωμῳδοὺς εὐημεροῦντας ἐν θεάτροις καὶ ὀρχηστὰς καὶ θεράποντας ἐν αὐλαῖς βασιλέων ἐλεύθεροι καὶ εὐπατρίδαι καταπεθαμβημένοι καὶ μακαρίζοντες, οὐ μετρίως λυποῦσιν αὐτοὺς καὶ ταράττουσιν.

A. 6. Μηλοβοτᾷ τ' ἀρότᾳ τ' ὀρνιθολόχῳ τε] Dativos poſui, ſecutus et Xylandrum ita et edentem et vertentem: et auctorem Pindarum Iſthm. I. 67. quocum C. partim conſentit. Vulgo μηλοβοτά τ' ἀρότα τ' ὀρνιθολόχω τε.

nibus carnem edendi, ſemina legendi, radices effodiendi facultatem indidit ea: ſic homini quoque varias ad vitam tolerandam opportunitates præbuit: opilioni ſuas, ſuas aratori, aucupi, et quem mare alit. Quo æquius eſt nos id genus vitæ, quod nobis eſt commodum, amplexos, in eo elaborare, reliqua omittere, neque oſtendere Heſiodum intra modum ſubſtitiſſe, cum diceret,

Succenſet figulo figulus, fabrum faber odit.

Non enim eandem modo artem, eandem vitæ rationem exercentes dum æmulantur, ſed et doctos opulenti, et opulentos fama clari, et cauſidici ſophiſtas, atque adeo comœdos in theatris pulchre ſtantes, hiſtrioneſque et ſervos regum aulicos liberi homines ac patricii cum ſtupore admirantes beatoſque dicentes, non mediocrem ſibi ipſis dolorem perturbationemque afferunt.

ιδ´. Ὅτι δὲ ἕκαστος ἐν ἑαυτῷ τὰ τῆς Εὐθυμίας καὶ τῆς Δυσθυμίας ἔχει ταμεῖα, καὶ τοὺς τῶν ἀγαθῶν καὶ κακῶν πίθους οὐκ ἐν Διὸς οὔδει κατακειμένους, ἀλλ' ἐν τῇ ψυχῇ κειμένους, αἱ διαφοραὶ τῶν παθῶν δηλοῦσιν.
C Οἱ μὲν γὰρ ἀνόητοι καὶ παρόντα τὰ χρηστὰ παρορῶσι καὶ ἀμελοῦσιν, ὑπὸ τοῦ συντετάσθαι πρὸς τὸ μέλλον ἀεὶ ταῖς φροντίσιν· οἱ δὲ φρόνιμοι καὶ τὰ μηκέτ' ὄντα, τῷ μνημονεύειν ἐναργῶς, ὄντα ποιοῦσιν ἑαυτοῖς. τὸ γὰρ παρὸν τῷ ἐλαχίστῳ τοῦ χρόνου μορίῳ θιγεῖν παρασχόν, εἶτα τὴν αἴσθησιν ἐκφυγόν, οὐκέτι δοκεῖ πρὸς ἡμᾶς οὐδὲ ἡμέτερον εἶναι τοῖς ἀνοήτοις· ἀλλ' ὥσπερ ὁ ἐν ᾅδου ζωγραφούμενος σχοινοστρόφος ὄνῳ τινὶ παρίησιν ἐπιβοσκομένῳ καταναλίσκειν τὸ πλεκόμενον, οὕτω τῶν πολλῶν ἀναίσθητος καὶ ἀχάριστος ὑπολαμβάνουσα λήθη καὶ κατανεμομένη, πρᾶξίν τε πᾶσαν ἀφανίζουσα καὶ κατόρθωμα
D καὶ σχολὴν ἐπίχαριν καὶ συμπεριφορὰν καὶ ἀπόλαυσιν, οὐκ ἐᾷ τὸν βίον ἕνα γενέσθαι, συμπλεκομένων τοῖς παρ-

XIV. Jam quod hominum unuſquiſque penum vel Tranquillitatis Animi, vel ægritudinis in ſeſe habeat, et dolia bonorum ac malorum non in Jovis limine, ſed in animo ſuo repoſita, affectionum diverſitates demonſtrant. Stolidi enim bona etiam præſentia non cernunt neque curant; quod cogitationes ſuas ſemper futuris habent intentas: prudentes ea quoque, quæ eſſe deſierunt, memoriæ perſpicacitate ſibi præſentia faciunt. Quippe ſtultis id quod præſens eſt, et exiguiſſimo temporis puncto ſe tangendum præbens, deinde ſenſum effugit, non jam amplius ad ipſos pertinere videtur: ſed, quemadmodum apud Manes pingitur quidam funem torquens, et id quod contexuit aſino vorandum permittens, ita multorum ſtupida quædam et ingrata oblivio omnem actionem, omnes res præclare geſtas, omne jucundum otium, omnem conviviorum et voluptatum fruitionem abolens, non ſinit vitam eſſe conti-

οῦσι τῶν παρῳχημένων· ἀλλ' ὥσπερ ἕτερον τὸν ἐχθὲς ὄντα τοῦ σήμερον, καὶ τὸν αὔριον ὁμοίως οὐ τὸν αὐτὸν τῷ σήμερον, διαιροῦσα, πᾶν τὸ γινόμενον εὐθὺς εἰς τὸ ἀγένητον τῷ ἀμνημονεύτῳ καθίστησιν. Οἱ μὲν γὰρ ἐν ταῖς σχολαῖς τὰς αὐξήσεις ἀναιροῦντες ὡς τῆς οὐσίας ἐνδελεχῶς ῥεούσης, λόγῳ ποιοῦσιν ἡμῶν ἕκαστον ἄλλον ἑαυτοῦ καὶ ἄλλον· οἱ δὲ τῇ μνήμῃ τὰ πρότερα μὴ στέγοντες μηδὲ ἀναλαμβάνοντες, ἀλλ' ἀπορρεῖν ἐῶντες, ἔργῳ ποιοῦσιν ἑαυτοὺς καθ' ἡμέραν ἀποδεεῖς καὶ κενοὺς καὶ τῆς αὔριον ἐκκρεμαμένους, E
ὡς τῶν πέρυσι καὶ πρῴην καὶ χθὲς, οὐ πρὸς αὐτοὺς ὄντων οὐδὲ ὅλως αὐτοῖς γινομένων.

ιέ. Καὶ τοῦτο οὖν τὴν Εὐθυμίαν ἐπιταράσσει· κἀκεῖνο μᾶλλον, ὅταν ὥσπερ αἱ μυῖαι τῶν λείων τόπων ἐν τοῖς κατόπτροις ἀπολισθαίνουσι, ταῖς δὲ τραχύτησι προσέχονται καὶ ταῖς ἀμυχαῖς· οὕτως ἄνθρωποι τῶν ἱλαρῶν καὶ προσηνῶν ἀποῤῥέοντες ἐμπλέκονται ταῖς τῶν ἀηδῶν

E. 2. πρὸς αὐτοὺς] Sumſi a Xyl. Ceteri πρὸς αὐτῶν.

nuam, præſentibus ad præterita adjunctis: ſed heſternam ab hodierna, hanc a craſtina dividens, quidquid evenit obterens tanquam non factum redigit. Nam qui in ſcholis incrementa corporum negant, ob continuatam ſubſtantiæ fluxionem, ii verbo faciunt nos ſubinde alios: qui autem priora non complectuntur memoria, neque revocant, ſed effluere ſinunt, ii re ipſa faciunt ſe quotidie indigos inaneſque, et a craſtino pendentes: tanquam ea quæ ſuperiore anno, dudum adeoque heri obtigerunt, plane ad ipſos nihil pertineant, neque omnino ipſis evenerint.

XV. Et hoc igitur Animi Tranquillitatem non leviter impedit: et magis etiam illud, quod homines muſcarum in morem in ſpeculis de lævi ſuperficie delabentium et aſperitatibus ac fiſſuris inhærentium, a jucundarum rerum memoria defluentes recordationi moleſtarum implicantur:

ἀναμνήσεσι· μᾶλλον δὲ, ὥσπερ ἐν Ὀλύνθῳ τοὺς κανθά-
ρους λέγουσιν εἴς τι χωρίον ἐμβάλλοντας ὃ καλεῖται κανθ-
F αρώλεθρον, ἐκβῆναι μὴ δυναμένους, ἀλλ' ἐκεῖ στρεφο-
μένους καὶ κυκλουμένους ἐναποθνήσκειν, οὕτως εἰς τὴν τῶν
κακῶν μνήμην ὑπορρυέντες ἀνενεγκεῖν μὴ θέλωσι μηδ'
ἀναπνεῦσαι. Δεῖ δὲ, ὥσπερ ἐν πινακίῳ χρωμάτων, ἐν
τῇ ψυχῇ τῶν πραγμάτων τὰ φαιδρὰ καὶ λαμπρὰ
προβάλλοντας, ἀποκρύπτειν τὰ σκυθρωπὰ καὶ πιέζειν.
Ἐξαλεῖψαι γὰρ οὐκ ἔστι παντάπασιν οὐδ' ἀπαλλαγῆναι.
Παλίντροπος γὰρ ἁρμονίη κόσμου, ὅκωσπερ λύρης καὶ τόξου·
474 καὶ τῶν ἀνθρωπίνων καθαρὸν οὐδὲν, οὐδὲ ἀμιγές. Ἀλλ'
ὥσπερ ἐν μουσικῇ βαρεῖς φθόγγοι καὶ ὀξεῖς, ἐν δὲ γραμ-
ματικῇ φωνήεντα καὶ ἄφωνα γράμματα· μουσικὸς δὲ καὶ
γραμματικὸς, οὐχ ὁ θάτερα δυσχεραίνων καὶ ὑποφεύγων,
ἀλλ' ὁ πᾶσι χρῆσθαι καὶ μιγνύναι πρὸς τὸ οἰκεῖον ἐπι-

F. 3. θέλωσι] Sic C. Moſc. 1. 2. Colleg. Nov. Schott. Jannot. Jun. T. B. Vulgo, θέλοντες.

F. 8. ὅκωσπερ] Sic A. D. Moſc. 1. 2. Voſſ. ut alibi in hoc Heracliti dicto. Vulgo ὥσπερ.

immo, ſicut Olynthi cantharos ferunt in locum quendam qui ab exitio ejus inſecti Cantharolethrum dicitur injectos, quod exire inde nequeant, perpetua circumverſione enecari: ita ipſi quoque in malorum commemorationem ubi incidere, inde ſe revocare et recreare nolunt. Oportet autem ſicut in tabula colorem, ita in animo rerum eas quæ maxime nitent ac ſplendent proponere, iiſque tetrica obſcurare et opprimere, quando quidem omnino deleri et amoveri non poſſunt. Ut enim lyræ aut arcus nervi, ita mundi quoque concentus viciſſitudine quadam intenditur ac remittitur: et in rebus humanis nihil ſinceri, nihil puri eſt. Sed quemadmodum in muſica ſoni ſunt et graves et acuti, et in grammatica litteræ cum vocales, tum mutæ: muſicus autem et grammaticus eſt non qui alterum genus moleſte fert atque fugit, ſed qui omnia uſurpare et per-

στάμενος· ὑπὸ καὶ τῆς πραγμάτων ἀντιστοιχίας ἐχόντων, (ἐπεὶ κατὰ τὸν Εὐριπίδην,

Οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά,
Ἀλλ' ἔστι τις σύγκρασις, ὥστ' ἔχειν καλῶς)

οὐ δεῖ τοῖς ἑτέροις ἐξαθυμεῖν, οὐδ' ἀπαγορεύειν· ἀλλ' B
ὥσπερ ἁρμονικοὺς ἀμβλύνοντας ἀεὶ τοῖς κρείττοσι τὰ χείρονα, καὶ τὰ φαῦλα τοῖς χρηστοῖς ἐμπεριλαμβάνοντας, ἐμμελὲς τὸ τοῦ βίου μίγμα ποιεῖν καὶ οἰκεῖον αὐτοῖς. Οὐ γὰρ, ὡς ὁ Μένανδρός φησιν,

Ἅπαντι δαίμων ἀνδρὶ συμπαραστατεῖ
Εὐθὺς γενομένῳ, μυσταγωγὸς τοῦ βίου
Ἀγαθός.——

ἀλλὰ μᾶλλον, ὡς Ἐμπεδοκλῆς, διτταί τινες ἕκαστον ἡμῶν γενόμενον παραλαμβάνουσι καὶ κατάρχονται μοῖραι καὶ δαίμονες,

Ἔνθ' ἦσαν Χθονίη τε, καὶ Ἡλιόπη ταναῶπις·
Δῆρίς θ' αἱματόεσσα, καὶ Ἁρμονίη θεμερῶπις·

B. 13. θεμερῶπις] Sic Ald. Baſ. A. Voſſ. Colleg. Nov. ac probavit Bentleius Ep. ad Mill. 76. Vulgo, ἱμερῶπις quod Stephanus a Pol. ſumtum invexerat.

miſcere arte ſua poteſt: ita in rebus quoque humanis cum ſint oppoſiti invicem ordines (quando, ut eſt apud Euripidem,

Sejungier non poſſunt a bonis mala,
Sed eſt eorum, ut res habeant ſatis bene,
Commixtio quædam)

non debemus in altero animum ob dolorem deſpondere: verum harmonicos imitari, et melioribus deteriora obſcurando, ac mala bonis occupando, concinnum vitæ, nobiſque conveniens, temperamentum conficere. Non enim verum eſt quod dixit Menander,

Unicuique, in lucem cum primo editur,
Genius bonus vitæ magiſter totius
Adſiſtit.——

ſed Empedoclis probanda potius eſt ſententia, qui unumquemque noſtrum, poſtquam eſt natus, arripi gubernarique a duplicibus fatis geniiſque docet,

Hic inerant Chthonia, et cernens procul Heliopea,
Et vario Harmonie vultu, Deriſque cruenta,

C Καλλιστώ τ', Αἰσχρή τι· Θόωσά τι, Δειναίη τι·
Νημερτής τ' ἐρόεσσα, μελάγκαρπός τ' Ἀσάφεια.

ιϛ'. Ὥστε τούτων ἑκάστου σπέρματα τῶν παθῶν ἀνακεκραμένα δεδεγμένης ἡμῶν τῆς γενέσεως, καὶ διὰ τοῦτο πολλὴν ἀνωμαλίαν ἐχούσης, εὔχεται μὲν ὁ νοῦν ἔχων τὰ βελτίονα, προσδοκᾷ δὲ καὶ θάτερα· χρῆται δὲ ἀμφοτέροις, τὸ ἄγαν ἀφαιρῶν. Οὐ γὰρ μόνον ὁ τοῦ αὔριον ἥκιστα δεόμενος, ὥς φησιν Ἐπίκουρος, ἥδιστα πρόσεισι πρὸς τὴν αὔριον· ἀλλὰ καὶ πλοῦτος εὐφραίνει καὶ δόξα καὶ δύναμις καὶ ἀρχὴ, καὶ μάλιστα τοὺς ἥκιστα τἀναντία ταρβοῦντας. Ἡ γὰρ σφοδρὰ περὶ ἕκαστον ἐπιθυμία,
D σφοδρότατον φόβον ἐμποιοῦσα τοῦ μὴ παραμένειν, ἀσθενῆ τὴν χάριν ποιεῖ καὶ ἀβέβαιον, ὥσπερ φλόγα καταπνεομένην. Ὧ, δὲ δίδωσι πρὸς τὴν τύχην ἀδεῶς καὶ ἀτρέμως εἰπεῖν ὁ λογισμός,

Ἡδὺ μὲν, ἄν τι φέρῃς· ὀλίγον δ' ἄχος, ἢν ἀπολείπῃς·

C. 1. Δειναίη] Bentleius l. c. corrigit Δήναιη *tarda*: Vere; puto.
C. 3. Ὥστε τούτων] Malim, Ὡς δὲ τούτων.

Turpis Calliſtoque, Thooſaque, Deinæeque,
Nemertes et amœna, nigro fructuque Aſapheia.

XVI. Horum geniorum nominibus variæ animi perturbationes exprimuntur, quarum omnium ſemina cum ortus noſter ſecum tulerit, ideoque vitæ magna ſit inæqualitas: meliora quidem optat, qui ſana eſt mente, ſed tamen altera quoque exſpectat, et utriſque utitur ita, Ut ne quid nimis. Non enim tantum *qui minime deſiderat craſtinam diem*, ſicut Epicurus aiebat, *ſuaviſſime procedit in craſtinam diem:* ſed et divitiæ, et gloria, potentia, honores eos maxime delectant, qui contraria horum minime metuunt. Nam nimia iſtarum rerum appetitio, acerrimum amittendi metum ingenerans, gratiam earum fruendarum infirmam reddit atque inſtabilem, inſtar flammæ vento agitatæ. Cui vero ratio hoc paravit, ut ad fortunam intrepide dicere poſſit,

Suave eſt, ſi quid das: parvus dolor, hoc ubi tollis:

τοῦτον ἥκιστα ποιεῖ χρῆσθαι τοῖς παροῦσι τὸ θαρραλέον καὶ μὴ δεδιὸς αὐτῶν τὴν ἀποβολὴν ὡς ἀφόρητον. Ἔξεστι γὰρ τὴν Ἀναξαγόρου διάθεσιν, ἀφ' ἧς ἐπὶ τῇ τελευτῇ τοῦ παιδὸς ἀνεφώνησεν, Ἤδειν θνητὸν γεννήσας, μὴ θαυμάζοντας μόνον, ἀλλὰ καὶ μιμουμένους, ἐπιλέγειν ἑκάστῳ τῶν τυχηρῶν, Οἶδα τὸν πλοῦτον ἐφήμερον ἔχων καὶ οὐ βέβαιον. Οἶδα τὴν ἀρχὴν ἀφελέσθαι δυναμένους τοὺς E δεδωκότας· Οἶδα τὴν γυναῖκα χρηστήν, γυναῖκα δὲ οὖσαν· καὶ τὸν φίλον, ἄνθρωπον ὄντα, φύσει εὐμετάβολον ζῶον, ὡς ὁ Πλάτων εἶπεν. Αἱ γὰρ τοιαῦται παρασκευαὶ καὶ διαθέσεις, ἐάν τι συμβῇ τῶν ἀβουλήτων μὲν, οὐκ ἀπροσδοκήτων δὲ, μὴ δεχόμεναι τὸ, Οὐκ ἂν ᾤμην, καὶ τὸ, Ἄλλα ἤλπιζον, καὶ τὸ, Ταῦτα οὐ προσεδόκων, οἷον πηδήματα καρδίας καὶ σφυγμοὺς ἀφαιροῦσι, καὶ ταχὺ πάλιν τὸ μανιῶδες καὶ ταραττόμενον ἱδρύουσιν. Ὁ μὲν F οὖν Καρνεάδης ἐπὶ πραγμάτων μεγάλων ὑπεμίμ-

E. 7. τὸ, Ἄλλα] Veriſſimam lectionem recepi a Mez. Vulgo omnes, πολλά.

hunc fiducia et vacuitas metus amiſſionis, tanquam intolerabilis, docent ſuaviſſime uti rebus præſentibus. Ac licet Anaxagoræ affectum animi, a quo profectum eſt ut de morte filii hanc vocem ederet, *Sciebam mortalem eſſe quem genueram*, non admirantes modo, ſed et imitantes, ad ſingulos fortunæ caſus dicere, *Noveram divitias me poſſidere in diem durantes et inſtabiles: Noveram magiſtratum ab iis adimi poſſe, qui eo me ornaverant: Noveram mihi eſſe probam mulierem, ſed tamen mulierem: Noveram amicum eſſe hominem, facile, ut ait Plato, mutabile animal.* Hujuſmodi enim præparatio animique informatio, ſi quid eorum quæ nollemus quidem, poſſe tamen evenire cogitabamus, accidat, non admittentes voces iſtas, *Non putaram, Alia ſperavi, Hæc non exſpectabam*, ſaltum cordis et trepidationem avertunt, ac celeriter furioſam et perturbatam facultatem ſedant. Carneades de magnis rebus admonebat omnem dolorem mœro-

ποιεῖ, ὅτι πᾶν καὶ ὅλον ἐστὶν εἰς λύπην καὶ ἀθυμίαν τὸ ἀπροσδόκητον. Ἡ γοῦν Μακεδόνων βασιλεία τῆς Ῥωμαίων ἡγεμονίας πολλοστημόριον ἦν· ἀλλὰ Περσεὺς μὲν ἀποβαλὼν Μακεδονίαν, αὐτός τε κατεθρήνει τὸν ἑαυτοῦ δαίμονα, καὶ πᾶσιν ἐδόκει δυστυχέστατος ἀνθρώπων γεγονέναι καὶ βαρυποτμώτατος· ὁ δὲ τοῦτον κρατήσας Αἰμίλιος, ἑτέρῳ παραδιδοὺς τὴν ὁμοῦ τε γῆς καὶ θαλάττης ἄρχουσαν δύναμιν, ἐστεφανοῦτο καὶ ἔθυεν, εὐδαιμονιζόμενος εἰκότως· οὗτος μὲν γὰρ ἤδει λαμβάνων ἀρχὴν ἀποδοθησομένην, ἐκεῖνος δὲ ἀπέβαλε μὴ προσδοκήσας. Εὖ δὲ καὶ ὁ ποιητὴς οἷόν ἐστι τὸ παρὰ προσδοκίαν ἐδίδαξεν· ὁ γὰρ Ὀδυσσεὺς τοῦ μὲν κυνὸς θανόντος ἐξεδάκρυσε, τῇ δὲ γυναικὶ κλαιούσῃ παρακαθήμενος, οὐδὲν ἔπαθε τοιοῦτον· ἐνταῦθα μὲν γὰρ ἀφῖκτο τῷ λογισμῷ τὸ πάθος ὑποχείριον ἔχων, καὶ προκατειλημμένον· εἰς δὲ ἐκεῖνον, μὴ προσδοκήσας, ἀλλ' ἐξαίφνης, διὰ τὸ παράδοξον ἐνέπεσε.

A. 11. διὰ τὸ παράδοξον] Aut, ut gloſſa, delendum : aut aliud latet vitium.

remque ab hac una cauſa naſci, quod inexſpectato nobis accidit quippiam. Macedonum regnum cum Romano comparatum imperio, vix aliquanta hujus pars erat: et tamen Perſeus, amiſſa Macedonia, cum ipſe ſuam deplorabat fortunam, tum ab omnibus miſerrimus infeliciſſimuſque homo judicabatur: at qui hunc devicerat Æmilius, tradito alteri terræ mariſque imperio coronabatur ac ſacrificabat, non injuria beatus habitus: norat enim ſe magiſtratum accepiſſe, quem eſſet depoſiturus: Perſeus autem ſuo regno præter exſpectationem ſuam erat exutus. Pulchre etiam Poëta docuit, quid rei ſit id, quod inexſpectato contingit. Ulyſſes enim cane mortuo cum non continuiſſet lachrymas, uxori adſidens flenti nihil tale paſſus eſt: huc enim venerat, animo ratione jam ante confirmato, et adverſus motum munito: in illum autem ſubita res et inexſpectata eum conjecerat.

ιζ'. Καθόλε δὲ ἐπεὶ τ̃ ἀβελήτων τὰ μὲν φύσει τὸ λυπηρὸν καὶ βαρύνον ἐπιφέρει, τὰ δὲ πλεῖστα δόξῃ δυσχεραίνειν ἐθιζόμεθα καὶ μανθάνομεν, καὶ οὐκ ἄχρηστόν ἐστι πρὸς ταῦτα μὲν ἔχειν ἀεὶ τὸ τοῦ Μενάνδρου πρόχειρον,

Οὐδὲν πέπονθας δεινὸν, ἂν μὴ προσποιῇ·

τί γὰρ πρὸς σέ ἐστι, φησὶν, ἂν μήτε σαρκὸς ἅπτηται, μήτε ψυχῆς, οἷον ἐστι δυσγένεια πατρὸς, ἢ μοιχεία γυναικὸς, ἢ στεφάνου τινὸς ἢ προεδρίας ἀφαίρεσις, ὧν οὐ κωλύεται καὶ μὴ παρόντων ἄνθρωπος καὶ τὸ σῶμα βέλτιστα διακείμενον ἔχειν καὶ τὴν ψυχήν. Πρὸς δὲ τὰ φύσει δοκοῦντα λυπεῖν, οἷα νόσοι καὶ πόνοι, καὶ θάνατοι φίλων καὶ τέκνων, ἐκεῖνο τὸ Εὐριπίδειον, C

Οἴμοι· τί δ' οἴμοι; θνητά τοι πεπόνθαμεν.

Οὐδεὶς γὰρ οὕτω τοῦ παθητικοῦ καταφερομένου καὶ ὀλισθαί-

B. 1. Καθόλυ δὲ ἐπεὶ—καὶ οὐκ ἄχρηστόν] ἐπεὶ Stephanus dedit ex Pol. et Jannot. nec diſſentiunt A. et C. At ἐπὶ eſt in Ald. Baſ. Xyl. D. Moſc. 1. 2. Voſſ. Colleg. Nov. Illud nexus poſtulat, eidemque conſequens eſt ut καὶ deleatur.

B. 6. τί γὰρ πρὸς σὲ—] Xylander ut Menandrea accepit et vertit. Putem cum Bentleio, eſſe Plutarchi verba.

XVII. In univerſum vero quæ nolentibus nobis accidunt, partim ſuapte natura moleſtiam ea afferunt, partim opinio nos adſuefacit ut ægre feramus: adverſum hæc utile eſt in promtu habere iſthuc Menandri,

Niſi ipſe feras præ te, nihil es paſſus mali.
Quid enim, inquit, ad te pertinet id,
Quo neque animus, neque corpus tangitur tuum?

cujus generis ſunt ignobilitas patris, adulterium uxoris, coronæ aut primarii in conſeſſu loci privatio, quibus etiam abſentibus nihil obſtat quin et animo et corpore optime valeas. Ad ea autem, quæ natura ſuapte dolorem videntur excitare, ut ſunt morbi, ærumnæ, obitus amicorum et liberorum, accommodari debet Euripideum illud,

Heu mihi, qui heu mihi? mors hominum ſane accidit.

Non eſt enim alia ratio quæ facultatem animi affectionibus

νοῦντος ἀντιλαμβάνεται λόγος, ὡς ὁ τῆς κοινῆς καὶ φυσικῆς ἀνάγκης ἀνάμνησιν ποιῶν, ᾗ διὰ τὸ σῶμα μεμιγμένος ὁ ἄνθρωπος, μόνην ταύτην τῇ τύχῃ λαβὴν δίδωσιν, ἐν δὲ τοῖς κυριωτάτοις καὶ μεγίστοις ἀσφαλὴς ἕστηκεν. Ὁ Δημήτριος τὴν Μεγαρέων πόλιν καταλαβὼν, ἠρώτησε τὸν Στίλπωνα, μή τι τῶν ἐκείνου διήρπασται· καὶ ὁ Στίλπων ἔφη, μηδένα εἶδον τἀμὰ φέροντα. Καὶ τοίνυν D τῆς τύχης πάντα τἄλλα λεηλατούσης καὶ περιαιρουμένης, ἔχομέν τι τοιοῦτον ἐν ἑαυτοῖς,

Οἷόν κ' οὔτε φέροιεν Ἀχαιοὶ, οὔτ' ἂν ἄγοιεν.

Ὅθεν οὐ δεῖ παντάπασιν ἐκταπεινοῦν οὐδὲ καταβάλλειν τὴν φύσιν, ὡς μηδὲν ἰσχυρὸν μηδὲ μόνιμον μηδὲ ὑπὲρ τὴν τύχην ἔχουσαν· ἀλλὰ τοὐναντίον, εἰδότας ὅτι μικρόν ἐστι μέρος τοῦ ἀνθρώπου τὸ σαθρὸν καὶ τὸ ἐπίκηρον ᾧ δέχεται τὴν τύχην, τῆς δὲ βελτίονος μερίδος αὐτοὶ κρατοῦμεν, ἐν ᾗ τὰ μέγιστα τῶν ἀγαθῶν ἱδρυμένα,

C. 10. εἶδον] Sumſi a T. Mez. Vulgo, ἰδεῖν.

obnoxiam labaſcentem magis revocet et confirmet, quam quæ communis naturæ et neceſſitatis memoriam renovat: cui neceſſitati homo propter corpus expoſitus, hic tantum fortunæ anſam præbet, in potiſſimis maximiſque rebus tutus ac ſecurus. Demetrius cum Megara cepiſſet, quæſivit e Stilpone, Ecquid in iſta direptione ipſi periiſſet? cui Stilpo, *Neminem*, reſpondit, *vidi, qui meas res ferret.* Proinde fortuna ubi reliqua deprædatur omnia, atque adimit, habemus aliquid in nobiſmetipſis tale,

Quod ferre aut agere immitis non poſſit Achivus.

Itaque conſequens eſt, non ita plane extenuare aut deprimere naturam, ac ſi nihil ea ſupra fortunam poſſet, nihil ſtabile aut proprium haberet: ſed hoc cognitum habere, exiguam eſſe partem hominis putridam illam et morboſam, quæ fortunam admittit, meliorem in partem eſſe penes nos dominium, in qua bonorum maxima collocata ſunt: bonæ, in-

δόξαι τε χρησταὶ καὶ μαθήματα, καὶ λόγοι τελευτῶντες εἰς ἀρετὴν, ἀναφαίρετον ἔχουσι τὴν οὐσίαν καὶ ἀδιάφθορον, E ἀηττήτους πρὸς τὸ μέλλον εἶναι καὶ θαῤῥαλέους, καὶ πρὸς τὴν τύχην λέγοντας, ἃ Σωκράτης δοκῶν πρὸς τοὺς κατηγόρους Ἄνυτον καὶ Μέλιτον λέγειν, πρὸς τοὺς δικαστὰς ἔλεγεν, ὡς ἀποκτεῖναι μὲν Ἄνυτος καὶ Μέλιτος δύνανται, βλάψαι δὲ οὐ δύνανται. Καὶ γὰρ ἡ τύχη δύναται νόσῳ περιβαλεῖν, ἀφελέσθαι χρήματα, διαβαλεῖν πρὸς δῆμον ἢ τύραννον· κακὸν δὲ καὶ δειλὸν, καὶ ταπεινόφρονα καὶ ἀγεννῆ καὶ φθονερὸν οὐ δύναται ποιῆσαι τὸν ἀγαθὸν καὶ ἀνδρώδη, καὶ μεγαλόψυχον, οὐδὲ παρελέσθαι τὴν διάθεσιν, ἧς ἀεὶ παρούσης, πλέον ἢ κυβερνήτου πρὸς θάλατταν F ὄφελός ἐστι πρὸς τὸν βίον. Κυβερνήτῃ γὰρ οὔτε κῦμα πραῧναι τραχὺ καὶ πνεῦμα δυνατόν ἐστιν, οὔτε ὅπη βούλεται δεομένῳ λιμένος τυχεῖν, οὔτε θαῤῥαλέως καὶ ἀτρόμως ὑπομεῖναι τὸ συμβαῖνον· ἀλλ᾽ ἕως οὐκ ἀπέγνωκε, τῇ τέχνῃ χρώμενος φεύγει, μάλα λαῖφος ὑποστολίσας,

quam, opiniones, diſciplinæ, rationes in virtutem deſinentes, quæ aboleri et corrumpi nequeunt; proinde invicti quod ad futura attinet atque animoſi, fortunæ his verbis reſponſabimus, quæ Socrates viſus in Anytum et Melitum dicere, in ipſos torſit judices, *Interficere me Anytus et Melitus poſſunt, nocere mihi non poſſunt.* Poteſt enim fortuna me morbo aliquo gravare, opes auferre, in odium populi aut tyranni vocare: malum, timidum, animi abjecti, degenerem, invidum, non poteſt eum efficere, qui ſit bonus, fortis, magnanimus, neque animi habitum auferre eum, cujus ad vitam recte degendam uſus major eſt, perpetuo in promtu ſiti, quam gubernatoris adverſus mare. Quippe gubernator neque fluctus demitigare poteſt aſperos et violentum ventum, neque in portum ſubire quoties opus eſt, neque audacter et intrepide tempeſtatem ſubſiſtere: ſed quamdiu arte ſua utitur, rebus nondum deſperatis fugit, *Magnum* (ut poëtæ verbis utar) *velum demittens, dum malus in-*

ὥστε ἐνέρτερον ἴσον ἐρεβώδεος ἐκ θαλάττης ὑπέρσχῃ, τρέμων κάθηται καὶ παλλόμενος. Ἡ δὲ τοῦ φρονίμου διάθεσις τοῖς τε σωματικοῖς παρέχει γαλήνην, ἐπὶ πλεῖστον ἐκλύουσα τὰς τῶν νόσων κατασκευάς, ἐγκρατείᾳ καὶ διαίτῃ σώφρονι καὶ μετρίοις πόνοις· κἂν τις ἔξωθεν ἀρχὴ πάθους ὥσπερ διαδρομὴ γένηται σπιλάδος, εὐσταλεῖ καὶ κούφῃ κεραίᾳ παρήνεγκεν, ὥς φησιν Ἀσκληπιάδης· παραλόγου δέ τινος καὶ μεγάλου καταλαβόντος καὶ κρατήσαντος, ἐγγὺς ὁ λιμὴν, καὶ πάρεστιν ἀπονήξασθαι τοῦ σώματος, ὥσπερ ἐφολκίου μὴ στέγοντος.

ιή. Τὸν μὲν γὰρ ἀνόητον ὁ τοῦ θανάτου φόβος, οὐχ ὁ
B τοῦ ζῆν πόθος ἐκκρέμασθαι τοῦ σώματος ποιεῖ, περιπεπλεγμένον, ὥσπερ τὸν Ὀδυσσέα, τῷ ἐρινεῷ, δεδοικότα τὴν χάρυβδιν ὑποκειμένην,

"Ἔνθ' οὔτε μίμνειν ἄνεμος, οὔτε πλεῖν ἐᾷ·"

καὶ πρὸς ταῦτα δυσαρέστως, καὶ πρὸς ἐκεῖνα περιδεῶς

P. 7. ἴσι—θαλάττης ὑπέρσχῃ] Niſi quid excidit, legam εἰ δὲ—θαλάττης μὴ ὑπέρσχῃ.

ferior ſupra tartareum mare emergat, tremens ipſe et titubans. At enim affectio animi prudentis, cum ipſi corpori plerumque tranquillitatem conciliat, morborum occaſiones continentia, victu moderato, ac mediocribus laboribus avertens: tum ſi quod extrinſecus mali principium oſtenditur, veluti cum præter cautes aliquas in mari latentes eſt navigandum, contractis facile antennis prætervehitur, ut ait Aſclepiades: quod ſi vero inopinata aliqua et vehementior procella occupet, in propinquo eſt portus, licetque et enatare e corpore, tanquam ſcapha aquam admittente.

XVIII. Inſipientem enim mortis metus non vitæ deſiderium, jubet a corpore dependere, id amplexum, quomodo Ulyſſes caprificum tenuit metu ſubjectæ Charybdis,

Manere ubi ventus, navigare et ubi vetat,

et hoc inique ferentem, et illud metuentem. At qui ani-

μένον ἐν τοῖς ἐλάττοσι πρὸς τὰ μείζονα, μὴ φεύγοντα, μηδὲ ἀπωθοῦντα τῆς ψυχῆς τὴν ἐπιμέλειαν αὐτῶν, μηδὲ διαδιδράσκοντα, τάχα δὲ οὐδὲν ἔσται δυσχερέστερον. Ἀνίαν γὰρ ἐμποιεῖ καὶ μαλακίαν ἀγύμναστον ἡ περὶ τὸ ῥᾷστον ἀεὶ διατρίβουσα καὶ πρὸς τὸ ἥδιστον ἐκ τοῦ ἀβουλήτου ἀναχωροῦσα γλυκυθυμία τῆς ψυχῆς. Ἡ δὲ καὶ νόσου καὶ πόνου καὶ φυγῆς μελετῶσα φαντασίαν ὑφίστασθαι καὶ προσβιαζομένη τῷ λογισμῷ πρὸς ἕκαστον, εὑρήσει πολὺ τὸ κατεψευσμένον καὶ διάκενον καὶ σαθρὸν ἐν τοῖς δοκοῦσι χαλεποῖς καὶ φοβεροῖς, ὡς ὁ καθ' ἕκαστον ἀποδείκνυσι λόγος.

θ'. Καίτοι πολλοὶ καὶ τὸ τοῦ Μενάνδρου πεφρίκασιν,

Οὐκ ἔστιν εἰπεῖν ζῶντα, τοῦτ' οὐ πείσομαι,

ἀγνοοῦντες ὅσον ἐστὶ πρὸς ἀλυπίαν ἀγαθὸν, τὸ μελετᾶν καὶ δύνασθαι πρὸς τὴν τύχην ἀνεῳγόσι τοῖς ὄμμασιν

D. 1. τάχα δὲ] Corruptus locus. Adhuc probo Mez. corrigentem διαδιδράσκοντα εἰς τὸ, τάχα δὲ—. Reddidi in Latinis.
D. 2. Ἀνίαν] Mez. ἄνοιαν. Reiſk. ἀτονίαν. Utrumque vulgato præſtat.

cere in minoribus rebus demum, quomodo ſimus ad majora affecti: non fugere aut averſari hanc animi accurationem; neque nos convertere ad iſtud dictum, *Forte nil hac re difficilius.* Etenim animi oblectatio ſubducens ſe a rerum adverſarum cogitatione, et circa facillima et ſuaviſſima identidem verſans, fatuitatem quandam et imperitam mollitiem ingenerat: qui vero morbi etiam, doloris, exſilii ſpeciem meditatur, ac rationis imperio ſe ad iſta ſuſtinenda componit animus, multa is inveniet falſa, inania, et putrida eſſe in his, quæ gravia vulgo ac terribilia videntur: id quod de ſingulis initæ rationes demonſtrant.

XIX. At multi etiam adhoc Menandreum expaveſcunt:

Dicere haud vivus poteſt quiſquam,
Hoc non obtinget mihi:

ſcilicet ignorantes quantum ſit ad vacuitatem doloris bonum, meditari ac poſſe adverſus fortunam apertis oculis reſpicere,

ἀντιβλέπειν, καὶ μὴ ποιεῖν ἐν αὐτῷ τὰς φαντασίας ἀτρίπτους καὶ ἁπαλάς, ὥσπερ ἐσκιατροφημένας πολλαῖς ἐλπίσιν ὑπεικούσαις ἀεὶ καὶ πρὸς μηδὲν ἀντιτεινούσαις. Ἐκεῖνο μέντοι καὶ πρὸς τὸν Μένανδρον ἔχομεν εἰπεῖν,

Οὐκ ἔστιν εἰπεῖν ζῶντα, τοῦτ' οὐ πείσομαι,

ἀλλ' ἔστιν εἰπεῖν ζῶντα, Τοῦτο οὐ ποιήσω, Οὐ ψεύσομαι, Οὐ ῥᾳδιουργήσω, Οὐκ ἀποστερήσω, Οὐκ ἐπιβουλεύσω. Τοῦτο γὰρ ἐφ' ἡμῖν κείμενον, οὐ μικρὸν ἀλλὰ μέγα πρὸς εὐθυμίαν πάρεστιν. Ὥσπερ αὖ τοὐναντίον

Ἡ σύνεσις, ὅτι σύνοιδα δείν' εἰργασμένος,

οἷον ἕλκος ἐν σαρκί, τῇ ψυχῇ τὴν μεταμέλειαν, αἱμάσσουσαν ἀεὶ καὶ νύσσουσαν, ἐναπολείπει. Τὰς μὲν γὰρ ἄλλας ἀναιρεῖ λύπας ὁ λόγος, τὴν δὲ μετάνοιαν αὐτὸς ἐργάζεται, δακνομένης σὺν αἰσχύνῃ τῆς ψυχῆς, καὶ κολαζομένης ὑφ' αὑτῆς. Ὡς γὰρ οἱ ῥιγοῦντες ἠπιάλοις

F. 4. δεῖν'] Sumſi a Moſc. 1. Euripidis eſt Oreſt. 396. Ergo diſtinxi a proſa oratione.

F. 8. δακνομένης—κολαζομένης] Sic D. Vulgo, vitioſe δακνομένην—κολαζομένην quod Stephano debetur, bonam lectionem non integram recipienti. Nam Ald. Baſ. Xyl. Moſc. 1. 2. Voſſ. Colleg. Nov. item Stob. p. 192. habent δακνομένην σὺν αἰσχύνῃ καὶ κολαζομένην, omiſſo τῆς ψυχῆς.

F. 9. ῥιγοῦντες ἠπιάλοις] Vulgo ῥιγοῦντες ἢ ἠπιάλοις. Delevi ἢ cum Moſc. 1. 2.

neque in ſeipſo imaginationes concipere delicatas, neque in umbra educatum imbibere ſpes multas ſubinde cedentes, nulliquue reluctantes adverſitati. Menandro quidem ſic poſſumus reſpondere,

Dicere haud vivus poteſt quiſquam,
Hoc non obtinget mihi.

atqui hoc licet dicere, *Vivus nunquam in me iſthuc admittam*, *Non mentiar*, *Non agam ſubdole*, *Non defraudabo*, *Non inſidiabor*. Hoc enim in noſtra ſitum eſt poteſtate, non parvum, ſed ingens ad animi tranquillitatem adjumentum. Contra male factorum

Conſcientia, quod conſcius ſum male factorum mibi,

veluti ulcus in carne, in animo pœnitentiam relinquit, pungentem ſubinde atque ſauciantem. Alios enim dolores ratio tollens, pœnitentiam ſolam efficit, a ſeſe ob pudorem morſibus crebris vexatam et pœnas dantem. Ac quemad-

καὶ πυρετοῖς διακαιόμενοι τῶν ταῦτα παρόντων ἔξωθεν ἀπὸ καύματος ἢ κρύους μᾶλλον ἐνοχλοῦνται καὶ χεῖρον ἔχουσιν, οὕτως ἐλαφροτέρας ἔχει τὰ τυχηρὰ τὰς λύπας ὥσπερ ἔξωθεν ἐπιφερομένας· τὸ δέ,

Οὔ τις ἐμοὶ τῶν ἄλλων ἐπαίτιος, ἀλλ' ἐγὼ αὐτός,

ἐπιθρηνούμενον τοῖς ἁμαρτανομένοις ἔνδοθεν ἐξ αὐτῆς, βαρύτερον ποιεῖ τῷ αἰσχρῷ τὸ ἀλγεινόν. Ὅθεν οὔτε οἰκία πολυτελὴς, οὔτε χρυσίου πλῆθος, οὔτε ἀξίωμα γένους, οὔτε μέγεθος ἀρχῆς, οὐ λόγου χάρις, οὐ δεινότης εὐδίαν παρέχει βίῳ καὶ γαλήνην τοσαύτην, ὅσην ψυχὴ καθαρεύ-
B ουσα πραγμάτων καὶ βουλευμάτων πονηρῶν, καὶ τὴν τοῦ βίου πηγὴν τὸ ἦθος ἀτάραχον ἔχουσα καὶ ἀμίαντον· ἀφ' ἧς αἱ καλαὶ πράξεις ῥέουσαι, καὶ τὴν ἐνέργειαν ἐνθουσιώδη καὶ ἱλαρὰν μετὰ τοῦ μέγα φρονεῖν ἔχουσι, καὶ τὴν μνήμην ἡδίονα καὶ βεβαιοτέραν τῆς Πινδαρικῆς γηροτρόφου ἐλπίδος. Οὐ γὰρ αἱ μὲν λιβανωτρίδες, ὡς ἔλεγε

modum qui rigent epialis febribuſve æſtuant, graviorem ſentiunt moleſtiam, ac deterius afficiuntur, quam quibus eadem extrinſecus ab æſtu aut gelu accidunt: ita fortuita leviores inferunt dolores, tanquam ab externis illatos: at vero hoc,

Horum non alius, mihi ſum cauſa ipſe, malorum.

qui ſuis delictis intus cum luctu accinit, is dolorem turpitudine aggravat. Quo fit, ut neque pretioſa domus, neque auri copia, neque generis dignitas, neque magiſtratus amplitudo, neque facundia aut eloquentia tantam vitæ ſerenitatem tranquillitatemque præſtet, quantam animus actionum conſiliorumque pravorum purus, ingeniumque, qui vitæ actionum hic eſt fons, perturbationis expers, intaminatumque: unde promanant honeſtæ actiones, efficacitatemque quaſi divino inſtinctu exagitatam hilaremque, et cum animi honeſta elatione conjunctam habent, memoriamque dulciorem et ſtabiliorem Pindarica illa ſpe, quam is *alumnam ſenum* dixit. Non e-

Καρνεάδης, κἂν ἀποκενωθῶσι, τὴν εὐωδίαν ἐπὶ πολὺν χρόνον ἀναφέρουσιν· ἐν δὲ τῇ ψυχῇ τοῦ νοῦν ἔχοντος αἱ καλαὶ πράξεις οὐκ ἀεὶ κεχαρισμένην καὶ πρόσφατον ἐναπολείπουσι τὴν ἐπίνοιαν, ὑφ' ἧς τὸ χαίρειν ἄρδεται καὶ τέθηλε, καὶ καταφρονεῖ τῶν ὀδυρομένων καὶ λοιδορούντων τὸν βίον, ὥς τινα κακῶν χώραν, ἢ φυγαδικὸν τόπον ἐνταῦθα ταῖς ψυχαῖς ἀποδεδειγμένον.

κ'. Ἄγαμαι δὲ καὶ τοῦ Διογένους, ὃς τὸν ἐν Λακεδαίμονι ξένον ὁρῶν παρασκευαζόμενον εἰς ἑορτήν τινα καὶ φιλοτιμούμενον, “Ἀνὴρ δὲ, εἶπεν, ἀγαθὸς οὐ πᾶσαν ἡμέραν ἑορτὴν ἡγεῖται; Καὶ πάνυ γε λαμπράν, εἰ σωφρονοῦμεν. Ἱερὸν μὲν γὰρ ἁγιώτατον, ὁ κόσμος ἐστὶ καὶ θεοπρεπέστατον· εἰς δὲ τοῦτον ὁ ἄνθρωπος εἰσάγεται διὰ τῆς γενέσεως, οὐ χειροκμήτων οὐδὲ ἀκινήτων ἀγαλμάτων θεατής, ἀλλ' οἷα νοῦς θεῖος αἰσθητὰ νοητῶν μιμή- D
ματα, φησὶν ὁ Πλάτων, ἔμφυτον ἀρχὴν ζωῆς ἔχοντα καὶ κινήσεως ἔφηνεν, ἥλιον καὶ σελήνην καὶ ἄστρα καὶ ποταμοὺς

nim roris quidem marini frutices, ut Carneades teſtatur, etiam excisi diu fragrantiam ſuam ſervant: in anima autem viri prudentis actiones pulchræ non ſemper gratam recentemque ſui relinquunt memoriam, quibus lætitia rigatur, floretque, et contemnit eos qui deplorant vituperantque hanc vitam, veluti quandam malorum regionem, aut locum exſilii animis in hoc mundo deſignatum.

XX. Perquam mihi placet illud Diogenis dictum, qui hoſpitem Lacedæmone videns parare ſe magno ſtudio ad quandam feſtivitatem, *Quid?* aiebat, *an non vir probus quemvis diem feſtum cenſet?* et quidem, ſi ſobrie vivimus, admodum illuſtrem. Eſt enim ſanctiſſimum templum ac diviniſſimum hic mundus: in hunc inducitur homo cum naſcitur, non manu factorum et immobilium ſpectator futurus ſimulachrorum, ſed earum, quas mens divina ſenſiles mente ſola cernendorum effigies, in ſe inſitam vitæ motuſque habentes facultatem, fabricata eſt, Solem, inquam, Lunam,

νέον ὕδωρ ἐξιέντας ἀεί, καὶ γῆν φυτοῖς τε καὶ ζώοις τροφὰς ἀναπέμπουσαν. Ὧν τὸν βίον μύησιν ὄντα καὶ τελετὴν τελειοτάτην, εὐθυμίας δεῖ μεςὸν εἶναι καὶ γήθους· οὐχ ὥσπερ οἱ πολλοὶ Κρόνια καὶ Διονύσια καὶ Παναθήναια καὶ τοιαύτας ἄλλας ἡμέρας περιμένουσιν, ἵν' ἥσθωσι καὶ ἀναπνεύσωσιν ὠνητὸν γέλωτα, μίμοις καὶ ὀρχηςαῖς μισθοὺς τελέσαντες. Εἶτα ἐκεῖ μὲν εὔφημοι καθήμεθα κοσ-
E μίως· οὐδεὶς γὰρ ὀδύρεται μυούμενος, οὐδὲ θρηνεῖ Πύθια θεώμενος, ἢ πίνων ἐν Κρονίοις· ἃς δὲ ὁ θεὸς ἑορτὰς ἡμῖν χορηγεῖ καὶ μυςαγωγεῖ, καταισχύνουσιν, ἐν ὀδυρμοῖς τὰ πολλὰ καὶ βαρυθυμίαις καὶ μερίμναις ἐπιπόνοις διατρίβοντες. Καὶ τῶν μὲν ὀργάνων, χαίρουσι τοῖς ἐπιτερπὲς ἠχοῦσι, καὶ τῶν ὀρνέων τοῖς ᾄδουσι, καὶ τὰ

D. 6. εὐθυμίας] Nolui mutare, nec proximum εὔφημοι hic poſtulat εὐφημίας quod complures habent libri: Moſc. 2. Colleg. Nov. Collat. Muret. Schott, Mez. At Ald. dubitanter εὐφθημίας.

D. 9. ἀναπνεύσωσιν] Non placet. Nec codices ſatisfaciunt; quorum D. ἀναπέμπωσι: Colleg. Nov. ἀνασπεύσωσι. Melius ſit corrigere ἀναπνεύσωσιν, ὠνητοῦ γέλωτος μίμοις κ. ὀ. μ. τ.

D. 10. εὔφημοι] Revocavi ex Ald. Baſ. Xyl. Moſc. 1. 2. Voſſ. Colleg. Nov. Mez. ut magis diſputationi congruens vulgato εὔθυμοι.

E. 2. πίνων] Recepi ex Baſ. Xyl. Vulgo πεινῶν.

ſidera, fluvios novam ſubinde aquam edentes, terram ſtirpibus animalibuſque alimenta ſubmittentem. Quorum ſacrorum initiatio atque inſtitutio perfectiſſima cum ſit vita, profecto par eſt eam tranquillitatis animi ac lætitiæ eſſe plenam. Nam vulgus hominum imitari minime debemus, qui Saturnalia, Liberalia, ac Panathenæa aliaſque harum ſimiles præſtolantur feſtivitates, ut ibi oblectentur, ſeque emtitio riſu recreent, perſoluta mimis et hiſtrionibus mercede. Quid? Sedemus ibi ſilentes et compoſiti: nemo enim lamentatur, dum ſacris initiatur, neque ſpectans Pythia luget, aut Saturnalibus potans: quas vero nobis deus ferias ſuppeditat, et ad quæ nos ſacra deducit, fœdant homines vulgo, majorem vitæ partem in lamentis, mœrore, ac laborioſis ſolicitudinibus exigentes. Delectantur inſtrumentis ſonitum belle ac ſuaviter reddentibus, cantu avicularum itidem et

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΦΙΛΑΔΕΛΦΙΑΣ.

78 # ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΦΙΛΑΔΕΛΦΙΑΣ.

PLUTARCHI

DE

FRATERNO AMORE.

α΄. ΤΑ παλαιὰ τῶν Διοσκούρων ἀφιδρύματα οἱ Σπαρτιᾶται δόκανα καλοῦσι· ἔστι δὲ δύο ξύλα πα-
B ράλληλα δυσὶ πλαγίοις ἐπεζευγμένα, καὶ δοκεῖ τῷ φιλαδέλφῳ τῶν θεῶν οἰκεῖον εἶναι τοῦ ἀναθήματος τὸ κοινὸν καὶ ἀδιαίρετον. Οὕτω δὴ καὶ αὐτὸς ὑμῖν, ὦ Νιγρῖνε καὶ Κυῖντε, τὸ σύγγραμμα τοῦτο περὶ Φιλαδελφίας ἀνατί-

I. VETUSTA Caſtorum ſimulachra Spartani Docana, (quaſi trabalia,) appellant: ſunt autem duo ligna æqualiter invicem diſtantia, duobus aliis tranſverſis conjuncta: ac videtur communitas individua ejus ſigilli admodum convenire fraterno Deorum iſtorum inter ſe amori. Horum ego imitatione vobis, Nigrine et Quinte, ſcriptum

D αἱ ψυχὴ δυεῖν σωμάτων χερσὶ καὶ ποσὶ καὶ ὀφθαλμοῖς.

β'. Καί τοι τὸ παράδειγμα τῆς χρήσεως τῶν ἀδελφῶν, ἡ φύσις οὐ μακρὰν ἔθηκεν, ἀλλ' ἐν αὐτῷ τῷ σώματι τὰ πλεῖστα τῶν ἀναγκαίων διττὰ καὶ ἀδελφὰ καὶ δίδυμα μηχανησαμένη, χεῖρας, πόδας, ὄμματα, ὦτα, ῥῖνας, ἐδίδαξεν ὅτι ταῦτα πάντα σωτηρίας ἕνεκα καὶ συμπράξεως κοινῆς, οὐ διαφορᾶς καὶ μάχης, οὕτω διέστησεν· αὐτάς τε τὰς χεῖρας εἰς πολλοὺς καὶ ἀνίσους δακτύλους σχίσασα, πάντων ὀργάνων ἐμμελέστατα καὶ τεχνικώτατα παρέχειν· ὥστε Ἀναξαγόραν τὸν παλαιὸν ἐν ταῖς
E χερσὶ τὴν αἰτίαν τίθεσθαι τῆς ἀνθρωπίνης σοφίας καὶ συνέσεως. Ἀλλὰ τούτου μὲν ἔοικεν ἀληθὲς εἶναι τοὐναντίον· οὐ γὰρ ὅτι χεῖρας ἔσχεν ἄνθρωπος, σοφώτατον· ἀλλ' ὅτι φύσει λογικὸν ἦν καὶ τεχνικὸν, ὀργάνων φύσει τοιούτων ἔτυχεν. Ἐκεῖνο δὲ παντὶ δῆλον ὡς ἀπὸ σπέρματος ἑνὸς καὶ μιᾶς ἀρχῆς ἡ φύσις ἀδελφοὺς δύο καὶ τρεῖς καὶ πλείονας ἐποίησεν, οὐ πρὸς διαφορὰν καὶ ἀντίταξιν, ἀλλ' ὅπως

quam ſi una anima duorum corporum manus, pedes, oculoſque regeret.

II. Atqui exemplum uſus fraterni natura non longe a conſpectu removit: ſed in ipſo corpore pleraque neceſſaria fecit duplicia, germana, et gemella, manus, pedes, oculos, aures, nares: eo ſignificans, omnia hæc ſalutis et mutui auxilii, non diſſidii cauſa et pugnæ ſic eſſe diviſa: ipſaſque manus in multos atque inæquales ſciſſas digitos omnium inſtrumentorum accuratiſſime et artificioſiſſime paravit; adeo ut Anaxagoras ille priſcus humanæ ſapientiæ cauſam manibus imputaverit; falſo quidem hoc. Non enim propter manus homo eſt ſapientiſſimus: ſed quia natura eum ratione et arte prædiderat, inſtrumenta quoque talia eſt nactus. Id vero omnibus eſt manifeſtum, naturam ex uno ſemine ac principio duos, tres, aut etiam plures fratres gignere, non diſcordiæ ac repug-

χωρὶς ὄντες, ἀλλήλοις μᾶλλον ἐπαρκῶσι. Οἱ γὰρ δὴ τρισώματοι καὶ ἑκατοντάχειρες, εἴπερ ἐγένοντο, συμφυεῖς ὄντες πᾶσι τοῖς μέρεσιν, οὐδὲν ἐκτὸς αὑτῶν οὐδὲ χωρὶς ἐδύναντο ποιεῖν· ὃ τοῖς ἀδελφοῖς ὑπάρχει, καὶ μένειν καὶ ἀποδημεῖν ἅμα, καὶ πολιτεύεσθαι, καὶ γεωργεῖν διαμένουσι δι' ἀλλήλων· ἄνπερ ἣν ἡ φύσις ἔδωκεν εὐνοίας καὶ συμφωνίας ἀρχὴν φυλάττωσιν· εἰ δὲ μὴ, ποδῶν οὐδὲν, οἶμαι, διοίσουσιν ἀλλήλους ὑποσκελιζόντων, καὶ δακτύλων ἐμπλεκομένων καὶ διαστρεφομένων παρὰ φύσιν ὑπ' ἀλλήλων. Μᾶλλον δὲ, ὥσπερ ἐν ταὐτῷ σώματι μιᾶς κοινωνοῦντα φύσεως καὶ τροφῆς τὰ ὑγρὰ καὶ ξηρὰ, καὶ ψυ- 478
χρὰ καὶ θερμὰ, τῇ ὁμονοίᾳ καὶ συμφωνίᾳ τὴν ἀρίστην καὶ ἡδίστην κρᾶσιν ἐμποιεῖ καὶ ἁρμονίαν, ἧς χωρὶς οὔτε πλούτου, φασὶν, οὔτε τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς εἶναί τινα χάριν καὶ ὄνησιν· ἂν δὲ πλεονεξία καὶ στάσις αὐτοῖς ἐγγένηται, διέφθειρεν αἴσχιστα καὶ συνέχεε τὸ ζῷον· οὕτως ἀδελφῶν ὁμοφροσύνῃ καὶ γένος καὶ οἶκος

nantiæ cauſa, ſed ut ſeparati facilius ſeſe mutuo adjuvarent. Quippe tricorpores illi et centimani, ſiquidem exiſterunt, omnibus inter ſe membris concreti, nihil foris aut ſeorſim agere potuerunt; cum fratres et manere, et peregrinari, et ſimul rempublicam gerere, atque agros colere mutuis operis poſſint; ſiquidem principium benevolentiæ ac concordiæ a natura inditum conſervent: quod ſi non faciunt, nihil differunt a pedibus invicem ſe ſupplantantibus, opinor, aut digitis contra naturam mutuo ſe implicantibus ac diſtorquentibus. Immo ſicut in uno eodemque corpore unius communicatione naturæ atque alimenti humida et ſicca, frigida et calida, concentu conſenſuque ſuo temperiem corpori optimam ſuaviſſimamque conciliant, *ſine qua neque divitiæ*, ut dicitur, *neque regnum quod homines diis æquat*, ullam habent gratiam aut utilitatem: ſi autem inter iſta oboriatur ſeditio, altero alterum opprimente, fœdiſſime animal corrumpitur atque perditur: ſic ob

ὑγιαίνει καὶ τέθηλε, καὶ φίλοι καὶ συνήθεις, ὥσπερ ἐμμελὴς χορός, οὐθὲν οὔτε πράσσουσιν ἐναντίον, οὔτε λέγουσιν, οὔτε φρονοῦσιν·

Ἐν δὲ διχοστασίῃ, καὶ ὁ πάγκακος ἔμμορε τιμῆς·

οἰκέτης διάβολος, ἢ κόλαξ παρενδὺς θυραῖος, ἢ πο-
B λίτης βάσκανος. Ὡς γὰρ αἱ νόσοι τοῖς σώμασι μὴ προσιεμένοις τὸ οἰκεῖον, πολλῶν ἐμποιοῦσιν ἀτόπων καὶ βλαβερῶν ὀρέξεις· οὕτως ἡ πρὸς τὸ συγγενὲς διαβολὴ καὶ ὑφόρασις, ὁμιλίας ἐπάγεται φαύλας καὶ πονηρὰς εἰς τὸ ἐλλιπὲς ἔξωθεν ἐπιρρεούσας.

γ΄. Ὁ μὲν οὖν Ἀρκαδικὸς μάντις ἀναγκαίως πόδα ξύλινον προσεποιήσατο, καθ' Ἡρόδοτον, τοῦ οἰκείου στερηθείς· ἀδελφὸς δὲ πολεμῶν ἀδελφῷ, καὶ κτώμενος ὀθνεῖον ἐξ ἀγορᾶς ἢ παλαίστρας ἑταῖρον, οὐθὲν ἔοικεν ἄλλο ποιεῖν ἢ σάρκινον καὶ συμφυὲς ἑκουσίως ἀποκόψας μέρος, ἀλλότριον προστίθεσθαι καὶ προσαρμόττειν. Αὐτὴ γὰρ ἡ

A. 9. οὔτε φρονοῦσιν] Sic A. Vulgo, ἢ φρονοῦσιν.
B. 8. ὀθνεῖον] Schott. ὤνιον.
B. 10. μέρος] D. μέλος.

fratrum concordiam, et genus floret, et viget familia, et amici familiareſque inſtar chori ſcite inſtituti, nihil neque dicunt contrarium, neque ſentiunt aut faciunt,

At per diſſidium vel peſſimus eſt in honore:

ſcilicet obrepente aut calumniatore ſervo, aut adulatore extrinſeco, aut cive invido. Sicut enim morbi corporibus ſuum averſantibus alimentum multorum abſurdorum ac damnoſorum ingenerant appetitionem: ſic ſiniſtræ de cognatis ſuſpiciones, conſuetudinem malorum hominum adſciſcunt, extrinſecus in locum ejus quod deeſt affluentem.

III. Arcadicus ille apud Herodotum vates, ſuo pede ſpoliatus neceſſe habuit ligneum aſſumere: frater autem, ob diſſidium cum fratre, alienum e foro aut palæſtra ſibi ſocium arceſſens, nihil videtur agere aliud, quam carneam et ſecum natam partem corporis ultro amputans alienam apponere ſibi. Ipſe enim uſus

ὑγιαίνοντός ἐστιν, οὐδ' ἐν νῷ πώποτε τὴν φύσιν, ὡς ἁγιώ-
B τατον καὶ μέγιστον ἱερὸν, λαβόντος.

δ'. Οἶδα γοῦν ἐμαυτὸν ἐν Ῥώμῃ δυεῖν ἀδελφῶν ἀναδεξάμενον δίαιταν, ὧν ἅτερος ἐδόκει φιλοσοφεῖν· ἦν δὲ, ὡς ἔοικεν, οὐ μόνον ἀδελφὸς ἀλλὰ καὶ φιλόσοφος ψευδεπίγραφος καὶ ψευδώνυμος· ἐμοῦ γὰρ ἀξιοῦντος αὐτὸν ὡς ἀδελφῷ καὶ ἰδιώτῃ φιλόσοφον προσφέρεσθαι, Ταῦτα, εἶπεν, ὡς πρὸς ἰδιώτην ἀληθῶς· ἐγὼ δὲ, οὐ σεμνὸν οὐδὲ μέγα ποιοῦμαι τὸ ἐκ τῶν αὐτῶν μορίων γεγονέναι. Σὺ μὲν, ἔφην ἐγὼ, δῆλος εἶ μηδὲ τὸ ἐκ μορίων γεγονέναι,
F μέγα καὶ σεμνὸν ἡγούμενος. Ἀλλ' οἵ γε πάντες ἄλλοι, εἰ καὶ μὴ φρονοῦσιν οὕτως, λέγουσι γοῦν καὶ ᾄδουσιν, ὡς γονεῦσι τιμὴν μετὰ θεοὺς πρώτην καὶ μεγίστην ἥ τε φύσις, ὅ, τε τὴν φύσιν σώζων νόμος ἀπέδωκε· καὶ οὐκ ἔστιν ὅτι μᾶλλον ἄνθρωποι κεχαρισμένον θεοῖς δρῶσιν, ἢ τοκεῦσιν αὐτῶν καὶ τροφεῦσι παλαιὰς ἐπὶ νέαις δανεισθείσας χάριτας εὐμενῶς

E. 9. μηδὲ τὸ ἐκ μορίων] Sic omnes libri Ald. Baſ. Xyl. A.C.D. Moſc. 1. 2. Vulgo vitioſe, μηδὲ τὸ ἐκ τῶν αὐτῶν μορίων: quod Steph. ex Schott. recepit.

rum ſani eſt, et ejus qui nondum in animum induxerit naturam ſanctiſſimum eſſe ac maximum ſacrum.

IV. Memini me cum Romæ eſſem, arbitrium inter duos fratres ſuſcepiſſe, quorum alter videbatur philoſophiæ operam navare: erat autem, ut res docuit, non fratris modo, ſed etiam philoſophi falſo titulo ornatus: me enim petente, ut cum fratre et indocto ita ageret, ſicut philoſophum deceret, *Hæc*, aiebat, *tu vere ad rudem litterarum hominem diceres: ego autem nihil puto præclari eſſe in eo, quod eodem ex utero nati ſumus. Tu vero*, dicebam ego, *ſatis oſtendis, ne id quidem magni abs te fieri, quod ex genitalibus natus es.* At vero reliqui omnes, etiam ſi ſecus ſentiant, tamen hoc dicunt atque canunt, primum, ſecundum Deos, honorem ac præcipuum parentibus naturam, et legem naturæ deſtinaſſe: neque Diis quicquam gratius homines facere, quam ſi parentibus altoribuſque ſuis veteres ſuper novis fœneratas

καὶ προθύμως ἐκτίνοντες. Οὐδ' αὖ πάλιν μείζων ἐπίδειξις ἀθέου γέγονε τῆς περὶ γονεῖς ὀλιγωρίας καὶ πλημμελείας. Διὸ τοὺς μὲν ἄλλους κακῶς ποιεῖν ἀπείρηται· μητρὶ δ' αὐτοῦ καὶ πατρὶ τὸ μὴ παρέχειν ἑαυτοὺς δρῶντας ἀεὶ καὶ λέγοντας ἀφ' ὧν εὐφραίνονται, κἂν μὴ προσῇ τὸ λυποῦν, ἀνόσιον ἡγοῦνται καὶ ἄθεσμον. Τίς οὖν ἐστι παρὰ παίδων γονεῦσιν ἢ πρᾶξις ἢ χάρις ἢ διάθεσις μᾶλλον εὐφραίνειν δυναμένη, τῆς πρὸς ἀδελφὸν εὐνοίας βεβαίου καὶ φιλίας;

ε'. Καὶ τοῦτό γε ῥᾴδιόν ἐστιν ἀπὸ τῶν ἐλαττόνων καταμαθεῖν. Ὅπου γὰρ οἰκότριβα τιμώμενον ὑπὸ πατρὸς ἢ μητρὸς υἱοὶ προπηλακίζοντες, καὶ φυτῶν καὶ χωρίων οἷς ἔχαιρον ἀμελοῦντες, ἀνιῶσιν αὐτούς, καὶ κύων τις οἰκογενὴς παρορώμενος καὶ ἵππος ἄχθεται φιλοστόργων καὶ φιλοτίμων γερόντων, ἄχθονται δὲ τοῖς παισὶν ἀκροάματα καὶ θεάματα καὶ ἀθλητὰς οὓς ἐθαύμαζον αὐτοὶ διασύρουσι καὶ καταφρονοῦσιν· ἦπου μετρίως ἔχουσιν υἱοῖς δια-

gratias benigne et alacriter perſolvant. Neque, contra, majus eſt argumentum impietatis quam parentum deſpicatus et in eos injuria. Itaque interdictum eſt nobis, ne aliis male faciamus: matri autem et patri non ita ſe dare, ut ſemper ea dicas atque agas quibus lætantur, etiam ſi moleſtiam præterea nullam afferas, impium injuſtumque habetur. Quæ autem liberorum actio, quod officium, quæ affectio majorem parentibus afferat lætitiam, quam conſtans fratrum inter ſe benevolentia atque amor?

V. Quid? nonne id facile e contrario poteſt perſpici? Ubi enim vernam pater et mater a ſe in honore habitum filiis ignominia afficientibus, aut plantas et agros quibus ipſi gaudebant aliquando negligentibus moleſtiam capiunt, domique natus canis aliquis aut equus non curatus ſenum humanorum atque liberalium animos tangit, et ægre ferunt a liberis cantus, ſpectacula, aut athletas quos probaverant ipſi, deſpici aut exſibilari; æquone iidem ferre animo poſſint

φερομένοις καὶ μισοῦσιν ἀλλήλους καὶ κακῶς λέγουσι, καὶ πρὸς ἔργα καὶ πράξεις ἀντιταττομένοις ἀεί, καὶ καταλυομένοις ὑπ' ἀλλήλων; οὐκ ἂν εἴποι τις. Οὐκοῦν τοὐναντίον, ἐρῶντες ἀλλήλων καὶ φιλοῦντες ἀδελφοί, καὶ ὅσον ἡ φύσις τοῖς σώμασι διέστησεν, ἐπὶ ταὐτὸ τοῖς πάθεσι καὶ τοῖς πράγμασιν ἀποδιδόντες, καὶ λόγους κοινοὺς καὶ δια-
C τριβὰς ἅμα καὶ παιδιὰς μετ' ἀλλήλων ἔχοντες, ἡδεῖαν καὶ μακαρίαν παρεσκευάκασι γηροτρόφον τοῖς γονεῦσι τὴν φιλαδελφίαν. Οὔτε γὰρ φιλόλογος πατὴρ οὕτως, οὔτε φιλότιμος, οὔτε φιλοχρήματος γέγονεν, ὡς φιλότεκνος· διὸ τοὺς υἱοὺς οὔτε λέγοντας οὔτε πλουτοῦντας οὔτε ἄρχοντας ἡδέως οὕτως, ὡς φιλοῦντας ἀλλήλους, ὁρῶσιν. Ἀπολλωνίδα οὖν τὴν Κυζικηνήν, Εὐμενοῦς δὲ τοῦ βασιλέως μητέρα, καὶ τριῶν ἄλλων, Ἀττάλου καὶ Φιλεταίρου καὶ Ἀθηναίου, λέγουσι μακαρίζειν ἑαυτὴν ἀεὶ καὶ τοῖς θεοῖς χάριν ἔχειν, οὐ διὰ τὸν πλοῦτον, οὐδὲ διὰ τὴν ἡγε-

B. 10. ἀποδιδόντες] Forte ἐπιδιδόντες: vel potius, ἀπονεύοντες.

filios inter ſe diſcordias alere, odia gerere, maledictis mutuis inceſſere, in omnibus rebus et actionibus invicem ſe opponere, denique unum ab altero everti? non, puto, quiſquam hoc dixerit. Ergo, contra, amantes ac diligentes mutuo fratres, et quantum natura corporibus dejunxit eos, tantum animi affectionibus et actionibus in unum coëuntes, et ſtudia, orationes, denique ſeria et joca omnia inter ſe communia habentes, ſuavem et beatum ſenectutis parentum alumnum mutuum amorem parant. Nemo unquam pater ita dicendi, honorum, pecuniæ, ſtudioſus fuit, ut liberorum; itaque neque dicentes, neque magiſtratum gerentes, neque rem augentes filios tam ſuaviter vident, quam mutuo amantes. Apollonidem Cyzicenam, Eumenis regis matrem ac trium præterea filiorum Attali, Philetæri, et Athenæi, prædicaſſe ſubinde ſe beatam, diiſque egiſſe aiunt gratias, non propter divitias vel imperium, ſed quod tres

τοὺς ἀδελφοὺς ὀφείλουσιν· ὡς τοῦτο δὴ κτημάτων ἁπάντων τιμιώτατον καὶ ἥδιστον ἔχοντες παρ' αὐτῶν. Εὖ γέ τοι καὶ Ὅμηρος πεποίηκε Τηλέμαχον ἐν συμφορᾷ τὸ ἀνάδελφον τιθέμενον,

Ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων.

F Ὁ δὲ Ἡσίοδος οὐκ εὖ παραινεῖ μουνογενῆ παῖδα τῶν
πατρῴων ἐπίκληρον εἶναι, καὶ ταῦτα τῶν Μουσῶν γεγονὼς μαθητής, ἃς ὁμοῦ δι' εὔνοιαν ἀεὶ καὶ φιλαδελφίαν οὔσας, οὕτως ὠνόμαζον Μούσας. Πρὸς μὲν οὖν γονεῖς ἡ Φιλαδελφία τοιοῦτόν ἐστιν, ὥστε τὸ φιλεῖν ἀδελφὸν, εὐθὺς ἀπόδειξιν εἶναι τοῦ καὶ τὸν πατέρα φιλεῖν καὶ τὴν μητέρα· πρὸς δὲ παῖδας αὐτοῦ, δίδαγμα καὶ παράδειγμα Φιλαδελφίας, οἷον οὐδὲν ἄλλο· καὶ τοὐναντίον αὖ πάλιν πονηρὸν, ὥσπερ ἐξ ἀν-
81 τιγράφου πατρῴου, τὴν μισαδελφίαν ἀναλαμβάνουσιν. Ὁ γὰρ ἐν δίκαις καὶ στάσεσι καὶ ἀγῶσι πρὸς ἀδελφοὺς ἐγγεγηρακὼς, εἶτα τοὺς υἱοὺς ὁμονοεῖν παρακαλῶν,

fratres: ſcilicet hos a parentibus conſecutos, rem omnium, quæ habentur, pretioſiſſimam ac ſuaviſſimam. Pulchre etiam Homerus facit Telemachum calamitatis loco deputare, quod fratre careret,

Uſque adeo noſtram gentem Saturnius orbam
Reddidit, ut me ſtirps dependeat omnis ab uno.

Heſiodus autem non bene præcipit, unicum filium debere paternorum eſſe hæredem bonorum: et quidem Muſarum diſcipulus; quæ, quia ob benevolentiam et amorem ſororium ſimul ſemper degerent, Muſæ, quaſi *homû uſæ*, dicuntur. Ergo parentum reſpectu Fraternus Amor talis res eſt, ut qui fratrem diligit, is ſimul demonſtret parentes quoque a ſe amari. Liberis autem eadem res exemplum mutuo amandi præbet, quo efficacius nullum inveniri poſſit: ſicut ab altera parte peſſimum mutuo odia gerendi ſtudium iidem ſpecimen parentum ſecuti ſuſcipiunt. Qui enim filios ad concordiam cohortatur, cum ipſe in litibus, rixis, et certaminibus fraternis conſenuerit, is

Ἄλλων ἰατρὸς, αὐτὸς ἕλκεσι βρύων,

ἀσθενῆ ποιεῖ τοῖς ἔργοις τὸν λόγον. Εἰ γοῦν ὁ Θηβαῖος Ἐτεοκλῆς πρὸς τὸν ἀδελφὸν εἰρηκώς,

Ἄστρων ἂν ἔλθοιμ' ἡλίου πρὸς ἀντολὰς,
Καὶ γῆς ἔνερθεν, δυνατὸς ὢν δρᾶσαι τάδε,
Τὴν τῶν θεῶν μεγίστην ὥστ' ἔχειν τυραννίδα,

τοῖς αὐτοῦ πάλιν παρεκελεύετο τέκνοις,

Ἰσότητα τιμᾶν, ἣ φίλους ἀεὶ φίλοις,
Πόλεις τε πόλεσι, συμμάχους τε συμμάχοις
Συνδεῖ· Τὸ γὰρ ἴσον μόνιμον ἀνθρώποις ἔφυ,

τίς οὐκ ἂν αὐτοῦ κατεφρόνησε; Ποῖος δ' ἂν ἦν ὁ B
Ἀτρεὺς, εἰ τοιαῦτα δειπνίσας τὸν ἀδελφὸν, ἐγνωμολόγει πρὸς τοὺς παῖδας,

Φίλων γε μέντοι χρῆσις ἡ πρὸς αἵματος,
Μόνη κακοῦ ῥέοντος ὠφελεῖν φιλεῖ.

ζ'. Διὸ καὶ γονέων χαλεπὴν γηροτρόφον οὖσαν, καὶ χείρονα παιδοτρόφον τέκνων, ἐκκαθαίρειν προσήκει τὴν μισαδελφίαν. Ἔστι δὲ καὶ πρὸς πολίτας διάβολος καὶ κατήγορος· οἴονται γὰρ οὐκ ἂν ἐκ τοσαύτης συντροφίας καὶ

A. 7. ἂν ἔλθοιμ' ἡλίου] Prius, pro vulgato ἀνέλθοιμ', ſumſimus ab Jannot. et Moſc. Alterum ἡλίου omnes noſtri libri habent, ut edita Euripidis exempla: ad quæ etiam D. correctus eſt, vetere lectione eraſa. Legendum αἰθέρος e Stobæo, ut monuit Valckenarius Phœniſſ. 507.

Aliis mederi vult, ipſe ulceribus ſcatens:

factiſque ſuis orationi vires adimit. Quis vero non deſpiceret Eteoclem illum Thebanum, ſi hæc adverſus fratrem fatus,

Ad ſolis ortum ſita ſidera ſcandere velim, et
Subire terras, hoc ſi poſſim conſequi,
Deorum maxima ut potiar tyrannide:

ſuis liberis præciperet

Æqualitatem colere, quæ urbes urbibus,
Sociosque ſociis, junctos junctis fœdere
Devincit, obligatque: ſolique omnium
In rebus humanis huic eſt permanſio?

Aut quis tibi videretur Atreus, ſi tali prandio fratri exhibito, filios ſuos hac ſententia inſtitueret?

Uſus equidem cognato junctis ſanguine
In rebus adverſis opem fert unicus.

VII. Expurgandum eſt ergo odium fratrum, quod et parentum ſenectutem male alit, et peſſime liberos educat. Adde, quod etiam apud cives criminibus objicit: exiſtimant enim ex tanta neceſſitudine, convictu, et familiaritate fra-

συνηθείας καὶ οἰκειότητος, ἐχθροὺς καὶ πολεμίους γενέσθαι, C μὴ πολλὰ καὶ πονηρὰ συνειδότας ἀλλήλοις. Μεγάλαι γὰρ αἰτίαι μεγάλην διαλύουσιν εὔνοιαν καὶ φιλίαν. Ὅθεν οὐδὲ ῥᾳδίως αὖθις ἐνδέχονται διαλύσεις. Ὥσπερ γὰρ τὰ συμπαγέντα, κἂν χαλάσῃ τὸ ἐγκόλλον, ἐνδέχεται πάλιν δεθῆναι καὶ συνελθεῖν· συμφυοῦς δὲ σώματος ῥαγέντος ἢ σχισθέντος, ἔργον ἐστὶ κόλλησιν εὑρεῖν καὶ σύμφυσιν· οὕτως αἱ μὲν ἀπὸ χρείας συνημμέναι φιλίαι κἂν διαστῶσιν, οὐ χαλεπῶς αὖθις ἀναλαμβάνουσιν· ἀδελφοὶ δὲ τοῦ κατὰ φύσιν ἐκπεσόντες, οὔτοι ῥᾳδίως συνέρχονται· κἂν συνέλθωσι, ῥυπαρὰν καὶ ὕποπτον οὐλὴν αἱ διαλύσεις D ἐφέλκονται. Πᾶσα μὲν οὖν ἔχθρα πρὸς ἄνθρωπον ἀνθρώπῳ μετὰ τῶν μάλιστα λυπούντων ἐνδυομένη παθῶν, φιλονεικίας, ὀργῆς, φθόνου, μνησικακίας, ὀδυνηρόν ἐστι καὶ ταραχῶδες· ἡ δὲ πρὸς ἀδελφόν, ᾧ θυσιῶν τε κοινωνεῖν ἀνάγκη, καὶ ἱερῶν πατρῴων, ὁμόταφόν τε γενέσθαι, καὶ που σύνοικον ἢ γείτονα χωρίων, ἐν ὄμμασιν ἔχει τὸ λυπηρόν,

tres ad inimicitias delabi nunquam potuiſſe, niſi multorum et atrocium ſibi invicem eſſent flagitiorum conſcii. Quippe magnas oportet eſſe cauſas, quæ magnam benevolentiam amicitiamque diſſipent. Unde fit, ut non facile locus ſit reconciliationi. Nam ſicut quæ compacta ſunt, etiam glutine ſoluto rurſus colligari ac coire poſſunt: corpus autem quod natura junxit ſi rumpatur aut ſcindatur, difficulter glutinari aut rurſum poteſt coaleſcere: ita quas uſus contraxit amicitias, eæ diſſidio accidente nullo negotio redintegrantur: fratres ubi naturali amore exciderunt, neque in gratiam facile redeunt, et reconciliatio ſemper cicatricem ſordidam ac latente malo infectam retinet. Enimvero omnis homini adverſus hominem inimicitia cum maxime moleſtis animi ſubiens affectionibus, ſtudio, inquam, contendendi, ira, invidia, memoria injuriarum, dolorem animo perturbationemque adfert: ſed adverſus fratrem ſuſcepta, cum quo ſacrificia ſunt, et ſacra parentum, ſepulchrumque communia, communis etiam, aut ſaltem vicina domus, ante ocu-

ὑπομιμνήσκουσα καθ' ἡμέραν τῆς ἀνοίας καὶ παραφροσύνης,
δι' ἣν τὸ ἥδιστον πρόσωπον καὶ συγγενέστατον εἶδος, σκυ-
θρωπότατον, ἥ τε προσφιλὴς ἐκ νέων φωνὴ καὶ συνήθης,
ἀκοῦσαι φοβερωτάτη γέγονε. Πολλοὺς δὲ τῶν ἄλλων ἀδελ- E
φῶν ὁρῶντες οἰκίᾳ μιᾷ τε χρωμένους καὶ τραπέζῃ καὶ
χωρίοις ἀνεμήτοις καὶ ἀνδραπόδοις, αὐτοὶ καὶ φίλους διῄ-
ρηνται καὶ ξένους, ἐχθρὰ πάντα τὰ προσφιλῆ τοῖς ἀ-
δελφοῖς νομίζοντες· καὶ ταῦτα, πᾶσιν ἐν μέσῳ λογίζεσ-
θαι παρόντος ὅτι ληϊστοὶ μέν τε φίλοι καὶ συμπόται, κτη-
τοὶ δὲ κηδεσταὶ καὶ συνήθεις, τῶν προτέρων ὥσπερ ὅπλων ἢ
ὀργάνων διαφθαρέντων· ἀδελφοῦ δὲ ἀντίκτησις οὐκ
ἔστιν, ὥσπερ οὐδὲ χειρὸς ἀφαιρεθείσης, οὐδὲ ὄψεως ἐκ-
κοπείσης. Ἀλλ' ὀρθῶς ἡ Περσὶς εἶπεν, ἀντὶ τῶν τέκνων
ἑλομένη σῶσαι τὸν ἀδελφὸν, ὅτι παῖδας μὲν ἑτέρους κτή- F
σασθαι δύναιτ' ἂν, ἀδελφὸς δὲ ἄλλος αὐτῇ, γονέων μὴ
ὄντων, οὐκ ἂν γένοιτο.

η'. Τί δῆτα χρὴ ποιεῖν, φαίη τις ἂν, ὅτῳ φαῦλος
ἀδελφὸς γένοιτο; Πρῶτον ἐκεῖνο μνημονεύειν, ὅτι παι-

los expoſitam habet moleſtiam, quotidie in memoriam redigens væcordiam, qua factum eſt ut jucundiſſimus vultus adſpectu jam ſit inviſiſſimus, et terrori ſummo vox a puero grata ac familiaris. Multos quoque alios fratres videntes eadem domo ac menſa et non diviſis inter ſe prædiis ac mancipiis uti, ipſi amicos etiam hoſpiteſque diverſos habent, inimica omnia ducentes quæ fratri ſint accepta: cum quidem omnibus hoc facillimum ſit ratiocinari, Amicos et compotores, affines et familiares parari alios poſſe, prioribus armorum inſtar aut inſtrumentorum perditis: fratrem recuperari non magis poſſe quam manum abſciſſam, aut erutum oculum. Præclare etenim mulier illa Perſica dixit, cum fratris ſalutem ſaluti liberum antetuliſſet, *Poſſe aliam ſe prolem nanciſci, fratrem autem, amiſſis parentibus, nullum.*

VIII. Quid ergo agendum eſt, dicas, ſi cui malus obtigerit frater? Primo om-

τὸς ἅπτεται γένους φιλίας ἡ φαυλότης, καὶ κατὰ τὸν Σοφοκλέα,

Τὰ πλεῖστα φωρῶν, αἰσχρὰ φωράσεις βροτῶν.

οὔτε γὰρ τὸ συγγενικὸν, οὔτε τὸ ἑταιρικὸν, οὔτε τὸ ἐρωτικὸν, εἰλικρινὲς καὶ ἀπαθὲς καὶ καθαρὸν ἐστὶν εὑρεῖν κακίας. Ὁ μὲν οὖν Λάκων μικρὰν γυναῖκα γήμας, ἔφη, Τὰ ἐλάχιστα δεῖν αἱρεῖσθαι τῶν κακῶν· ἀδελφοῖς δὲ σωφρόνως παραινέσειεν ἄν τις, τὰ οἰκειότατα τῶν κακῶν ὑπομένειν μᾶλλον ἢ πειρᾶσθαι τῶν ἀλλοτρίων· τοῦτο γὰρ ἀνέγκλητον, ὡς ἀναγκαῖον, ἐκεῖνο δὲ ψεκτὸν, ὡς αὐθαίρετον. Οὐ γὰρ ὁ συμπότης, οὐδὲ ὁ συνέφηβος, οὐδὲ ὁ ξένος,

Αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις·

ἀλλ' ὁ σύναιμος καὶ σύντροφος, καὶ ὁμοπάτωρ καὶ ὁμομήτωρ, ᾧ καὶ τῶν ἁμαρτημάτων εἰκός ἐστιν ἐπιχωρεῖν ἔνια, καὶ παρείχειν λέγοντα πρὸς ἀδελφὸν ἐξαμαρτάνοντα,

A. 9. τῶν ἁμαρτημάτων] Hoc Xyl. edidit e ſuo codice ſcripto: quocum conſentit D, e quo repoſui λέγοντα. Vulgo, τὴν ἀρετὴν—λέγοντι. Proximum πρὸς ἀδελφὸν ἐξαμαρτάνοντα, inſiticium videtur.

nium tenendum hoc eſt, vitium omni amicitiæ generi ſe inſinuare: et, ut eſt apud Sophoclem,

Mortalium res ſi cunctas examines,
Invenies in pleriſque turpitudinem.

nam neque cognatorum, neque ſodalium, neque venereus amor, ſincerus, purus, nulloque vitio ſuffuſus reperietur. Laco, quidem, cum puſillam duxiſſet uxorem, dicebat de malis minimum eſſe deligendum: fratribus autem modeſte hoc ſuaſeris, ut familiariſſima potius ſuſtineant mala, quam aliena experiantur: illud enim quia neceſſitas imponit, culpa et crimine vacat: hoc quia ſponte ſuſcipitur, reprehenſioni eſt obnoxium. Non enim compotori nos, non æquali, non hoſpiti

Sine ære factis compedibus pudor obligat:

ſed conſanguineo, ſimul educato, eundem patrem, eandem matrem habenti: hujus et peccatis quibuſdam ignoſcendum eſt, et dicendum fratri aliquando,

ἀδελφῶν ὀνομάζουσιν, ὀρθότητα δὲ τὴν σκαιότητα, τὸ δὲ φιλόνεικον ἀκαταφρόνητον· ὥστε τῷ διαλλάσσοντι περίεστι τὴν πρὸς τὸν ἀδελφὸν ὀργὴν ἐλαττοῦν ἅμα, καὶ τὴν πρὸς ἑαυτὸν εὔνοιαν αὔξειν τοῦ πατρός.

ι. Οὕτω δὲ ἀπολογησάμενον, ἤδη πρὸς ἐκεῖνον δεῖ τρέπεσθαι, καὶ καθάπτεσθαι σφοδρότερον τὸ ἁμάρτημα, καὶ τὸ ἔλλειμμα μετὰ παῤῥησίας ἐνδεικνύμενον. Οὔτε γὰρ
B ἐφιέναι δεῖ τοῖς ἀδελφοῖς, οὔτε αὖ πάλιν ἐπεμβαίνειν ἁμαρτάνουσιν αὐτοῖς· τὸ μὲν γὰρ ἐπιχαίροντός ἐστιν, ἐκεῖνο δὲ συνεξαμαρτάνοντος· ἀλλὰ κηδομένῳ καὶ συναχθομένῳ χρῆσθαι τῷ νουθετοῦντι. Γίνεται δὲ κατήγορος ἀδελφοῦ σφοδρότατος πρὸς αὐτὸν, ὁ προθυμότατος ὑπὲρ αὐτοῦ συνήγορος πρὸς τοὺς γονεῖς γενόμενος. Ἂν δὲ μηδὲν ἁμαρτάνων ἀδελφὸς ἐν αἰτίᾳ γένηται, τἄλλα μὲν ὑπουργεῖν γονεῦσι καὶ φέρειν ὀργήν τε πᾶσαν αὐτῶν καὶ δυσχέρειαν, ἐπιεικές· αἱ δὲ ὑπὲρ ἀδελφοῦ παρ᾽ ἀξίαν κακῶς ἀκούοντος ἢ πάσχοντος ἀντιδικίαι καὶ δικαιολογίαι

fratrum ſimplicitatis, pravitatem dexteritatis, pertinaciam animi contemptum non ferentis nomine velant; ut qui ſic fratrem in gratiam reponit, ſimul et iram adverſus eum conceptam minuat, et patris erga ſe augeat benevolentiam.

X. Purgato ad hunc modum fratre, jam is ipſe arripiendus eſt, ob peccatumque ſerio objurgandus, et libere oſtendendum ubi officium prodiderit. Nam neque negligendus eſt frater peccans neque inſultandum peccanti: quorum hoc eſt gaudium ex alterius malo capientis, illud peccandi ſocietatem ineuntis: ſed curam ſe fratris gerere, et dolorem ex ipſius incommodo ſentire oſtendet qui caſtigat. Vehementiſſime autem fratrem coram incuſare poteſt, is qui ei ſtudioſiſſime apud parentes fuit patrocinatus. Quod ſi frater injuria culpetur, in aliis quidem rebus iras parentum ferre atque indignationes, iiſque in omnibus miniſteriis operam navare æquum eſt: patrocinium autem et excuſatio fratris abſque culpa male audientis apud parentes res

νάκτησεν, οὐδὲ μετενόησεν, ἀλλὰ πράως καὶ ἱλαρῶς
B ἤνεγκε τοῦ ἀδελφοῦ τὴν ἄνοιαν, περιβόητον ἐν τῇ Ἑλλάδι γενομένην.

ιβ'. Ὁ μὲν οὖν Σόλων ἀποφηνάμενος περὶ πολιτείας, ὡς ἰσότης στάσιν οὐ ποιεῖ, λίαν ἔδοξεν ὀχλικῶς, ἀριθμητικὴν καὶ δημοκρατικὴν ἐπεισάγων ἀναλογίαν ἀντὶ τῆς καλῆς γεωμετρικῆς· ὁ δὲ ἐν οἰκίᾳ παραινῶν ἀδελφοῖς, μάλιστα μὲν, ὡς ὁ Πλάτων παρῄνει τοῖς πολίταις, τὸ ἐμὸν ἐξαίρειν καὶ τὸ οὐκ ἐμὸν, εἰ δὲ μὴ, τὴν ἴσην ἀγαπᾷν καὶ τῆς ἴσης περιέχεσθαι, καλὴν κρηπῖδα καὶ μόνιμον ὁμονοίας καὶ εἰρήνης καταβαλλόμενος ἐστί· χρήσθω δὲ καὶ παραδείγμασιν ἐνδόξοις· οἷόν ἐστι καὶ τὸ
C τοῦ Πιττακοῦ πρὸς τὸν βασιλέα Λυδῶν πυνθανόμενον, εἰ χρήματά ἐστιν αὐτῷ, Διπλάσια, εἶπεν, ἢ ἐβουλόμην, τοῦ ἀδελφοῦ τεθνηκότος. Ἐπεὶ δὲ οὐ μόνον ἐν χρημάτων

C. 2. Διπλάσια, εἶπεν, ἢ ἐβουλόμην] Recepi et Latine reddidi correctionem Iſ. Caſauboni ad Diog. Laert. I, 75: quam firmant Amiot. et Mez. Vulgo, —διπλάσια· εἶπεν, εἰ ἐβουλόμην—.

neque indignatus eſt neque mutavit factum, ſed manſueto hilarique animo tulit fratris ſui væcordiam, in tota Græcia nobilitatam.

XII. Solon quidem effatus de republica, *Ab æqualitate nullam proficiſci ſeditionem*, viſus fuit nimis gratificari vulgo, et arithmeticam proportionem, qua populo civitatis gubernatio traderetur, loco pulchræ iſtius geometricæ, introducere. Qui autem in re familiari fratres hortatur, maxime quidem ut, quod civibus præcipiebat Plato, Meum et tuum exterminent: ſi vero id fieri nequeat, ſaltem ut æqualitatem colant atque teneant: is egregium concordiæ et pacis fundamentum jaciens, identidem etiam illuſtribus hoc exemplis confirmet. Quale eſt Pittaci, qui a rege Lydorum interrogatus an pecunias poſſideret: reſpondit, *Altero tanto plures quam vellem, fratre quippe mortuo.* Sed quoniam non tantum in pecuniæ poſ-

χὴν ἀνεπίφθονον ποιεῖν, καὶ τὴν τῆς τύχης ἀνωμαλίαν ἐπανισοῦν, ὡς ἀνυστόν ἐστι, τῇ μετριότητι τοῦ φρονήματος.
E Ὁ μὲν οὖν Λεύκολλος οὐκ ἠξίωσε τοῦ ἀδελφοῦ πρότερος τὴν ἀρχὴν λαβεῖν, πρεσβύτερος ὤν, ἀλλὰ τὸν αὑτοῦ παρεὶς καιρὸν, τὸν ἐκείνου περιέμεινεν. Ὁ δὲ Πολυδεύκης, οὐδὲ θεὸς ἠθέλησε μόνος, ἀλλὰ μᾶλλον ἡμίθεος σὺν τῷ ἀδελφῷ γενέσθαι, καὶ τῆς θνητῆς μερίδος μεταλαβεῖν ἐπὶ τῷ μεταδοῦναι τῆς ἀθανασίας ἐκείνῳ. Σοὶ δὲ, φαίη τις ἂν, ὦ μακάριε, μηδὲν ἐλαττοῦντι τῶν προσόντων ἀγαθῶν, ὑπάρχει συνεξομοιοῦν καὶ συνεπικοσμεῖν τὸν ἀδελφὸν, ὥσπερ αὐτῆς ἀπολαύοντα τῆς περὶ σὲ δόξης
F ἢ ἀρετῆς, ἢ εὐτυχίας· ὥσπερ Πλάτων τοὺς ἀδελφοὺς εἰς τὰ κάλλιστα τῶν αὑτοῦ συγγραμμάτων θέμενος, ὀνομαστοὺς ἐποίησε, Γλαύκωνα μὲν καὶ Ἀδείμαντον εἰς τὴν πολιτείαν, Ἀντιφῶντα δὲ τὸν νεώτατον εἰς τὸν Παρμενίδην.

ιγ΄. Ἔτι τοίνυν ὥσπερ ἐγγίνονται ταῖς φύσεσι καὶ ταῖς

E. 9. ὥσπερ αὐτῆς ἀπολαύοντα] Puto corrigendum αὐτῷ ἀπολαύοντι: ut ὥσπερ ex propinquo hic temere repetitum ſit.

ſuam invidiæ ſecuram reddat, ac fortunæ inæqualitatem compenſet quantum ejus fieri poteſt moderatione animi. Sic Lucullus noluit prior fratre minore natu magiſtratum gerere, ſed ſuo anno prætermiſſo, fratris annum præſtolatus eſt. Pollux ne deus quidem ſolus, ſed ſemideus una cum fratre eſſe voluit, ac in partem mortalitatis venire, ut immortalitate eum ſua impertiret. Tibi vero, dixerit aliquis, mi homo, licet nihil tuorum bonorum deminuenti æquare unaque exornare fratrem tuum, concedenti tanquam uſumfructum ei gloriæ virtutiſque tuæ, aut proſperitatis: ſicut Plato fratribus ſuis celebritatem nominis paravit, cum eos in pulcherrimos ſuorum librorum inſeruit, Glauconem et Adimantum in Rempublicam, Antiphontem natu minimum in Parmenidem.

XIII. Præterea ſicut ingeniis et fortunis fratrum inæqualitates inſunt, ita fieri ne-

τύχαις τῶν ἀδελφῶν ἀνισότητας· ὅπως ἐν πᾶσι καὶ πάντως ὑπερέχειν τὸν ἕτερον, ἀδύνατόν ἐστι. Τὰ μὲν γὰρ στοιχεῖά φασιν ἐκ μιᾶς ὕλης γεγονέναι, τὰς ἐναντιωτάτας ἔχοντα δυνάμεις· δυεῖν δὲ ἀδελφῶν ἐκ μιᾶς μη- 48
τρὸς καὶ πατρὸς τῶν αὐτῶν γεγονότων, οὐδεὶς ἑώρακε τὸν μὲν, ὡς ἐκ τῆς Στοᾶς, σοφὸν ὁμοῦ, καλὸν, εὔχαριν, ἐλευθέριον, ἔντιμον, πλούσιον, δεινὸν εἰπεῖν, πολυμαθῆ, φιλάνθρωπον· τὸν δὲ ἕτερον, αἰσχρὸν, ἄχαριν, ἄτιμον, ἀνελεύθερον, ἄπορον, ἀσθενῆ περὶ λόγον, ἀμαθῆ, μισάνθρωπον· ἀλλ' ἔνεστιν ἀμωσγέπως καὶ τοῖς ἀδοξοτέροις καὶ ταπεινοτέροις μοῖρά τις χάριτος ἢ δυνάμεως, ἢ πρός τι καλὸν εὐφυΐας,

> Ὡς ἂν ἐχινόποδας, καὶ ἀνὰ τρηχεῖαν ὄνωνιν,
> Φύονται μαλακῶν ἄνθεα λευκοΐων.

Ταῦτα τοίνυν ὁ δοκῶν πλέον ἔχειν ἐν ἄλλοις, ἂν μὴ κολούῃ μηδ' ἐπικρύπτῃ μηδὲ πάντων, ὥσπερ ἐν ἀγῶνι, τὸν B

A. 4. πολυμαθῆ] Sic Pol. Mez. Vulgo, φιλομαθῆ.
A. 11. φύονται] Ita diſtinximus cum D. et Xyl. Vulgo, ἵνα φύονται. Vide p. 44. E.

quit ut alter in omnibus omnino rebus altero potiores ferat. Elementa quidem aiunt ex una eademque materia orta eſſe: cum diverſiſſimæ tamen eorum ſint facultates. Nemo autem unquam vidit duos fratres eodem patre ac eadem matre natos, quorum alter eſſet, veluti in Stoa informatus, ſimul ſapiens, pulcher, gratioſus, liberalis, honoratus, dives, facundus, diſciplinis honeſtis deditus, humanus: alter turpis, invenuſtus, ignobilis, illiberalis, pauper, infans, illiteratus, inhumanus: ſed ineſt etiam obſcurioribus et abjectioribus quædam tamen utcunque portio gratiæ, aut facultatis, aut ad præclarum aliquid aptitudinis a natura inſitæ:

> *Inter echinopodas velut, aſperam et inter Ononin*
> *Naſcuntur paſſim mollia leucoia.*

Ergo iſthæc, qui in aliis præſtare videtur ſi non deprimat neque occultet, neque tanquam in certamine omnem

ἀδελφὸν ἐξωθῇ τῶν πρωτείων, ἀλλ' ἀνθυπείκῃ, καὶ ἀποφαίνῃ πρὸς πολλὰ βελτίω καὶ χρησιμώτερον ἐκεῖνον, ὑφαιρῶν ἀεὶ τοῦ φθόνου τὴν πρόφασιν, ὥσπερ ὕλην τοῦ πυρὸς, ἀποσβέσει, μᾶλλον δὲ ὅλως οὐκ ἐάσει λαβεῖν γένεσιν οὐδὲ σύστασιν. Ὁ δὲ καὶ συνεργὸν, ἐν οἷς δοκεῖ κρείττων αὐτὸς εἶναι, ποιούμενος τὸν ἀδελφὸν ἀεὶ καὶ σύμβουλον, οἷον, ἐν δίκαις ῥητορικὸς ὢν, ἐν ἀρχαῖς πολιτευόμενος, ἐν πράξεσι φιλικῆς· συνελόντι δὲ εἰπεῖν, μηδενὸς ἀξιολόγου καὶ τιμὴν φέροντος ἔργου περιορῶν ἀπολει-
C πόμενον, ἀλλὰ τῶν καλῶν πάντων κοινωνὸν ἀποφαίνων, καὶ χρώμενος παρόντι, καὶ περιμένων ἀπόντα, καὶ ὅλως συνεμφαίνων ὅτι πρακτικὸς μὲν οὐχ ἧττον αὐτοῦ, παραχωρητικὸς δὲ μᾶλλόν ἐστι δόξης καὶ δυνάμεως, οὐθὲν ἑαυτοῦ παραιρούμενος, ἐκείνῳ μεγάλα προστίθησι.

ιδ'. Τῷ μὲν οὖν ὑπερέχοντι τοιαῦτα τις ἂν παραινέσειε· τῷ δὲ λειπομένῳ πάλιν ἐνθυμητέον, ὡς οὐχ εἷς

B. 9. φιλικαῖς] C. φιλικῆς. Neutrum placet.

palmam præripere fratri laboret, ſed concedat ei, inque multis rebus eum quam ſe plus valere fateatur, identidem invidiam, occaſione, velut materia igni, ſubtracta exſtinguet, immo ne exſiſtere quidem et conflari invidiam ſinet. Qui autem his ipſis in rebus, quibus ſe anteire novit, fratris operam conſiliumque adſciſcit, ut rhetoricæ peritus in agenda cauſa, civilis rationis gnarus in republica gerenda aut actionibus ad amicitiam pertinentibus, denique, ut verbo dicam, qui nulla in re memorabili et honorem conciliante fratrem ſuum omittit, ſed omnium pulchrorum eum ſocium facit, præſenti utitur, abſentem expectat, planeque id ſignificat, ſe non minus illo ad agendum idoneum, gloria tamen et facultate concedenda vincere: is nihil ſibi adimens, fratri magna addit ornamenta.

XIV. Atque hæc præcepta ſunto præſtantiori. Rurſum qui inferior eſt, cogitet

ναις, ὧν οὐδὲν ἀπέλαυσαν οὐδὲ μετέσχον, ἀδελφῶν δὲ καὶ κληρονομίαις καὶ ἀρχαῖς καὶ γάμοις ἐνδόξοις ἀθυμεῖν καὶ ταπεινοῦσθαι. Καίτοι μάλιστα μὲν ἔδει μηδὲ ἄλλοις φθονεῖν, εἰ δὲ μή, τρέπειν ἔξω, καὶ πρὸς ἑτέρους ἀποχετεύειν τὸ βάσκανον, ὥσπερ οἱ τὰς στάσεις θύραζε τοῖς πολεμίοις περιϊστῶντες.

Πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες, κλητοί τ' ἐπίκουροι·

πολλοὶ δ' αὖ σοὶ Ἀχαιοὶ φθονεῖν πεφύκασι καὶ ζηλοτυπεῖν.

F ιε'. Ἀδελφῷ δὲ χρὴ μή, καθάπερ πλάστιγγα, ῥέπειν ἐπὶ τοὐναντίον, ὑψουμένου, ταπεινούμενον αὐτόν, ἀλλ' ὥσπερ τῶν ἀριθμῶν οἱ ἐλάττονες τοὺς μείζονας, πολλαπλασιάζοντες καὶ πολλαπλασιαζόμενοι, συναύξειν ἅμα καὶ συναύξεσθαι τοῖς ἀγαθοῖς. Οὐδὲ γὰρ τῶν δακτύλων ἔλαττον ἔχει τοῦ γράφοντος ἢ ψάλλοντος ὁ μὴ δυνάμενος τοῦτο ποιεῖν μηδὲ πεφυκώς, ἀλλὰ συγκινοῦνται

F. 1. Ἀδελφῷ] Revocavi ex Ald. Baſ. Xyl. quibuſcum conſentiunt A. C. Moſc. 2. Colleg. Nov. Vulgo, ἀδελφόν: quod Pol. Jannot. præbent; reliquis non repugnantibus.

F. 3. πολλαπλασιάζοντες καὶ πολλαπλασιαζόμενοι] Sic D. Vulgo, πολλαπλασιάζοντα καὶ πολλαπλασιαζόμενον.

reditates, magiſtratus, illuſtres nuptias, animo concidant, et ſint in mœſtitia. Atqui conveniebat omni prorſum vacare invidentia: aut ſi hoc fieri non poſſet, foras eam convertere, et in alios derivare, imitarique eos, qui ſeditionem e civitate in hoſtes transferunt.

Nam mihi ſunt multi Troës, ſociique vocati,
Inque vicem multi tibi ſunt de gente Pelaſga,

quibus invideas, cum quibus æmulationem exerceas.

XV. Non debent autem fratres lancium inſtar in trutina alter altero elato deprimi, humiliato extolli: ſed alter alterius bonis una augeri ac viciſſim ad creſcendum aliquid momenti adferre: quo pacto exigui numeri magnis ultro citroque multiplicando ſimul excreſcunt. Quippe etiam inter digitos is qui ſcribere aut pſallere neſcit, id ſciente non eſt deteriore conditione, ſed moventur una, et omnes

λιχοδρόμοι παλαισταῖς εὐμενεῖς εἰσί, καὶ συναγωνιῶσι καὶ σπου-
δάζουσιν ὑπὲρ ἀλλήλων. Διὸ καὶ τῶν Τυνδαριδῶν, πύξ μὲν ὁ
C Πολυδεύκης ἐνίκα, δρόμῳ δὲ ὁ Κάστωρ. Εὖ δὲ καὶ τὸν Τεῦ-
κρον Ὅμηρος πεποίηκεν ἀπὸ τῆς τοξικῆς εὐδοκιμοῦντα,
τοῦ ἀδελφοῦ πρωτεύοντος ἐν τοῖς ὁπλίταις,

— ὁ δέ μιν σάκεϊ κρύπτασκε φαεινῷ.

Καὶ τῶν πολιτευομένων οἱ στρατηγοῦντες τοῖς δημαγω-
γοῦσιν οὐ πάνυ φθονοῦσιν, οὐδέ γε τῶν ῥητόρων οἱ δικολόγοι
τοῖς σοφιστεύουσιν, οὐδὲ τῶν ἰατρῶν οἱ περὶ δίαιταν τοῖς
χειρουργοῖς, ἀλλὰ καὶ συμπαραλαμβάνουσι καὶ συνεπιμαρ-
τυροῦσι. Τὸ δὲ ἀπὸ τῆς αὐτῆς τέχνης ἢ δυνάμεως ζη-
τεῖν ἔνδοξον εἶναι καὶ περίβλεπτον, οὐδὲν ἐν φαύλοις δια-
φέρει, τοῦ μιᾶς ἐρῶντας ἀμφοτέρους βούλεσθαι πλέον ἔχειν,
καὶ μᾶλλον εὐδοκιμεῖν τοῦ ἑτέρου τὸν ἕτερον. Οἱ μὲν οὖν
καθ᾽ ἑτέρας ὁδοὺς βαδίζοντες οὐθὲν ἀλλήλους ὠφελοῦσιν·
D οἱ δὲ βίοις χρώμενοι διαφόροις, τόν τε φθόνον ἐκτρέ-
πονται, καὶ συνεργοῦσιν ἀλλήλοις μᾶλλον, ὡς Δημοσθένης

ribus faveant, ſtudioque et opera adſint. Ita etiam Tyndaridarum alter Pollux pugillatione, Caſtor alter curſu vincebat. Recte etiam Homerus Teucrum fecit arte ſagittandi inclytum, Ajace fratre inter gravis armaturæ pedites principe,

Illum qui clypeo ſplendente ſubinde tegebat.

Sic et in republica prætores oratoribus popularibus raro invident, et de oratoriam artem tractantibus cauſidici ſophiſtis, et de medicis ii qui victus rationem præſcribunt chirurgis: ſed mutuo ſe adjuvant atque commendant. At gloriam velle et admirationem captare eadem ex arte aut facultate, inter pravos perinde eſt, ac ſi duo aliqui eandem amantes mulierem, uterque plus altero placere laboret. Sane qui diverſis incedunt itineribus, nihil ſibi mutuo proſunt: qui autem vitæ genera ſectantur diverſa, ii et invidiam declinant, et facilius alter alteri eſt adjumento: quales fuerunt Demoſthenes et Cha-

λον, ἢ τὸ διαφέρον· ἀδελφῷ δὲ νοῦν ἔχοντι, καὶ πλούτου
F καὶ ἀρχῆς καὶ λογιότητος οὐκ ἔλαττον ἀγαθόν ἐστιν ἄρχων
ἀδελφὸς, ἢ πλουτῶν, ἢ λόγου δυνάμει προήκων εἰς
δόξαν. Ἀλλὰ ταύτας μὲν οὕτω μάλιστα τὰς ἀνωμαλίας
παρηγορητέον. Ἕτεραι δὲ εὐθὺς ἐγγίνονται διαφοραὶ
περὶ τὰς ἡλικίας ἀπαιδεύτοις ἀδελφοῖς. Ἐπιεικῶς γὰρ
οἵ τε πρεσβύτεροι τῶν νεωτέρων ἄρχειν ἀξιοῦντες ἀεὶ καὶ
προΐστασθαι, καὶ πλέον ἔχειν ἐν παντὶ δόξης καὶ δυνά-
μεως, βαρεῖς εἰσι καὶ ἀηδεῖς· οἵ τε νεώτεροι πάλιν,
ἀφηνιάζοντες καὶ θρασυνόμενοι, καταφρονεῖν καὶ ὀλιγωρεῖν
ἀσκοῦσιν· ἐκ δὲ τούτων, οἱ μὲν, ὡς φθονούμενοι καὶ κολου-
487 όμενοι, φεύγουσι καὶ δυσχεραίνουσι τὰς νουθεσίας· οἱ δ' ἀεὶ
τῆς ὑπεροχῆς γλιχόμενοι, φοβοῦνται τὴν ἐκείνων αὔξη-
σιν, ὡς αὐτῶν κατάλυσιν. Ὥσπερ οὖν ἐπὶ τῆς χάριτος
ἀξιοῦσι, μείζονα τοὺς λαμβάνοντας ἡγεῖσθαι, μικροτέραν
δὲ τοὺς διδόντας· οὕτως ἄν τις τὸν χρόνον παραινῶν τῷ
μὲν πρεσβυτέρῳ μὴ μέγα νομίζειν, τῷ δὲ νεωτέρῳ μὴ μι-

quam Daricum. Sed fratri recte ſentienti non minori bono cedit frater magiſtratum gerens, dives, aut facundia clarus, quam ſi hæc ipſi obtigiſſent. Atque hoc potiſſimum modo iſtæ inæqualitates debent excuſari. Verum ætatis ratione aliæ inter non recte inſtitutos fratres incidunt ſtatim diſcordiæ. Etenim natu majores junioribus dum volunt imperare ac præeſſe, omnique in re eos gloria et potentia anteire, moleſti ſunt et injucundi: contraque minores frænum averſando et ferociendo ad deſpectum et contemtum majorum ſe adſuefaciunt: hinc fit, ut et juniores fugiant, ægreque ferant admonitiones majorum, invideri ſibi, ſeque opprimi ab iis putantes: et natu majores excellentiam undiquaque affectantes, minorum incrementa timeant, tanquam ipſos dejectura. Enimvero ſicut in beneficio volunt gratiam ab hoc qui eam init minorem, ab eo in quem confertur majorem æſtimari: ita ſi quis præcipiat majori ut ne magnum aliquid putet eſſe ætatem, mi-

καὶ Χάρης, καὶ πάλιν Αἰσχίνης καὶ Εὔβουλος, καὶ Ὑπερείδης καὶ Λεωσθένης, οἱ μὲν, λέγοντες ἐν τῷ δήμῳ καὶ γράφοντες, οἱ δὲ, στρατηγοῦντες καὶ πράττοντες. Ὅθεν ἀπωτάτω δεῖ ταῖς ἐπιθυμίαις τρέπεσθαι καὶ ταῖς φιλοτιμίαις τοὺς ἀδελφοὺς, τοὺς ἀφθόνως δόξης καὶ δυνάμεως κοινωνεῖν μὴ πεφυκότας, ὅπως εὐφραίνωσιν εὐημεροῦντες ἀλλήλους, ἀλλὰ μὴ λυπῶσι.

ιϛʹ. Παρὰ πάντα δὲ ταῦτα φυλακτέον ἐστὶ κηδεστῶν, καὶ οἰκείων, καὶ γυναικὸς ἔστιν ὅτε, τῇ φιλοδοξίᾳ συνεπιτι- 1
θεμένων, λόγους πονηρούς. « Ὁ ἀδελφὸς ἄγει καὶ φέρει πάντα, καὶ θαυμάζεται καὶ θεραπεύεται· σοὶ δὲ οὐδεὶς πρόσεισιν, οὐδὲ ἔχεις σεμνὸν οὐδέν.» Ἔχω μὲν οὖν, φαίη τις εὖ φρονῶν, ἀδελφὸν εὐδοκιμοῦντα, καὶ μέτεστί μοι τῆς ἐκείνου δυνάμεως τὸ πλεῖστον. Ὁ μὲν γὰρ Σωκράτης ἔλεγε, βούλεσθαι Δαρεῖον ἔχειν μᾶλλον φί-

D. 3. Αἰσχίνης—Λεωσθένης] Hiſtoriæ ratione corrigendum ac ſupplendum, Αἰσχίνης καὶ Φωκίων, καὶ Εὔβουλος καὶ Διοπείθης, καὶ Ὑπερίδης καὶ Λεωσθένης: auctore D. Ruhnkenio Hiſt. Crit. Or. Gr. p. 67.

E. 1. γυναικός] Ita D. Colleg. Nov. Vulgo, γυναικῶν.

res, rurſumque Æſchines et Eubulus, item Hyperides et Leoſthenes: cum alteri ad populum orarent et referrent, alteri exercitum ducerent ac res gererent. Itaque fratres, ubi citra invidiam communicare gloriam et potentiam nequeunt, quam longiſſime debent alter ab alterius ſtudiis et ambitione animum divertere: ut decore parto exhilarare mutuo, non moleſtia afficere poſſint.

XVI. Enimvero præter hæc omnia cavendum eſt ab affinium, domeſticorum, et uxoris adeo nonnunquam, pravis ſermonibus, qui nonnunquam ambitioni noſtræ ſtimulos adhibent. *Frater tuus*, aiunt, *omnia eſt*, *omnes eum admirantur et colunt: ad te nemo accedit*, *nullo es in honore.* Ego vero, dicat homo ſanæ mentis, fratrem habeo laude florentem, cujus ad me gloriæ maxima pars pertinet. Dixit quidem Socrates, *Malle ſe Darium habere amicum*,

λον, ἢ τὸ Δαρεικόν· ἀδελφῷ δὲ νοῦν ἔχοντι, καὶ πλούτου
F καὶ ἀρχῆς καὶ λογιότητος οὐκ ἔλαττον ἀγαθόν ἐστιν ἄρχων
ἀδελφὸς, ἢ πλουτῶν, ἢ λόγου δυνάμει προήκων εἰς
δόξαν. Ἀλλὰ ταύτας μὲν οὕτω μάλιστα τὰς ἀνωμαλίας
παρηγορητέον. Ἕτεραι δὲ εὐθὺς ἐγγίνονται διαφοραὶ
περὶ τὰς ἡλικίας ἀπαιδεύτοις ἀδελφοῖς. Ἐπιεικῶς γὰρ
οἵ τε πρεσβύτεροι τῶν νεωτέρων ἄρχειν ἀξιοῦντες ἀεὶ καὶ
προΐστασθαι, καὶ πλέον ἔχειν ἐν παντὶ δόξης καὶ δυνά-
μεως, βαρεῖς εἰσι καὶ ἀηδεῖς· οἵ τε νεώτεροι πάλιν,
ἀφηνιάζοντες καὶ θρασυνόμενοι, καταφρονεῖν καὶ ὀλιγωρεῖν
ἀσκοῦσιν· ἐκ δὲ τούτων, οἱ μὲν, ὡς φθονούμενοι καὶ κολου-
87 όμενοι, φεύγουσι καὶ δυσχεραίνουσι τὰς νουθεσίας· οἱ δ' ἀεὶ
τῆς ὑπεροχῆς γλιχόμενοι, φοβοῦνται τὴν ἐκείνων αὔξη-
σιν, ὡς αὑτῶν κατάλυσιν. Ὥσπερ οὖν ἐπὶ τοῦ χάριτος
ἀξιοῦσι, μείζονα τοὺς λαμβάνοντας ἡγεῖσθαι, μικροτέραν
δὲ τοὺς διδόντας· οὕτως ἄν τις τὸν χρόνον παραινῶν τῷ
μὲν πρεσβυτέρῳ μὴ μέγα νομίζειν, τῷ δὲ νεωτέρῳ μὴ μι-

quam Daricum. Sed fratri recte ſentienti non minori bono cedit frater magiſtratum gerens, dives, aut facundia clarus, quam ſi hæc ipſi obtigiſſent. Atque hoc potiſſimum modo iſtæ inæqualitates debent excuſari. Verum ætatis ratione aliæ inter non recte inſtitutos fratres incidunt ſtatim diſcordiæ. Etenim natu majores junioribus dum volunt imperare ac præeſſe, omnique in re eos gloria et potentia anteire, moleſti ſunt et injucundi: contraque minores frænum averſando et ferociendo ad deſpectum et contemtum majorum ſe adſuefaciunt: hinc fit, ut et juniores fugiant, ægreque ferant admonitiones majorum, invideri ſibi, ſeque opprimi ab iis putantes: et natu majores excellentiam undiquaque affectantes, minorum incrementa timeant, tanquam ipſos dejectura. Enimvero ſicut in beneficio volunt gratiam ab hoc qui eam init minorem, ab eo in quem confertur majorem æſtimari: ita ſi quis præcipiat majori ut ne magnum aliquid putet eſſe ætatem, mi-

τέλος οὕτως ἐπ' ἀνδράσιν ἐχειρώσατο καὶ τοσαύτης ἐνέπλησεν αἰδοῦς πρὸς ἑαυτόν, ὡς μήτε πρᾶξαί τι, μήτε εἰπεῖν ἀγνοοῦντος ἐκείνου. Μνημονεύεται γοῦν ὅτι μαρτυρίας ποτὲ γραμματεῖον ἐπισφραγισαμένου τοῦ Καπίωνος, ὁ Κάτων ὕστερος ἐπελθὼν, οὐκ ἠθέλησεν ἐπισφραγίσασθαι· καὶ ὁ Καπίων ἀπαιτήσας τὸ γραμματεῖον ἀφεῖλε τὴν
D αὐτοῦ σφραγῖδα, πρὶν ἢ πυθέσθαι τί παθὼν ὁ ἀδελφὸς οὐκ ἐπίστευσεν ἀλλ' ὑπείδετο τὴν μαρτυρίαν. Φαίνεται δὲ πολλὴ καὶ πρὸς Ἐπίκουρον ἡ αἰδὼς τῶν ἀδελφῶν, δι' εὔνοιαν αὐτοῦ καὶ κηδεμονίαν, εἴς τε τὰ ἄλλα, καὶ φιλοσοφίαν τὴν ἐκείνου συνενθουσιώντων· καὶ γάρ, εἰ διήμαρτον δόξης εὐθὺς ἐκ παίδων πεπεισμένοι καὶ λέγοντες, ὡς οὐδεὶς γέγονεν Ἐπικούρου σοφώτερος, ἄξιόν ἐστι θαυμάζειν καὶ τοῦ διαθέντος οὕτως, καὶ τῶν διατεθέντων. Οὐ μὴν ἀλλὰ καὶ τῶν νεωτέρων φιλοσόφων Ἀπολλώνιος ὁ Περιπατητικὸς ἤλεγξε τὸν εἰπόντα δόξαν ἀκοι-

ita ſuum fecit, tantamque ſui in ejus animo excitavit reverentiam, ut ipſo ignorante nihil egerit Capio, nihil dixerit. Memoriæ mandatum eſt, cum tabellas teſtimonii quodam tempore obſignaſſet Capio, Catonem qui poſtea ſuperveniſſet, addere ſuum ſigillum noluiſſe: tum Capionem repetiiſſe tabellas, ſigillum abſtuliſſe ſuum, priuſquam intelligeret qua de cauſa frater non credidiſſet, et teſtimonium ſuſpectum habuiſſet. Conſpicua eſt etiam magna fratrum erga Epicurum reverentia, ipſius procuratione et benevolentia parta, cum aliis in rebus, tum quod philoſophandi rationem ejus quaſi divino quodam perciti furore ſectati ſunt: nam tametſi opinionis errore decepti ſunt, ſtatim a teneris unguiculis pro certo hoc habentes et profitentes, *Neminem exſtitiſſe Epicuro ſapientiorem*; tamen dignum eſt mirari et eum qui ipſos ſic animavit, et ipſos ita affectos. Sed et de recentioribus philoſophis Apollonius Peripateticus refutavit eum, qui gloriam communicari poſſe nega-

δῶν διαστάντες, ἐκ τούτου τὰς ἐν Αἰδηψῷ κολυμ-
βήθρας καὶ παστάδας καὶ ἀνδρῶνας ἀντιπαραβάλλοντες
ἀεὶ καὶ τοπομαχοῦντες, καὶ ἀποκόπτοντες ὀχετοὺς καὶ ἀπο-
18 στρέφοντες, οὕτως ἐξηγριώθησαν καὶ διεφθάρησαν, ὥστε
πάντων ἀφαιρεθέντες ὑπὸ τοῦ τυράννου, καὶ φυγάδες
καὶ πένητες, καὶ, ὀλίγου δέω λέγειν, ἕτεροι τῶν προτέ-
ρων γενόμενοι, μόνῳ διέμειναν οἱ αὐτοὶ τῷ μισεῖν ἀλλή-
λους. Ὅθεν οὐχ ἥκιστα δεῖ περὶ τὰ μικρὰ καὶ πρῶτα
παραδυομένῃ τῇ πρὸς τοὺς ἀδελφοὺς φιλονεικίᾳ καὶ ζη-
λοτυπίᾳ διαμάχεσθαι, μελετῶντας ἀνθυπείκειν καὶ ἡτ-
τᾶσθαι, καὶ χαίρειν τῷ χαρίζεσθαι μᾶλλον αὐτοῖς, ἢ τῷ
νικᾶν. Οὐ γὰρ ἑτέραν οἱ παλαιοὶ Καδμείαν νίκην, ἀλλὰ
τὴν περὶ Θήβας τῶν ἀδελφῶν, ὡς αἰσχίστην καὶ κα-
κίστην, προσηγόρευσαν. Τί οὖν; οὐχὶ πολλὰ τὰ πράγ-
B ματα τοῖς ἐπιεικῶς ἔχειν δοκοῦσι καὶ πράως, φέρει
προφάσεις ἀντιλογιῶν καὶ διαφορῶν; Καὶ μάλα· ἀλλὰ

F. 7. Αἰδηψῷ] Sic D. Mes. Vulgo, Ἐδηψῷ.

in diſcordiam prolapſi, deinde de lavacris Ædepſiis, cœnaculis, et conclavibus altercantes identidem, atque de locis pugnantes, et aquæductus incidentes atque alio avertentes, ita ad extremum efferati ſunt atque perditi, ut omnibus bonis a tyranno ſpoliati, ac pauperes et exſules, adeoque tantum non alii quam fuerant ante facti, non niſi mutuo odio iidem manſerint. Ergo æmulationi et contentioni cum fratribus in rebus vilibus et primo occurrentibus ſe inſinuanti, non levi opera eſt reſiſtendum, meditandumque eſt ut concedere et vinci diſcamus, gaudeamuſque gratificando iis potius, quam ſuperando. Non enim Cadmeam victoriam priſci aliam, quam fratrum apud Thebas, ut turpiſſimam et peſſimam, appellaverunt. Quid? inquies: nonne etiam his qui placido et moderato ſunt animo, ipſæ res ſæpenumero anſam præbent diſſenſionis et contradicendi?

διαφορὰν, οὐ περὶ γηδίου μερίδος, οὐδ' ἐπ' ἀνδραπόδοις ἢ
προβατίοις γενομένην, ἀλλὰ περὶ τῆς Περσῶν ἡγεμο-
νίας. Δαρείου γὰρ ἀποθανόντος, οἱ μὲν ἠξίουν Ἀριαμένην
βασιλεύειν, πρεσβύτατον ὄντα τῆς γενεᾶς, οἱ δὲ Ξέρξην,
Ἀτόσσης τε μητρὸς ὄντα τῆς Κύρου· θυγατρὸς, ἔκ τε
Δαρείου βασιλεύοντος ἤδη γεγεννημένον. Ἀριαμένης μὲν
οὖν κατέβαινεν ἐκ Μήδων, οὐ πολεμικῶς, ἀλλ' ὡς ἐπὶ δί-
κην ἡσύχως. Ξέρξης δὲ παρὼν ἔπραττεν ἅπερ ἦν βα-
σιλεῖ προσήκοντα· ἐλθόντος δὲ τοῦ ἀδελφοῦ, θεὶς τὸ διά-
E δημα, καὶ καταβαλὼν τὴν τιάραν ἣν φοροῦσιν ὀρθὴν οἱ
βασιλεύοντες, ἀπήντησεν αὐτῷ, καὶ ἠσπάσατο, καὶ δῶρα
πέμπων, ἐκέλευσεν εἰπεῖν τοὺς κομίζοντας, Τούτοις σε νῦν
τιμᾷ Ξέρξης, ὁ ἀδελφός· ἂν δὲ βασιλεὺς κρίσει καὶ ψήφῳ
Περσῶν ἀναγορευθῇ, δίδωσί σοι δευτέρῳ μεθ' ἑαυτὸν εἶναι.
Καὶ ὁ Ἀριαμένης, Ἐγὼ δὲ, ἔφη, τὰ μὲν δῶρα δέχομαι,
βασιλείαν δὲ τὴν Περσῶν ἐμαυτῷ νομίζω προσήκειν·
τιμὴν δὲ τὴν μετ' ἐμὲ τοῖς ἀδελφοῖς φυλάξω, Ξέρξῃ
δὲ πρώτῳ τῶν ἀδελφῶν. Ἐπεὶ δὲ ἡ κρίσις ἐνέστη, Πέρ-

audire barbarorum fratrum, non de particula eam agelli, aut mancipiis, vel pecore, ſed de regno Perſiæ. Mortuo Dario, alii regnum Ariameni, ut de filiis ejus natu maximo deferebant, alii Xerxi, qui ex Atoſſa filia Cyri, Dario jam regnum gerente, natus erat. Deſcendit itaque Ariamenes e Media, non bellico apparatu, ſed placide ad judicium. Xerxes, qui præſens ea agebat quæ erant regis, veniente fratre, depoſito diademate, et dejecta tiara quam erectam ferunt reges, occurrit fratri eumque ſalutavit, ac dona mittens, dicere eos qui portabant juſſit, *His te nunc honorat Xerxes frater tuus, qui ſi rex judicio et ſuffragio Perſarum declarabitur, proximum tibi a ſe locum tribuit.* Reſpondit Ariamenes, *Ego dona quidem accipio, regnum autem in Perſas mihi cenſeo deberi, honorem tamen fratribus meis minoribus ſervabo ſuum, et primo inter fratres Xerxi.* Inſtante porro judicii die, Perſæ communi ſententia Artabanum

νεώτερος ὢν ἀδελφὸς, καὶ τὴν μητέρα συλλαμβάνουσαν εἶχεν· ἀκμάζοντος δὲ τοῦ πολέμου, μάχην ὁ Σέλευκος Γαλάταις συνάψας, καὶ ἡττηθεὶς, οὐδαμοῦ φανερὸς ἦν, ἀλλ' ἔδοξε τεθνάναι, πάσης ὁμοῦ τι τῆς στρατιᾶς ὑπὸ B τῶν βαρβάρων κατακοπείσης. Πυθόμενος οὖν Ἀντίοχος, τὴν πορφύραν ἔθηκε, καὶ φαιὸν ἱμάτιον ἔλαβε, καὶ τὰ βασίλεια κλείσας, ἐπένθει τὸν ἀδελφόν· ὀλίγῳ δὲ ὕστερον ἀκούσας ὅτι σώζεται καὶ δύναμιν αὖθις ἑτέραν ἀθροίζει, τοῖς τε θεοῖς ἔθυσε προελθὼν, καὶ ταῖς πόλεσιν ὧν ἦρχε θύειν καὶ στεφανηφορεῖν ἐπήγγειλεν. Ἀθηναῖοι δὲ τὸν περὶ τῆς ἔριδος τῶν θεῶν μῦθον ἀτόπως πλάσαντες, ἐπανόρθωμα τῆς ἀτοπίας οὐ φαῦλον ἐνέμιξαν αὐτῷ· τὴν γὰρ δευτέραν ἐξαιροῦσιν ἀεὶ τοῦ Βοηδρομιῶνος, ὡς ἐν ἐκείνῃ τῷ Ποσειδῶνι πρὸς τὴν Ἀθηνᾶν γενομένης τῆς διαφορᾶς. Τί οὖν κωλύει καὶ ἡμᾶς ἐν διαφορᾷ C ποτε πρὸς οἰκείους καὶ συγγενεῖς γενομένους, ἐν ἀμνηστίᾳ

A. 9. ὁμοῦ τι] Sumſi ab A. Moſc. 1, 2. Vulgo τι deeſt.

cauſam faciebat Seleuco fratri, minor ipſe ætate, matre auxilium ferente. Vigente eo bello, pugna cum Galatis congreſſus Seleucus, et victus, nuſquam apparebat, credebaturque periiſſe, toto exercitu a barbaris occidione occiſo. Antiochus hoc nuncio allato, purpuram depoſuit, pullaque ſumta veſte, et clauſa regia fratrem luxit: paulo poſt audito eum vivere et alium exercitum colligere, progreſſus Diis ſacrificavit, urbibuſque ſibi ſubjectis imperavit ut ſacrificarent et ſerta gererent. Athenienſes, quanquam fabulam de Deorum contentione abſurde finxerunt, inſeruerunt tamen iſtius abſurditatis correctionem minime ineptam: ſecundam enim diem menſis Boëdromionis ſemper eximunt, quod ea die cum Minerva Neptuno fuerit contentio. Quid ergo obſtat, quo minus et nos aliquando cum domeſticis, cognatiſque altercati, iſtum diem oblivioni con-

τὴν ἡμέραν ἐκείνην τίθεσθαι, καὶ μίαν τῶν ἀποφράδων
νομίζειν· ἀλλὰ μὴ πολλῶν καὶ ἀγαθῶν ἐν αἷς συν-
τετράφημεν καὶ συνεβιώσαμεν ἡμερῶν, διὰ μίαν ἐπιλαν-
θάνεσθαι; Ἢ γὰρ μάτην καὶ πρὸς οὐδὲν ἡ φύσις ἡμῖν
ἔδωκε πρᾳότητα καὶ μετριοπαθείας ἔκγονον ἀνεξικακί-
αν· ἢ μάλιστα χρηστέον τούτοις πρὸς συγγενεῖς καὶ οἰκείους.
Οὐχ ἧττον δὲ τοῦ διδόναι συγγνώμην ἁμαρτοῦσι, τὸ αἰ-
τεῖσθαι καὶ λαμβάνειν αὐτοὺς ἁμαρτόντας, εὔνοιαν ἐμφαί-
νει καὶ φιλοστοργίαν. Ὅθεν ὀργιζομένων τε δεῖ μὴ ἀμελεῖν,
καὶ παραιτουμένοις μὴ ἀντιτείνειν· ἀλλὰ καὶ φθάνειν πολ- D
λάκις ἁμαρτόντας αὐτοὺς τῇ παραιτήσει τὴν ὀργήν,
ἀδικηθέντας τε πάλιν αὖ τῇ συγγνώμῃ τὴν παραίτησιν.
Ὁ μὲν οὖν Σωκρατικὸς Εὐκλείδης ἐν ταῖς σχολαῖς πε-
ριβόητός ἐστιν, ὅτι φωνὴν ἀκούσας ἀγνώμονα καὶ θηριώδη
τοῦ ἀδελφοῦ, πρὸς αὐτὸν εἰπόντος, Ἀπολοίμην εἰ μὴ
σε τιμωρησαίμην, Ἐγὼ δέ, εἶπεν, εἰ μή σε πείσαιμι παύ-
σασθαι τῆς ὀργῆς, καὶ φιλεῖν ἡμᾶς ὡς πρότερον ἐφίλεις.

D. 3. αὖ τῇ] Sic A. C. Moſc. 1. 2. Vulgo αὐτῇ.

ſecremus, ac pro atro cenſeamus, niſi ſi malumus multorum ac lætorum dierum, quibus una educati ſumus et viximus, memoriam abjicere? Nam aut fruſtra et nullius rei gratia nobis largita eſt natura manſuetudinem, et moderationis animi progeniem tolerantiam malorum: aut maxime his utendum eſt adverſus cognatos et familiares. Jam petere gratiam delicti non minorem demonſtrat benevolentiam atque amorem, quam eam facere peccanti. Ergo neque negligere debemus ira commotos, et deprecantibus nequaquam repugnare: ſed et ipſi, ubi quid offendimus, antevertere deprecatione iram: et ipſam, ubi nos ſumus læſi, deprecationem, danda venia. Celebris eſt in ſcholis fama Euclidis Socratici, quod audita iniqua et belluina voce fratris, qui diceret, *Pereant, niſi te ulciſcar*, reſpondit: *Ego vero peream, niſi tibi perſuaſero, ut poſita ira nos ames ſicut*

Τὸ δὲ Εὐμένους τοῦ βασιλέως ἔργον, οὐ λόγος, ὑπερβο-
E λὴν πρᾳότητος οὐδεμίαν ἀπολέλοιπε. Περσεὺς γὰρ ὁ τῶν Μακεδόνων βασιλεὺς ἐχθρὸς ὢν αὐτῷ, παρεσκεύασε τοὺς ἀποκτενοῦντας· οἱ δὲ περὶ Δελφοὺς ἐνήδρευον, αἰσθόμενοι βαδίζοντα πρὸς τὸν θεὸν ἀπὸ θαλάσσης· γενόμενοι δὲ ὄπισθεν αὐτοῦ, λίθους μεγάλους ἐμβάλλουσιν εἴς τε τὴν κεφαλὴν καὶ τὸν τράχηλον, ὑφ᾽ ὧν σκοτωθεὶς καὶ πεσὼν, ἔδοξε τεθνάναι· καὶ διῆλθε φήμη πανταχόσε, καὶ φίλοι τινὲς ἀφίκοντο καὶ θεράποντες εἰς Πέργαμον, αὐτάγγελοι τοῦ πάθους ἥκειν δοκοῦντες. Ἄτταλος
F οὖν ὁ πρεσβύτατος αὐτοῦ τῶν ἀδελφῶν, ἀνὴρ ἐπιεικὴς καὶ περὶ τὸν Εὐμένη πάντων ἄριστος, οὐ μόνον βασιλεὺς ἀνηγορεύθη διαδησάμενος, ἀλλὰ καὶ τὴν γυναῖκα τοῦ ἀδελφοῦ Στρατονίκην ἔγημε καὶ συνῆλθεν. Ἐπεὶ δὲ ἀπηγγέλη ζῶν ὁ Εὐμένης, καὶ προσῄει, θεὶς τὸ διάδημα, καὶ λαβὼν, ὥσπερ εἰώθει, τὰ δοράτια, μετὰ τῶν ἄλλων ἀπήντησεν αὐτῷ δορυφόρων. Ὁ δὲ κἀκεῖνον εὐμε-

olim. At regis Eumenis non dictum, ſed factum, tale eſt quo nullum inveniri poſſit magis manſuetum. Huic Eumeni Perſeus Macedoniæ rex inimicus, ſubmiſerat qui interficerent: hi cum ſentirent a mari terra proficiſcentem Eumenem ad oraculum, ex inſidiis retro hominem adorti, ingentes lapides in caput et collum conjecerunt, ita ut vertigine circumactus corrueret, mortuuſque putaretur: atque fama hæc late ſparſa fuit, ita ut amici quidam et famuli Pergamum venientes, nuncium rei abs ſe viſæ adferre crederentur. Proinde Attalus fratrum Eumenis natu maximus, moderatus homo, et qui erga fratrem ſe geſſiſſet optime, non modo rex creatus, et diademate ornatus fuit: ſed et uxorem fratris Stratonicam duxit, cumque ea concubuit. Sed poſtquam narratum eſt vivere Eumenem, et adventare, poſito Attalus diademate, ſumto haſtili pro more ei obviám cum reliquis ivit ſtipatoribus. Quem Eu-

νοῦς ἐδεξιώσατο, καὶ τὴν βασίλισσαν ἠσπάσατο μετὰ τιμῆς καὶ φιλοφροσύνης· καὶ χρόνον οὐκ ὀλίγον ἐπιβιώσας, ἀμέμπτως καὶ ἀνυπόπτως ἀπέθανε, τῷ Ἀττάλῳ τήν τε βασιλείαν καὶ τὴν γυναῖκα παρεγγυήσας. Τί οὖν ἐκεῖνος; ἀποθανόντος αὐτοῦ, παιδίον οὐδὲ ἓν ἐκ τῆς γυναικὸς ἀνελέσθαι ἠθέλησε, τεκούσης πολλάκις· ἀλλὰ A τὸν ἐκείνου παῖδα θρέψας καὶ ἀνδρώσας, ἔτι ζῶν ἐπέθηκε τὸ διάδημα, καὶ βασιλέα προσηγόρευσεν. Ἀλλὰ Καμβύσης ἐξ ἐνυπνίου φοβηθεὶς ὡς βασιλεύσοντα τῆς Ἀσίας τὸν ἀδελφόν, οὐδεμίαν ἀπόδειξιν, οὐδὲ ἔλεγχον ἀναμείνας, ἀπέκτεινεν. Ὅθεν ἐξέπεσε τῆς Κύρου διαδοχῆς ἡ ἀρχή, τελευτήσαντος αὐτοῦ, καὶ τὸ Δαρείου γένος ἐβασίλευσεν, ἀνδρὸς οὐ μόνον ἀδελφοῖς ἀλλὰ καὶ φίλοις ἐπισταμένου κοινωνεῖν πραγμάτων καὶ δυνάμεως.

ιθ'. Ἔτι τοίνυν ἐκεῖνο δεῖ μνημονεύειν ἐν ταῖς πρὸς τοὺς ἀδελφοὺς διαφοραῖς καὶ φυλάττειν, τὸ τοῖς φίλοις B αὐτῶν ὁμιλεῖν καὶ πλησιάζειν τότε μάλιστα· φεύγειν δὲ

menes et amice amplexus eſt, et reginam honorifice ac ſplendide ſalutavit: cumque non exiguum temporis ſupervixiſſet, abſque ulla reprehenſione aut ſuſpicione extremum vitæ diem morte confecit, Attalo et regnum et uxorem ſuam cum legaſſet. Quid autem Attalus? multis ex uxore ſibi natis liberis, nullum ſuſtulit: ſed Eumenis filium educavit, eique virilem ætatem adepto, vivus diadema impoſuit, regiſque nomen detulit. At Cambyſes ſomnio territus, fratrem ſuum, quem regem Aſiæ futurum erat imaginatus, nulla interpoſita quæſtione, nulla demonſtratione, interfecit. Quo factum eſt ut, ipſo mortuo, regnum a ſtirpe Cyri in Darium tranſferretur ejuſque poſteritatem, qui non fratres modo, ſed amicos etiam admittere in ſocietatem rerum et potentiæ noverat.

XIX. Præterea memoria eſt hoc etiam tenendum in fraternis diſſidiis, ut tunc maxime amicos fratris accedas, in-

τοὺς ἐχθροὺς, καὶ μὴ προσδέχεσθαι· μιμούμενον αὐτὸ γοῦν τοῦτο τῶν Κρητῶν, οἳ πολλάκις στασιάζοντες ἀλλήλοις καὶ πολεμοῦντες, ἔξωθεν ἐπιόντων πολεμίων διελύοντο καὶ συνίσταντο· καὶ τοῦτο ἦν ὁ καλούμενος ὑπ' αὐτῶν συγκρητισμός. Ἔνιοι γὰρ ὥσπερ ὕδωρ τοῖς χαλῶσι καὶ διϊσταμένοις ὑποῤῥέοντες, ἀνατρέπουσιν οἰκειότητας καὶ φιλίας, μισοῦντες μὲν ἀμφοτέρους, ἐπιτιθέμενοι δὲ τῷ μᾶλλον ὑπ' ἀσθενείας ἐνδιδόντι. Τῷ μὲν γὰρ ἐρῶντι συνερῶσιν οἱ νεαροὶ καὶ ἄκακοι τῶν φίλων· τῷ δὲ ὀργιζομένῳ
C καὶ διαφερομένῳ πρὸς ἀδελφὸν, οἱ κακοηθέστατοι τῶν ἐχθρῶν συναγανακτεῖν καὶ συνοργίζεσθαι δοκοῦσι. Καθάπερ οὖν ἡ Αἰσώπειος ἀλεκτορὶς πρὸς τὴν αἴλουρον, ὡς δὴ κατ' εὔνοιαν αὐτῆς νοσούσης ὅπως ἔχει πυνθανομένην, Καλῶς, εἶπεν, ἂν σὺ ἀποστῇς· οὕτω πρὸς τοιοῦτον ἄνθρωπον, ἐμβάλλοντα λόγον ὑπὲρ τῆς διαφορᾶς, καὶ πυνθανόμενον καὶ ὑπορύττοντα τῶν ἀποῤῥήτων

C. 3. τὴν αἴλουρον] Sic D. C. item Sentent. Maxim. et Anton. edit. Wechel. Stobæi. p. 259. Vulgo, τὸν αἴλουρον.

imicoſque vites, neque admittas: eaque ſaltem in re par eſt imitari Cretenſes, qui crebris ſeditionibus belliſque civilibus exagitati, extrinſecus adventantibus hoſtibus pacem ac ſocietatem coiverunt. Is enim erat, quem ipſi appellabant Syncretiſmum. Nam ſunt, qui aquæ inſtar rebus luxatis et hiantibus affluentes, familiaritates et amicitias evertant, utriſque inimici, et ei inſidiantes, quem ob imbecillitatem vident magis expoſitum injuriæ. Quippe amantem adjuvant recentes et ſimpliciores amici: irato autem et cum fratre diffidenti apparet maligniſſimos inimicorum ſe indignationis iræque ſocios præbere. Quare ſicut gallina illa apud Æſopum feli percontanti ficta benevolentia ex ægrotante ipſa, *Quomodo valeret*, reſpondit, *Bene, ſi tu diſcedas:* ita tali homini ſermonem injicienti de diſcordia, et arcana eruere molienti quædam, dicendum eſt, *Nihil*

μὲν εἶπε Θεόφραστος, ὡς εἰ κοινὰ τὰ φίλων ἐστὶ, μάλιστα
δεῖ κοινοὺς τῶν φίλων εἶναι τοὺς φίλους· οὐχ ἥκιστα δ᾽ ἂν
τις ἀδελφοῖς τοῦτο παραινέσειεν. Αἱ γὰρ ἴδιαι καὶ χωρὶς
ὁμιλίαι καὶ συνήθειαι πρὸς ἀλλήλους ἀποστρέφουσι καὶ ἀπά-
γουσιν ἀπ᾽ ἀλλήλων· τῷ γὰρ φιλεῖν ἑτέρους, εὐθὺς ἕπε-
ται τὸ χαίρειν ἑτέροις, καὶ ζηλοῦν ἑτέρους, καὶ ἄγεσθαι ὑφ᾽
F ἑτέρων. Ἠθοποιοῦσι γὰρ αἱ φιλίαι, καὶ μεῖζον οὐδὲν ἐστι
διαφορᾶς ἠθῶν σημεῖον, ἢ φίλων αἱρέσεις διαφερόντων.
Ὅθεν οὔτε τὸ συνεσθίειν ἀδελφῷ καὶ συμπίνειν, οὔτε τὸ
συμπαίζειν καὶ συνδιημερεύειν, οὕτως συνεκτικόν ἐστιν ὁμο-
νοίας, ὡς τὸ συμφιλεῖν καὶ συνεχθραίνειν, ἥδεσθαί τε τοῖς
αὐτοῖς συνόντα, καὶ πάλιν βδελύττεσθαι καὶ φεύγειν. Οὐ-
δὲ γὰρ διαβολὰς αἱ κοιναὶ φιλίαι φέρουσιν, οὐδὲ συγ-
κρούσεις· ἀλλὰ κἂν γένηταί τις ὀργὴ καὶ μέμψις, ἐκλύε-
ται διὰ μέσου τῶν φίλων, ἐκδεχομένων καὶ διασκε-
δαννύντων, ἄνπερ ἀμφοτέροις οἰκείως ἔχωσι, καὶ πρὸς ἀμ-
91 φοτέρους ὁμοῦ τῇ εὐνοίᾳ συννεύωσιν. Ὡς γὰρ ὁ κασσίτε-

quitur ſuggerente) quod recte dixit Theophraſtus, *Si omnia amicorum ſint communia, maxime debere amicorum communes eſſe amicos:* id non ultimo loco fratribus eſt præcipiendum. Dum enim ſeorſim ac pro ſe alii cum aliis conſuetudinem vitæ ſocietatemque colunt, ipſi invicem divelluntur: quia dum amant diverſos, ſequitur ut gaudeant etiam diverſis, diverſos æmulentur, a diverſis ducantur. Etenim amicitiis mores finguntur: et nullum eſt diverſitatis ingeniorum certius argumentum, quam ubi amici diverſi deliguntur. Ergo cibi, potus, ludorum, contubernii ſocietas non perinde continet fratrum concordiam, atque eorundem hominum amor et odium, ut eorundem conſuetudinem et gratam habeant, et eorundem fugiant atque abominentur. Neque vero communes amicitiæ admittunt calumnias, aut offenſiones: ſed etiam ſi quid iræ aut objurgationis inciderit, eluunt id in medio interpoſiti amici, atque exceptum diſſipant: ſiquidem ambobus ex æquo faveant. Nam quomo-

ρος ῥαγέντα τὸν χαλκὸν συναρμόττει καὶ συγκεράννυσι, τῷ ψαύειν ἑκατέρου πέρατος οἰκείως ὁμοπαθὴς γινόμενος, οὕτως δεῖ τὸν φίλον εὐάρμοστον ὄντα καὶ κοινὸν ἀμφοτέροις τοῖς ἀδελφοῖς προσκαταπυκνοῦν τὴν εὔνοιαν· οἱ δὲ ἄνισοι καὶ ἄμικτοι, καθάπερ ἐν διαγράμματι μουσικῷ φθόγγοι, διάζευξιν οὐ συναφὴν ποιοῦσιν. Ἔστιν οὖν διαπορῆσαι πότερον ὀρθῶς ἢ τοὐναντίον ὁ Ἡσίοδος εἶπε,

Μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον.

ὁ μὲν γὰρ εὐγνώμων καὶ κοινὸς, ὥσπερ εἴρηται, μᾶλλον ἐγκραθεὶς δι' ἀμφοτέρων, σύνδεσμος ἔσται τῆς φιλαδελφίας. B
Ὁ δὲ Ἡσίοδος, ὡς ἔοικεν, ἐφοβήθη τοὺς πολλοὺς καὶ φαύλους διὰ τὸ δύσζηλον καὶ φίλαυτον. Ὃ δὴ καλῶς ἔχει φυλαττομένους, κἂν εὔνοιαν ἴσην φίλῳ νέμηταί τις, ἀεὶ τὰ πρωτεῖα τῷ ἀδελφῷ φυλάττειν ἐν ἀρχαῖς καὶ πολιτείαις, ἔν τε κλήσεσι καὶ γνωρίσεσιν ἡγεμόνων, καὶ ὅσα

A. 5. τὴν εὔνοιαν] Sic omnes libri. Stephaniana editio errore καὶ εὔνοιαν: hinc et tres Græco-Latinæ.
B. 4. νέμηταί] D. νέμη· quod malim.

do ſtanno æs ruptum committitur atque ferruminatur, utramque tangente extremitatem, et ad naturam utriuſque contemperato: ſic amicum decet aptum et accommodatum eſſe utrique fratrum, ſuaque communitate eorum ſtipare benevolentiam mutuam: inæquales et non attemperati amici, inſtar inconcinnorum in modis muſicis ſonorum, non conjunctionem, ſed disjunctionem efficiunt. Idcirco dubitari poteſt, rectene an contra Heſiodus dixerit,

Æqualem fratri caveas feciſſe ſodalem.

Equidem æquo præditus animo amicus, et ambobus communis fratribus, vinculum quoddam eſt mutui inter eos amoris. Heſiodum vero apparet reſpexiſſe ad pleroſque, et quidem malos: a quibus ob ſiniſtrum ſui ipſorum amorem et proclivitatem ad rivalitatem fratribus metueret. Hoc mali ubi caveris, nihil impedit quin amicum eadem qua fratrem complectare benevolentia: dum modo huic primæ partes ſemper deferantur in magiſtratibus et republica gerendis, in invitationibus

τοῖς πολλοῖς ἐπιφανῆ καὶ πρὸς δόξαν ἐστὶ, τὸ πρεσβεῖον ἀξίωμα τῇ φύσει καὶ γέρας ἀποδιδόντας. Οὐ γὰρ οὕτω τῷ φίλῳ τὸ πλέον ἐν τούτοις σεμνὸν, ὡς ἀδελφῷ τοὔλαττον αἰσχρὸν γίνεται καὶ ἄδοξον. Ἀλλὰ περὶ ταύτης μὲν ἑτέρωθι τῆς γνώμης γέγραπται τὰ δοκοῦντα διὰ
C πλειόνων. Τὸ δὲ Μενάνδρειον ὀρθῶς ἔχον, ὡς

Οὐδεὶς ἀγαπῶν αὐτὸς ἀμελεῖθ' ἡδέως,

ὑπομιμνήσκει καὶ διδάσκει τὴν ἀδελφῶν ἐπιμελεῖσθαι, καὶ μὴ τῇ φύσει πιστεύοντας ὀλιγωρεῖν. Καὶ γὰρ ἵππος τῇ φύσει φιλάνθρωπον, καὶ κύων φιλοδέσποτον, ἀλλὰ μὴ τυγχάνοντα θεραπείας μηδ' ἐπιμελείας, ἀπόστοργα γίνεται καὶ ἀλλότρια· καὶ τὸ σῶμα τῆς ψυχῆς συγγενέστατόν ἐστιν, ἀμελούμενον δὲ καὶ παρορώμενον ὑπ' αὐτῆς, οὐκ ἐθέλει συνεργεῖν, ἀλλὰ λυμαίνεται καὶ προλείπει τὰς πράξεις.

D κα'. Ἐπιμέλεια δὲ καλὴ μὲν αὐτοῖς τοῖς ἀδελφοῖς,

C. 2. Οὐδεὶς ἀγαπῶν] Interponitur γὰρ: ſupra p. 95. D.

ad convivia, in contrahenda cum principibus viris notitia: denique ſi quæ in vulgus videntur ad gloriam dignitatemque conducere, et illuſtrare, in iis ætati convenientem honorem concedas. Neque enim adeo amicum hac in parte iſta prærogativa ornat, quam de exiſtimatione fratris poſthabiti ignominia detrahit. Sed de hac quidem ſententia alibi perſcripſi quid ſentirem. Tamen illud Menandri verum eſt,

c *Nemo ſui contemtum æquo animo fert amans,*

quæ vox monet ut curam fratrum geramus, neque naturæ fiducia eos negligamus. Nam et equus natura hominum, et canis domini amans animal eſt: ſed niſi probe curentur atque tractentur, infenſa fiunt et aliena: et corpus animæ cognatiſſimum, ſi ab ea non colatur, aut neglectim habeatur, adjuvare actiones ipſius recuſat, iiſque officit et deſerit.

XXI. Ratio autem curandi fratri cum erga ipſos fratres honeſta, tum honeſtior e-

ἤπιον δὲ μᾶλλον εἶναι καὶ μειλίχιον· ὅπως ἁμαρτάνοντες,
F οἷα νέοι, μὴ δραπετεύωσι, μηδὲ καταλύωνται, διὰ φόβον πατρὸς ἢ μητρὸς, εἰς ὁμιλίας φαύλας καὶ ὀλιγώρους, ἀλλ' ἀποστροφὴν καὶ καταφυγὴν ἅμα νουθετοῦσαν εὔνοιαν καὶ παραιτουμένην ἔχωσιν. Οὕτω καὶ Πλάτων ἀδελφιδοῦν ὄντα Σπεύσιππον ἐκ πολλῆς ἀνέσεως καὶ ἀκολασίας ἐπέστρεψεν, οὐδὲν οὔτε εἰπὼν ἀνιαρὸν οὔτε ποιήσας πρὸς αὐτὸν, ἀλλὰ φεύγοντι τοὺς γονεῖς ἐλέγχοντας αὐτὸν ἀεὶ καὶ
92 λοιδοροῦντας, ἐνδιδοὺς ἑαυτὸν εὐμενῆ καὶ ἀμήνιτον, αἰδῶ τε πολλὴν ἐνειργάσατο, καὶ ζῆλον ἑαυτοῦ καὶ φιλοσοφίας· καίτοι πολλοὶ τῶν φίλων ἐνεκάλουν ὡς μὴ νουθετοῦντι τὸ μειράκιον· ὁ δὲ καὶ πάνυ νουθετεῖν ἔλεγε, τῷ βίῳ καὶ τῇ διαίτῃ τῆς πρὸς τὰ αἰσχρὰ τῶν καλῶν διαφορᾶς παρέχων κατανόησιν. Ἀλεύαν δὲ τὸν Θεσσαλὸν ὁ μὲν πατὴρ ἀγέρωχον ὄντα καὶ ὑβριστὴν ἐκόλουε καὶ χαλεπὸς ἦν, ὁ δὲ θεῖος ἀνελάμβανε καὶ προσήγετο· πεμπόντων δὲ τῶν Θεσσαλῶν φρυκτοὺς περὶ βασιλέως πρὸς τὸν θεὸν εἰς

nevolum, ſed benigniorem tamen et indulgentiorem exhibeat; ne pro ætate aliquid delinquentes, ob metum patris et matris profugiant, ac cum vitioſis et ſocordibus hominibus conſueſcant: ſed habeant quo ſe convertentes caſtigentur, officiique admoneantur. Sic Plato ſororis ſuæ filium Speuſippum e magna negligentia et intemperantia revocavit, nulla voce, nullo facto ei moleſtus: nam fugienti parentes criminum eum convincentes et maledictis inceſſentes, placidum et iræ vacuum dans magnum homini pudorem, ſuique et philoſophiæ admirationem incuſſit: cumque a multis amicorum reprehenderetur, quod non caſtigaret adoleſcentem: *Ego vero*, inquit, *caſtigo*, *vitæ meæ ratione ipſi demonſtrans quod ſit honeſtorum et turpium diſcrimen.* Aleuam Theſſalum pater, ut ferocem hominem et injurioſum, deprimebat, eratque ei infenſus: patruus ad ſe recipiebat et amplectebatur. Mittentibus autem Theſſalis fabas ad oraculum Delphicum, quibus Deum de rege futuro

Δοκεῖ γάρ μοι καὶ τοὔνομα καλῶς ὑφηγεῖσθαι πρὸς εὔνοιαν ἀδελφῶν καὶ ἀγάπησιν. Δεῖ δὲ καὶ τὰ τῶν κρειττόνων ζηλοῦν. Ἡρακλῆς τε γὰρ δυεῖν δεούσας ἑβδομήκοντα γεννήσας παῖδας, οὐδενὸς ἧττον αὐτῶν τὸν ἀδελφιδοῦν ἠγάπησεν·
D ἀλλὰ καὶ νῦν πολλαχοῦ σύμβωμός ἐστιν Ἰόλαος αὐτῷ, καὶ συγκατεύχονται, παραστάτην Ἡρακλέους ὀνομάζοντες. Ἰφικλέους δὲ τοῦ ἀδελφοῦ πεσόντος ἐν τῇ περὶ Λακεδαίμονα μάχῃ, περίλυπος γενόμενος, πᾶσαν ἐξέλιπε Πελοπόννησον. Ἡ δὲ Λευκοθέα, τῆς ἀδελφῆς ἀποθανούσης, ἔθρεψε τὸ βρέφος καὶ συνεξεθείασεν· ὅθεν αἱ Ῥωμαίων γυναῖκες ἐν ταῖς τῆς Λευκοθέας ἑορταῖς, ἣν Ματοῦταν ὀνομάζουσιν, οὐ τοὺς ἑαυτῶν παῖδας, ἀλλὰ τοὺς τῶν ἀδελφῶν ἐναγκαλίζονται καὶ τιμῶσιν.

C. 6. Δοκεῖ] Recepi ex D. et Xyl. Vulgo ἐδόκει.
C. 6. εὔνοιαν ἀδελφῶν] εὔνοιαν ἀδελφιδῶν Anon. Amiot. Reiſk. præferam vulgato.

ipſum nomen θεῖος, (notans et *divinum* et *patruum avunculumve*,) eam mihi vim habere videtur ut nos pulchre ducat ad nepotum benevolentiam et amorem. Quin et eos imitari decet, qui humana præſtantiores natura fuerunt. Hercules, cum duodeſeptuaginta filios genuiſſet, nullo eorum parcius amavit fratris filium: atque etiamnum multis in locis eadem cum Hercule ara colitur Iolaus, atque una ei vota nuncupantur, et *adſtans* Herculis nominatur. Iphiclo autem fratre in pugna apud Lacedæmonem interfecto, Hercules ingenti dolore perculſus, totam deſeruit Peloponneſum. Et Leucothea infantem defunctæ vita ſororis educavit, ſecumque inter deos retulit. Hinc matronæ Romanæ in feriis Leucotheæ, quam Matutam nominant, non ſuos ſed ſororum filios in ulnas accipiunt, et honorem iis habent.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΗΣ ΕΙΣ ΤΑ ΕΚΓΟΝΑ ΦΙΛΟΣΤΟΡΓΙΑΣ.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΗΣ ΕΙΣ ΤΑ ΕΚΓΟΝΑ ΦΙΛΟΣΤΟΡΓΙΑΣ.

PLUTARCHI

DE

AMORE PROLIS.

α′. ἜΚΚΛΗΤΟΙ κρίσεις καὶ ξενικῶν δικαστηρίων ἀγωγαὶ τοῖς Ἕλλησι τὸ πρῶτον ἀπιστίᾳ τῇ πρὸς
B ἀλλήλους ἐπενοήθησαν, ἀλλοτρίας δικαιοσύνης, ὥσπερ ἑτέρου τινὸς τῶν ἀναγκαίων μὴ φυομένου παρ᾽ αὐτοῖς, δεηθεῖσιν. Ἆρ᾽ οὖν καὶ οἱ φιλόσοφοι τῶν προβλημάτων ἔνια, διὰ

A. 7. ἀγωγαὶ] Forte ἀγοραί, ut Xyl. vertit.

I. QUOD ad peregrinos judices Græci appellaverunt aliquando, et in alieno foro litigaverunt, id initio hinc excogitatum fuit, quod alii de aliorum juſtitia diffidentes, eam ut rem neceſſariam et apud ipſos non exſiſtentem aliunde petendam ſunt opinati. Nonne eodem modo philoſophi etiam de quæſtionibus quibuſdam propter

ἐπιθέτους, ποικίλη γέγονε καὶ ἰδία, τὸ δὲ οἰκεῖον οὐ τετή-
D ρηκε. Καὶ μὴ θαυμάζωμεν εἰ τὰ ἄλογα ζῶα τῶν λογι-
κῶν μᾶλλον ἕπεται τῇ φύσει· καὶ γὰρ τὰ φυτὰ τῶν ζώων,
οἷς οὔτε φαντασίαν οὔτε ὁρμὴν ἔδωκεν ἑτέρων ὄρεξιν τοῦ κατὰ
φύσιν ἀποσαλεύουσαν, ἀλλ᾽ ὥσπερ ἐν δεσμῷ συνειργμένα
μένει καὶ κεκράτηται, μίαν ἀεὶ πορείαν ἣν ἡ φύσις
ἄγει πορευόμενα. Τοῖς δὲ θηρίοις τὸ μὲν περιττότε-
ρον τοῦ λόγου καὶ περιττὸν καὶ φιλελεύθερον ἄγαν οὐκ
ἔστιν, ἀλόγους δὲ ὁρμὰς καὶ ὀρέξεις ἔχοντα καὶ χρώμε-
να πλάναις καὶ περιδρομαῖς, πολλάκις οὐ μακρὰν,
ἀλλ᾽ ὡς ἐπ᾽ ἀγκύρας τῆς φύσεως σαλεύει, καθάπερ
E ὁδὸν ὑφ᾽ ἡνίᾳ καὶ χαλινῷ βαδίζοντα δείκνυσιν εὐθεῖαν.
Ὁ δὲ δεσπότης ἐν ἀνθρώπῳ καὶ αὐτοκρατὴς λόγος
ἄλλας ἄλλοτε παρεκβάσεις καὶ καινοτομίας ἀνευρίσκων,

D. 3. ἑτέρων] Non placet. Malim οὔτε μὴν, vel ſimile.

D. 10. σαλεύει, καθάπερ ὁδὸν] Sic B. nec ita requirit aliud locus niſi καὶ ante καθάπερ. Vulgo, σαλεύει, καθάπερ οὖν ὁδόν. Longius abit Xyl. qui e codice vetere ita edidit: σαλεύει. Καθάπερ οὖν ὄνον ὑφ᾽ ἡνίᾳ καὶ χαλινῷ βαδίζοντα δείκνυσιν εὐθεῖαν ὁ δεσπότης ὁδόν· οὕτως ἐν ἀνθρώπῳ ὁ αὐτοκρατὴς λόγος ἄλλας ἄ—&c. Non auſus ſum recipere in Græca, nec in Latinis relinquere.

titiis, non patitur ſimplices manere, ſed multipliciter variat. Neque eſt quod miremur bruta magis quam ratione prædita ſequi naturam: nam in eo bruta etiam ſuperantur a plantis: hæ enim neque imaginandi vi, neque appetitu præditæ qui naturam alio averteret, tanquam vinculo conſtricta manent ac tenentur, unicumque ſemper naturæ ductum ſequuntur. Brutis rationis manſuetudo, ſubtilitas, et libertatis ſtudium non admodum ſunt inſita: incitationes tamen et cupiditates rationis expertes habent, quibus uſa evagantur: plerumque tamen non longe efferuntur, ſed in natura tanquam anchora ſubſiſtunt: et veluti ſub habena ac frenis incedentia viam oſtendunt rectam. At in homine ratio, penes quam principatus eſt, modo has modo alias inveniens digreſſiones ac diverticula nul-

οὐδὲ ἴχνος ἐμφανὲς οὐδὲ ἐναργὲς ἀπολείπει τῆς φύσεως.

β'. Ὅρα περὶ τοὺς γάμους ὅσον ἐστὶν ἐν τοῖς ζώοις τὸ κατὰ φύσιν. Πρῶτον οὐκ ἀναμένει νόμους ἀγάμου καὶ ὀψιγάμου, καθάπερ οἱ Λυκούργου πολῖται καὶ Σόλωνος· οὐδὲ ἀτιμίας ἀτέκνων δέδοικεν· οὐδὲ τιμὰς διώκει τριπαιδίας, ὡς Ῥωμαίων πολλοὶ γαμοῦσι καὶ γεννῶσιν, οὐχ ἵνα κληρονόμους ἔχωσιν, ἀλλ' ἵνα κληρονομεῖν δύνωνται. Ἔπειτα μίγνυται τῷ θήλει τὸ ἄρρεν, οὐχ ἅπαντα χρό- F
νον· ἡδονὴν γὰρ οὐκ ἔχει τέλος, ἀλλὰ γέννησιν καὶ τέκνωσιν· διὰ τοῦτο ἔτους ὥρᾳ ἣ πνοάς τε γονίμους ἔχει καὶ προσφορὸν λοχευομένοις κρᾶσιν, ἦλθεν εἰς τὸ αὐτὸ τῷ ἄρρενι τὸ θῆλυ χειροῆθες καὶ ποθεινὸν, ἡδείᾳ μὲν ὀσμῇ χρωτὸς ἰδίῳ δὲ κόσμῳ σώματος ἀγαλλόμενον, δρόσου καὶ βοτάνης ἀνάπλεων καθαρᾶς· αἰσθόμενον δὲ ὅτι κύει καὶ πεπλήρωται, κοσμίως ἄπεισι, καὶ προνοεῖ περὶ τὴν κύησιν καὶ 49
σωτηρίαν τοῦ ἀποτεχθέντος. Ἀξίως δὲ οὐκ ἔστιν εἰπεῖν

A. 1. πρᾶσιν] Sic A. B. C. E. Xyl. P. Vulgo, περαινεῖ.

lum conſpicuum aut evidens relinquit naturæ veſtigium.

II. Initio in brutis conſidera, quam ſint omnia naturæ accommodata. Primum non exſpectant dum leges contra cœlibatum aut ſerius matrimonium ineuntes ferantur, ut Lycurgi et Solonis cives: neque metuunt ignominias prole carentibus propoſitas, aut honores trium liberorum: ſicut Romanorum multi uxores ducunt et liberis operam dant, non ut hæredes, ſed ut jus adeundæ hæreditatis habeant. Deinde miſcetur mas feminæ, non omni tempore; quia non voluptas ei, ſed procreatio eſt finis propoſitus. Itaque verno anni tempore, cum auræ ſpirant genitabiles, et temperie prægnantibus commodæ, coit cum mare femina manſueta et deſiderabilis, ſuavi corporis odore, et peculiari corporis ornatu exſultans, rore et pura herba impleta: et ubi ſe concepiſſe ſentit, modeſte abit, et ea proſpicit quæ ad fœtum perferendum edendumque pertinent. Quæ agant, digne dici

τὰ δρώμενα, πλὴν ὅτι γίνεται ἕκαστον αὐτῶν ἐν τῷ φιλοστόργῳ, ταῖς προνοίαις, ταῖς καρτερίαις, ταῖς ἐγκρατείαις. Ἀλλὰ τὴν μέλιτταν ἡμεῖς σοφὴν καλοῦμεν καὶ νομίζομεν, ξανθὸν μέλι μηδομέναν, κολακεύοντες τὸ ἡδὺ καὶ γαργαλίζον ἡμᾶς τῆς γλυκύτητος· τὴν δὲ τῶν ἄλλων περὶ τὰς λοχείας καὶ τὰς ἀναστροφὰς σοφίαν καὶ τέχνην παρορῶμεν. Οἷον εὐθύς, ἡ ἀλκυὼν κύουσα, τὴν νεοττείαν συντίθησι, συλλαμβάνουσα τὰς ἀκάνθας τῆς θαλαττίας βελόνης, καὶ ταύτας δι' ἀλλήλων ἐγκαταπλέ-
B κουσα καὶ συνείρουσα, τὸ μὲν σχῆμα περιαγές, ὡς ἁλιευτικοῦ κύρτου, καὶ περιμήκες ἀπεργάζεται· τῇ δὲ ἁρμονίᾳ καὶ πυκνότητι συμφράξασα τῆς ἀκάνθης ἀκριβῶς, ὑπέθηκε τῷ κλύσματι τοῦ κύματος, ὡς τυπτόμενον ἡσυχῇ καὶ πηγνύμενον τὸ πίλημα τῆς ἐπιφανείας στεγανὸν γενέσθαι· γίγνεται δὲ σιδήρῳ καὶ λίθῳ δυσδιαίρετον· ὃ δ' ἐστὶ θαυμασιώτερον, οὕτω τὸ στόμα τῆς νεοττείας συμμέτρως πεπλάσθαι πρὸς τὸ μέγεθος καὶ τὸ μέτρον τῆς

A. 10. νεοττείαν] Malim, νεοττιάν: et mox νεοττιᾶς.
B. 8. πεπλάσθαι] πέπλασται monent legendum Xyl. Mez. Reiſk.

nequit: in omnibus quidem amor prolis eſt manifeſtus, in providendo, in tolerando, in continentia. Cæterum nos apem ſapientem vocamus, ac celebramus

Mel flavum meditantem:

adulantes ei ob dulcedinem nos titillantem: reliquorum animalium ſapientiam et artem, quam adhibent partui et educationi, negligimus. Occurrit primo loco alcyon, quæ poſtquam concepit, nidum componit e ſpinis marinæ acus, quas inter ſe complicans atque conſerens, formam circumfractam, qualis eſt retis piſcatorii, et prælongam ſtruit, concinneque denſa ſerie ſpinis inter ſe accurate contextis, opus illuviei undarum ſupponit, ut paulatim percuſſum atque ſtipatum textum, ſolidam nanciſcatur ſuperficiem: ita autem duratur, ut vix dividi lapide aut ferro poſſit: et, quod eſt mirabilius, orificium nidi ea proportione ad modum et magnitudinem alcyonis ef-

ἀλκυόνος, ὥστε μήτε μεῖζον ἄλλο, μήτε μικρότερον ἐνδύεσθαι ζῶον, ὥς δέ φασι, μηδὲ θάλατταν εἰσδέχεσθαι, μηδὲ τὰ ἐλάχιστα. Μάλιστα δὲ αἱ γαλαῖ ζωογονοῦσι C μὲν ἐν ἑαυτοῖς, ἐκβαίνειν δὲ παρέχουσιν ἐκτὸς καὶ νέμεσθαι τοῖς σκύμνοις, εἶτα πάλιν ἀναλαμβάνουσι καὶ περιπτύσσουσιν ἐγκοιμώμενα τοῖς σπλάγχνοις. Ἡ δὲ ἄρκτος, ἀγριώτατον καὶ σκυθρωπότατον θηρίον, ἄμορφα καὶ ἄναρθρα τίκτει· τῇ δὲ γλώττῃ, καθάπερ ἐργαλείῳ, διατυποῦσα τοὺς ὑμένας, οὐ δοκεῖ γεννᾶν μόνον, ἀλλὰ καὶ δημιουργεῖν τὸ τέκνον. Ὁ δὲ Ὁμηρικὸς λέων,

Ὅν ῥά τε νήπια [τέκνα] ἄγοντα συναντήσωνται ἐν ὕλῃ
Ἄνδρες ἐπακτῆρες, ὁ δέ τε σθένεϊ βλεμεαίνει,
Πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται, ὄσσε καλύπτων, D

ἆρα οὐχ ὅμοιός ἐστι διανοουμένῳ πρὸς τοὺς κυνηγοὺς σπένδεσθαι περὶ τῶν τέκνων; Καθόλου γὰρ ἡ πρὸς τὰ ἔγγονα φιλοστοργία, καὶ τὰ τολμηρὰ δειλὰ ποιεῖ, καὶ φι-

C. 3. σκύμνοις—ἐγκοιμώμενα] Prius vel in σκυμνίοις mutandum, vel neutre accipiendum, ut congruat cum ἐγκοιμώμενα quod recte exhibent A. B. C. E. P. loco vulgati ἐγκοιμώμενοι.
D. 4.—8. ἔγγονα] Non mutavi: non quod probarem, ſed quod codicum auctoritas obſtaret.

fingitur, ut nullum neque majus intrare neque minus animal poſſit, et, ut nonnulli tradunt, ne mare quidem aut rem ullam minimam admittat. Maxime autem feles vivum edunt partum, qui catulos in ſe continent, eoſque ſinunt foras prodire ac paſci, deinde rurſum intra viſcera recipiunt dormituros. Urſa, animal quo neque deformius eſt aliud, neque moroſius, informes artubuſque carentes catulos parit: lingua autem tanquam inſtrumento format membra; ut non ſolum parere, ſed etiam fabricari videatur fœtum. At Homericus leo ille,

Cui venatores, catulos dum ducit, in alta
Occurrunt ſylva, frendens, et robore fretus
Omne ſupercilium tectis demittit ocellis.

nonne tibi videtur ſimilis eſſe meditanti cum venatoribus de catulis paciſci? In univerſum enim amor prolis animalia audacia reddit timida, et de ſeg-

λόπονα τὰ ῥάθυμα, καὶ φειδωλὰ τὰ γαστρίμαργα. Καὶ ὥσπερ ἡ Ὁμηρικὴ ὄρνις προσφέρουσα τοῖς νεοττοῖς

Μάστακ', ἐπεί κε λάβῃσι, κακῶς δέ τε οἱ πέλει αὐτῇ.

τῷ γὰρ αὐτῆς τρέφει λιμῷ τὰ ἔκγονα, καὶ τὴν τροφὴν τῆς γαστρὸς ἁπτομένην ἀποκρατεῖ καὶ πιέζει τῷ στόματι, μὴ λάθῃ καταπιοῦσα·

E Ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα
Ἄνδρ' ἀγνοιήσασ' ὑλάει, μέμονέν τε μάχεσθαι,

τὸν περὶ τῶν τέκνων φόβον, ὡς δεύτερον προσλαβοῦσα θυμόν. Αἱ δὲ πέρδικες ὅταν διώκωνται μετὰ τῶν τέκνων, ἐκεῖνα μὲν ἐῶσι προπέτεσθαι καὶ φεύγειν, αὐταῖς δὲ μηχανώμεναι προσέχειν τοὺς θηρεύοντας, ἐγγὺς κυλινδούμεναι καὶ καταλαμβανόμεναι, μικρὸν ὑπεκθέουσιν, εἶτα πάλιν ἵστανται καὶ παρέχουσιν ἐν ἐφικτῷ τῆς ἐλπίδος ἑαυτὰς, ἄχρις ἂν οὕτω προκινδυνεύουσαι τοῦ νεοττῶν τῆς ἀσφαλείας, προαγάγωνται πόῤῥω τοὺς διώκοντας. Τὰς δὲ

E. 7. καταλαμβανόμεναι, μικρὸν ὑπεκθέουσιν] Malim, καταλαμβανόμεναι μικροῦ, ὑπεκθέουσιν.

nibus induſtria, ac de guloſis parca. Sic Homerica illa avis pullis tradit

Eſcæ quidquid habet, male ſit ſibi quamlibet ipſi.

ſua enim ipſius fame pullos alit, cibumque jam ventri appropinquantem abſtinet et ore premit ne imprudens deglutiat. Apud eundem Poëtam,

Ut cum pro teneris catulis canis anxia latrat
Ignoto accedente viro, pugnæque parat ſe:

metum pro catulis quaſi ſecundam iram concipit. Perdices quando una cum pullis exagitantur, eos prævolare ſinunt ac fugere, idque machinantur in propinquo volventes ſe ac poſt pullos relictæ, ut aucupes ipſas captent: deinde paululum curſu provectæ, rurſum ſpe capiendi aucupem lactant, donec ita parta pullis ſuo periculo ſecuritate longius producant perſequentem. Gallinas autem quotidie

ἀλεκτορίδας ἐν τοῖς ὄμμασι καθ' ἡμέραν ἔχομεν, ὃν τρόπον τὰ νεόττια περιέπουσι, τοῖς μὲν ἐνδῦναι χαλῶσαι τὰς πτέρυγας, τὰ δὲ ἐπιβαίνοντα τοῦ νώτου, καὶ προσέρχονται πανταχόθεν ἀναδεχόμεναι, μετὰ τοῦ γαῦρόν τι καὶ προσφιλὲς ἐπιφθέγγεσθαι· κυνέας δὲ καὶ δρακοντίας, ἂν περὶ αὐτῶν φοβηθῶσι, φεύγουσιν· ἂν δὲ περὶ τῶν τέκνων, ἀμύνονται καὶ διαμάχονται παρὰ δύναμιν. Εἶτα ταῦτα οἰόμεθα πάθη τούτοις ἐνεργάσασθαι τὴν φύσιν, ἀλεκτορίδων ἐπιγονῆς καὶ κυνῶν καὶ ἄρκτων προνοοῦσαν, ἀλλ' οὐχ ἡμᾶς δυσωποῦσαν καὶ τιτρώσκουσαν; ἐπιλογιζομένους ὅτι ταῦτα παραδείγματα τοῖς ἑπομένοις, τοῖς δὲ 49
ἀναλγήτοις ὀνείδη πάρεστι τῆς ἀπαθείας, δι' ὧν κατηγοροῦσι τῆς ἀνθρωπίνης φύσεως μόνης, μὴ προῖκα τὸ στέργειν ἐχούσης, μηδὲ ἐπισταμένης φιλεῖν ἄνευ χρείας. Θαυμάζεται γὰρ ἐν τοῖς θεάτροις ὁ εἰπὼν,

Μισθοῦ γὰρ ἀνθρώπου τις ἄνθρωπον φιλεῖ·

F. 4. προσέρχονται] Legendum προσέρποντα, *adrepentia.*
F. 5. κυνέας δὲ καὶ δρακοντίας] Ita omnes libri: tamen videtur κύνας καὶ δράκοντας, ut Mez. corrigit, et vertunt Amiot. ac Xyl.

ante oculos habemus, ac cernimus quo modo pullos ſuos foveant, alios paſſas ſub alas recipientes, aliis tergum conſcendendum et undiquaque aditum præbentes, ſimulque blandam et gaudii indicem vocem edentes: eædem canes et angues fugiunt, cum ſibi metuunt: cum vero pullis timent, defendunt, et ultra quam vires patiantur iis propulſandis certant. Enimvero hujuſmodi affectiones opinabimur iſtis animalibus ingeneraſſe naturam, de gallinarum, canum, urſarum propagatione ſollicitam: non nos hoc modo pudore voluiſſe afficere? nimirum reputantes, iſta naturam ſequentibus exemplorum loco eſſe: duris autem ſuam exprobrare inhumanitatem, propter quos ſola hominis incuſatur natura, quod amorem gratuitum non ferat, neque niſi utilitatis cauſa diligere norit. In admiratione enim eſt is qui in theatris pronunciavit,

Mercedis ergo nunquam hominem homo diligit:

κατ' Ἐπίκουρον, ὁ πατὴρ τὸν υἱόν, μήτηρ τὸ τέκνον, οἱ παῖδες τοὺς τεκόντας. Ἀλλὰ εἰ λόγου γένοιτο τοῖς θηρίοις σύνεσις, καὶ τοῦτό τις εἰς κοινὸν θέατρον συναγαγὼν ἵππους καὶ βόας καὶ κύνας καὶ ὄρνιθας, ἀνα-
B φθέγξαιτο μεταγράψας, ὡς οὔτε κύνες ἐπὶ μισθῷ σκύλακας φιλοῦσιν, οὔτε ἵπποι πώλους, οὔτε ὄρνιθες νεοττοὺς, ἀλλὰ προῖκα καὶ φυσικῶς, ἐπιγνωσθήσεται τοῖς ἁπάντων πάθεσιν ὡς εὖ καὶ ἀληθῶς λεγόμενον. Αἰσχρὸν γὰρ, ὦ Ζεῦ, τὰς θηρίων γενέσεις καὶ λοχείας καὶ ὠδῖνας καὶ τεκνοτροφίας φύσιν εἶναι καὶ χάριν, τὰς δὲ ἀνθρώπων, δάνεια καὶ μισθοὺς καὶ ἀῤῥαβῶνας ἐπὶ χρείαις διδομένους.

γ'. Ἀλλ' οὔτε ἀληθὴς ὁ λόγος, οὔτε ἄξιον ἀκούειν· ἡ γὰρ φύσις, ὥσπερ ἐν φυτοῖς ἀγρίοις, οἷον οἰνάνθαις, ἐρινεοῖς, κοτίνοις, ἀρχὰς ἀπέπτους καὶ ἀτελεῖς ἡμέρων καρπῶν εἶναι φύει· οὕτω τοῖς μὲν ἀλόγοις τὸ πρὸς τὰ ἔκγονα φιλό-

B. 11. εἶναι φύει] Forte ἐνέφυσε, quod et Reiſk. vidit.

Epicurus cenſet hoc pacto a parentibus liberos, et a liberis parentes amari. Quod ſi ſermonis intelligentia brutis concederetur, et coactis in theatrum commune equis, bobus, canibus, volucribus, mutato carmine pronunciaret aliquis, neque a canibus catulos mercedis gratia, neque ab equis equuleos, neque ab avibus pullos, ſed gratis et naturae impulſu diligi: omnium brutorum affectionibus hoc ut recte ac vere dictum approbaretur. Turpe enim, proh Jupiter, fuerit, beſtiarum procreationes, partus, dolores in partu, educationes gratis eſſe et a natura: homines vero fœnus, mercedem, arrabones iſtarum rerum cauſa exigere.

III. Sed neque verum hoc eſt, neque dignum creditu. Natura enim ſicut in plantis ſylveſtribus, ut labruſcis, caprificis, oleaſtris principia fructuum mitium cruda et imperfecta gignit: ita brutis quoque amorem fœtus inſevit

τοῦ γάλακτος ἐργασία καὶ οἰκονομία τὴν πρόνοιαν αὐτῆς ἐμφῆναι καὶ ἐπιμέλειαν. Τοῦ γὰρ αἵματος ὅσον περίττωμα τῆς χρείας ἐν ταῖς γυναιξὶ δι' ἀμβλύτητα καὶ μικρότητα τοῦ πνεύματος ἐπιπολάζον ἐμπλανᾶται καὶ
E βαρύνει, τὸν μὲν ἄλλον χρόνον εἴθισται καὶ μεμελέτηκεν ἐμμήνοις ἡμερῶν περιόδοις, ὀχετοὺς καὶ πόρους αὐτῷ τῆς φύσεως ἀναστομούσης, ἀποχεόμενον, τὸ μὲν ἄλλο σῶμα κουφίζειν καὶ καθαίρειν, τὴν δὲ ὑστέραν οἷον ἀρότρῳ καὶ σπόρῳ γῆν ἐν φυτοῖς ὀργῶσαν ἐν καιρῷ παρέχειν. Ὅταν δὲ τὴν γονὴν ἀναλάβῃ προσπεσοῦσα ἡ ὑστέρα, καὶ περιστείλῃ ῥιζώσεως γενομένης· ὁ γὰρ ὀμφαλὸς πρῶτον ἐν μήτρῃσιν, ὥς φησι Δημόκριτος, ἀγκυρηβόλιον σάλου καὶ πλάνης ἐμφύεται, πεῖσμα καὶ κλῆμα τῷ γενομένῳ καρπῷ καὶ μέλλοντι· τοὺς μὲν ἐμμήνους καὶ καθαρσίους ἔκλεισεν
F ὀχετοὺς ἡ φύσις, τοῦ δὲ αἵματος ἀντιλαμβανομένη

E. 4. τὴν δὲ ὑστέραν—παρέχειν] Subeſt vitium, forte ita corrigendum: τὴν δὲ ὑστέραν, οἷον ἀρότρῳ καὶ σπόρῳ γῆν, ἐμφυτεύσει ὀργῶσαν ἐν καιρῷ παρέχειν.

E. 6. προσπισοῦσα] Forte, προσπισοῦσαι.

E. 10. μέλλοντι· τοὺς μὲν] Ita Baſ. Xyl. Vulgo, μέλλοντι· καὶ τοὺς μέν.

homini natura deſtinavit. Sola lactis confectio ac diſpenſatio ſufficit ad demonſtrandam naturæ providentiam atque induſtriam. Quantum enim ſanguinis in mulieribus ſupra neceſſarios uſus abundat, atque ob languorem exiguitatemque ſpiritus in ſuperficie vagans moleſtia adficit: id reliquo tempore ſolet menſtruis dierum circuitionibus, natura ad hoc canales et meatus aperiente, effundi, et cum reliquum corpus levare ac purgare, tum uterum tanquam arvum aratro et ſemini concipiendo aptum avidumque tempeſtive reddere. Verum poſtquam genitale ſemen complexus eſt uterus, actis jam radicibus: (primum enim in utero umbilicus naſcitur, ut ait Democritus, tanquam anchora qua fœtus nitatur contra fluctuationes, et tanquam retinaculum aut pedamentum conceptæ ſobolis) ibi tum menſtruæ illos purgationi aptos meatus natura occludit,

φερομένου, τροφῇ χρῆται καὶ καταρδεύει τὸ βρέφος ἤδη συνιστάμενον καὶ διαπλαττόμενον· ἄχρις οὗ τοὺς προσήκοντας ἀριθμοὺς τῇ ἐντὸς αὐξήσει κινηθὲν, ἑτέρας ἀνατροφῆς καὶ χώρας δέηται· τότε οὖν τὸ αἷμα παντὸς ἐμμελέστερον φυτουργοῦ καὶ ὀχετηγοῦ πρὸς ἑτέραν ἀφ' ἑτέρας ἐκτρέπουσα, καὶ μεταλαμβάνουσα χρείαν, ἔχει παρεσκευασμένας οἷον ἐγγείους ἤ τινας κρήνας νάματος ἐπιρρέοντος, οὐκ ἀργῶς οὐδὲ ἀπαθῶς ὑποδεχομένας, ἀλλὰ καὶ 49
πνεύματος ἠπίῳ θερμότητι καὶ μαλακῇ θηλύτητι, ἐκπέψαι καὶ λεᾶναι καὶ μεταβαλεῖν δυναμένας· τοιαύτην γὰρ ὁ μαστὸς ἔχει ἐντὸς διάθεσιν καὶ κρᾶσιν. Ἐκχέονται δὴ τοῦ γάλακτος οὐκ εἰσὶν, οὐδὲ κρουνοὶ μεθιέντες ἀθρόως, εἰς δὲ σάρκα πιδακώδη καὶ πόρους ἀτρέμα λεπτοὺς διηθοῦσαν ἀπολήγοντες, εὐμενὲς τῷ τοῦ νηπίου στόματι καὶ προσφιλὲς ψαῦσαι καὶ περιλαβεῖν ἐνδιδόασι ταμεῖον. Ἀλλὰ τούτων γε τῶν τοσούτων ἐπὶ τὴν γένεσιν ἐργαλείων,

F. 4. κινηθὲν] Corrigendum κυηθὲν, ut Xyl. monuit.
F. 8. ἢ τινας] Delendum ἤ.
A. 2. ἐκπέψαι] Sic A. B. E. P. Xyl. Vulgo, ἐκπέμψαι.
A. 5. δὴ τοῦ γάλακτος] δὴ mutandum in δὲ, cum Reiſkio.

ſanguinemque vagum arripiens, eo alimenti loco utitur, fœtumque humectat eo, qui jam cogitur et fingitur, donec juſto dierum numero in utero exacto auctus alium locum is, aliumque victum requirat. Exinde natura quovis ſolertior colono ſanguinem ad alios identidem derivans uſus, paratos habet quaſi ſubterraneos fontes quoſdam, qui laticem affluentem recipiant, et quidem recipiant non otioſe aut ſine affectione aliqua, ſed ſpiritus leni calore muliebrique mollitie excoquant, lævigent, ac mutent. Hoc enim modo ubera interne ſunt affecta atque temperata. Lac autem ex iis non per tubulos confertim effunditur, ſed in carnem ſcaturiginum plenam ac ſenſim exilibus meatibus perviam deſinentia ubera, infantis ori tactu ſuavem et lenem penum præbent. Verum enimvero hæc tot tantaque ad pro-

καὶ τοιούτων οἰκονομιῶν, καὶ φιλοτιμίας, καὶ προνοίας, οὐδὲν ἦν ὄφελος, εἰ μὴ τὸ φιλόστοργον ἡ φύσις καὶ κηδεμονικὸν ἐνειργάσατο ταῖς τικτούσαις.

B *Οὐ μὲν γάρ τι πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς,*
Πάντων ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει·

τοῦτο οὐ ψεύδεται λέγων ἐπὶ νηπίου καὶ ἀρτιγενοῦς. Οὐδὲν γάρ ἐστιν οὕτως ἀτελὲς, οὐδὲ ἄπορον, οὐδὲ γυμνὸν, οὐδὲ ἄμορφον, οὐδὲ μιαρὸν, ὡς ἄνθρωπος ἐν γοναῖς ὁρώμενος· ᾧ μόνῳ σχεδὸν οὐδὲ καθαρὰν ἔδωκεν εἰς φῶς ὁδὸν ἡ φύσις, ἀλλ' αἵματι πεφυρμένος, καὶ λύθρου περίπλεως, καὶ φονευομένῳ μᾶλλον ἢ γεννωμένῳ ἐοικὼς, οὐδενός ἐστιν ἅψασθαι καὶ ἀνελέσθαι καὶ ἀσπάσασθαι καὶ περιλαβεῖν, ἢ
C τοῦ φύσει φιλοῦντος. Διὸ τῶν μὲν ἄλλων ζώων ὑπὸ τὴν γαστέρα τὰ οὔθατα χαλᾷ τοὺς μαστοὺς, ταῖς δὲ γυναιξὶν ἄνω γεγόνασιν περὶ τὸ στέρνον ἐν ἐφικτῷ τοῦ φιλῆσαι καὶ περιπτύξαι καὶ καταπάσασθαι τὸν νήπιον· ὡς τοῦ τεκεῖν καὶ θρέψαι τέλος οὐ χρείαν, ἀλλὰ φιλίαν ἔχοντος.

creationem inſtrumenta, tot apparatus, tantum ſtudium, tantaque providentia nihil erant profutura, niſi parientibus natura amorem procurationemque fœtus ſui ingeneraſſet:

Quando nil ſpirat, terra neque repit in alma
Tam miſerum, quam ſunt homines.—

id quod de infante recens nato dictum, minime fallit. Nihil enim eſt ita imperfectum, inops, nudum, informe, ſpurcum, ut homo a partu ſtatim conſpectus: cui ſoli fere ne exitum quidem purum in lucem natura conceſſit: ſed ſanguine inquinatus, taboque oppletus, et occiſo magis quam nato ſimilis, a nemine tangi, tolli, ſuaviari, et amplexu foveri poteſt, niſi natura inſitum gerente amorem. Itaque aliis quidem animalibus infra ventrem ubera in mammas deſinunt: mulieri ſuperne ad pectus naſcuntur, ut in promtu ſit oſculari, amplectique et fovere infantem; nimirum quia pariendi et alendi finis eſt non neceſſitas ſed amor.

δʹ. Ἐπὶ τοὺς παλαιοὺς ἀνάγαγε τὸν λόγον, ὧν ταῖς μὲν τεκεῖν πρώταις, τοῖς δ' ἰδεῖν συνέβη τικτόμενον βρέφος. Οὔτε νόμος ἦν ἐκείνοις τεκνοτροφεῖν προστάττων, οὔτε προσδοκία χάριτος ἢ τροφείων ἐπὶ νέοις δανειζομένων. Χαλεπὰς δὲ μᾶλλον εἴποιμ' ἂν εἶναι καὶ μνησικάκους τὰς τεκούσας τοῖς βρέφεσιν, κινδύνων τε μεγάλων καὶ πόνων αὐταῖς γινομένων.

Ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα, D
Δριμὺ, τό, τε προϊᾶσι μογοστόκοι Εἰλείθυιαι,
Ἥρης θυγατέρες, πικρὰς ὠδῖνας ἔχουσαι.

ταῦτα οὐχ Ὅμηρον αἱ γυναῖκες ἀλλ' Ὁμηρίδα γράψαι λέγουσιν, τεκοῦσαν ἢ τίκτουσαν ἔτι, καὶ τὸ μίγμα τῆς ἀλγηδόνος ὁμοῦ πικρὸν καὶ ὀξὺ γινόμενον ἐν τοῖς σπλάγχνοις ἔχουσαν. Ἀλλὰ τὸ φύσει φιλόστοργον ἔκαμπτε καὶ ἦγεν· ἔτι θερμὴ καὶ διαλγὴς καὶ κραδαινομένη τοῖς πόνοις, οὐχ ὑπερέβη τὸ νήπιον οὐδὲ ἔφυγεν, ἀλλ' ἐπεστράφη καὶ προσεμειδίασε, καὶ ἀνείλετο καὶ ἠσπάσατο· μηδὲν E

D. 5. μίγμα] Reiſk. νύγμα: poterat etiam δῆγμα. Vulgata forte ſana.

IV. Refer enim ſermonem ad priſca tempora: quæ primæ pepererunt, qui primi natum infantem viderunt, his neque lex ulla neceſſitatem alendæ prolis imponebat, neque exſpectatio gratiæ jubebat infantibus alimenta tanquam fœnore locare. Quinimmo infenſæ potius proli, et memores acceptorum maleficiorum erant alioqui futuræ: utpote tantis periculis, laboribus, doloribuſque exhauſtis.

Ut cum parturiens mulier penetrante ſagitta
Fixa gemit, duris quam partibus Eileithyæ
Quæ præſunt, natæ jaciunt Junonis acerbam,
Et ſævos partu cumulant urgente dolores.

Hæc mulieres aiunt non ab Homero ſcripta fuiſſe, ſed ab aliqua Homeride, quæ peperiſſet, aut etiamnum pareret, mixtionemque doloris ſimul acerbi atque acuti in viſceribus ſentiret. Verum inſitus a natura amor parientem flectit atque ducit. Etiamnum calida doloribus ac cruciatibus concuſſa et tremebunda, infantem non præterit neque fugit, ſed ad eum ſe convertit, arridet, tollit, oſculatur: nul-

ἡδὺ καρπουμένη, μηδὲ χρήσιμον, ἀλλ' ἐπιπόνως καὶ ταλαιπώρως ἀναδεχομένη·

— τῶν σπαργάνων, ἱμερτίοις
Θάλπουσα καὶ ψύχουσα, καὶ πόνῳ πόνον
Ἐκ νυκτὸς ἀλλάσσουσα τὸν καθ' ἡμέραν.

τίνων ταῦτα μισθῶν ἢ χρειῶν ἐκείνοις; ἀλλ' οὐδὲ τοῖς νῦν· αἱ γὰρ ἐλπίδες ἄδηλοι καὶ μακραί. Ἄμπελον ἰσημερίας ἐαρινῆς σκάψας, μετοπωρινῆς ἐτρύγησε· πυρὸν ἔσπειρε δυομένης πλειάδος, εἶτα ἀνατελλούσης θερίζει· βόες καὶ ἵπποι καὶ ὄρνιθες ἕτοιμα τίκτουσιν ἐπὶ τὰς χρείας·
F ἀνθρώπου δὲ ἡ μὲν ἐκτροφὴ πολύπονος, ἡ δὲ αὔξησις βραδεῖα· τῆς δὲ ἀρετῆς μακρᾶς οὔσης, προαποθνήσκουσιν οἱ πλεῖστοι πατέρες. Οὐκ ἐπεῖδε τὴν Σαλαμῖνα Νεοκλῆς τὴν Θεμιστοκλέους, οὐδὲ τὸν Εὐρυμέδοντα Μιλτιάδης τὸν Κίμωνος, οὐδὲ ἤκουσε Περικλέους Ξάνθιππος δημηγοροῦντος, οὐδὲ Ἀρίστων Πλάτωνος φιλοσοφοῦντος, οὐδὲ Εὐριπίδου καὶ Σοφοκλέους νίκας οἱ πατέρες ἔγνωσαν· ψελ-

E. 4. τῶν σπαργάνων] Tragici locum diſtinxi a Plutarchi oratione. Vid. Lennep. ad Phalar. p. 19.
F. 2. μακρᾶς] Immo μακρὰν, ut et Reiſk. monuit.

lam ſane percipiens dulcedinem, nullam utilitatem, ſed laborioſe et ærumnoſe

Ad hoc paratis excipiens cunabulis
Fovet, refrigeratque, identidem novum
Cumulans laborem, nocturnumque opus
Mutans diurno.—

Qui vitem æquinoctio verno ſerit, uvas ex ea legit autumnali: occidentibus Pleiadibus qui triticum ſeminat, metit ſub ortum earum: boves, equi, alites, jam uſibus paratos edunt fœtus. Hominis educatio laborioſa eſt, incrementum tardum, virtus ita in longinquo ſita, ut plerique parentes prius ex hac vita decedant, quam filiis virtutem ſuam demonſtrent. Non vidit Salaminiam Themiſtoclis victoriam Neocles, neque Cimonis res ad Eurymedontem geſtas Miltiades, non audivit Periclem concionantem Xanthippus, neque Platonem philoſophantem Ariſto, neque Euripidis et Sophoclis victorias patres eorum cognove-

οὐδὲ ἕνεκα τούτου θεραπεύουσιν, οὐδὲ τιμῶσιν, ὡς ὀφείλημα τὸν κλῆρον ἐκδεχόμενοι. Τῶν δὲ ἀλλοτρίων περὶ τὸν ἄτεκνον φωνὰς ἀκούεις ταῖς κωμικαῖς ἐκείναις ὁμοίας,

Ὦ δῆμε, λοῦσαι πρῶτον, ἐκδικάσας μίαν
Ἔνθου, ῥόφησον ἔντραγ'· ἔχε τριώβολον.

Τὸ δὲ ὑπὸ τοῦ Εὐριπίδου λεγόμενον·

Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκειν φίλους,
Δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχειν,

C οὐχ ἁπλῶς ἀληθές, ἀλλ' ἐπὶ τῶν ἀτέκνων· τούτους οἱ πλούσιοι δειπνίζουσιν, οἱ ἡγεμόνες θεραπεύουσιν, οἱ ῥήτορες μόνοις τούτοις προῖκα συνηγοροῦσιν.

Ἰσχυρόν ἐστι πλούσιος ἀγνοούμενος
Ἔχων κληρονόμον·——

πολλοὺς γοῦν πολυφίλους καὶ πολυτιμήτους ὄντας, ἓν παιδίον γινόμενον ἀφίλους καὶ ἀδυνάτους ἐποίησεν. Ὅθεν οὐδὲ πρὸς δύναμιν οὐθέν ἐστιν ὠφέλιμον ἀπὸ τῶν τέκνων, ἀλλὰ τῆς φύσεως τὸ πᾶν κράτος, οὐχ ἧττον ἐν ἀνθρώποις ἢ θηρίοις.

B. 7. Ὦ δῆμε, λοῦσαι] Sic Jannot. Collat. Muret. Anon. et auctor. Ariſtoph. Equ. 50. unde et ἔχε pro ἔχει ſumſimus. Vulgo, Ὦ δὴ μέλλουσαι.
C. 4. Ἰσχυρὸν—κληρονόμον] Xylandrum ſecutus a proſa oratione diſtinxi.

neque colunt ac venerantur eo nomine: ſed, ut rem debitam, hæreditatem expectant. At alienorum circa liberis carentem voces audiuntur, ſimiles comicis iſtis,

O popule Athenienſis, nunc primum lava;
Poſtquam unum judicaſti diem cibum cape,
Sorbe vinum, comede, habe tibi triobolum.

Jam quod Euripides dixit,

Hominibus amicos conciliat pecunia,
Rebuſque plurimum in mortalium poteſt,

non eſt ſimpliciter verum, ſed de iis quibus nulli ſunt liberi. His pecuniam divites dant mutuam, hos principes colunt, his ſolis oratores gratis patrocinantur.

Multum poteſt hæredem habens incognitum
Dives:—

itaque ergo multos qui amicorum magnum haberent numerum, et a multis honorarentur, unica nata proles amicis potentiaque exuit. Ita ne ad potentiam quidem liberi conducunt: ſed naturæ tota eſt vis, non minus apud homines, quam apud beſtias.

ε΄. Ἐξαμαυροῦται γὰρ καὶ ταῦτα καὶ πολλὰ τῶν
ἄλλων, ὑπὸ τῆς κακίας, ὥσπερ λόχμης ἡμέροις σπέρ-
μασι παραβλαστανούσης. Ἢ μηδὲ ἑαυτὸν φύσει στέργειν
τὸν ἄνθρωπον λέγομεν, ὅτι πολλοὶ σφάττουσιν ἑαυτοὺς καὶ D
κατακρημνίζουσιν; ὁ δὲ Οἰδίπους

"Ηρασσεν ἐπαίρων βλέφαρα· φοίνιαι δ' ὁμοῦ—

Ἡγησίας διαλεγόμενος πολλοὺς ἐπείσεν ἀποκαρτερῆσαι τῶν ἀκροωμένων.

Πολλαὶ μορφαὶ τῶν δαιμονίων·

ταῦτα δὲ ἐστιν, ὥσπερ ἐκεῖνα, νοσήματα καὶ πάθη ψυχῆς τοῦ κατὰ φύσιν ἐξιστάντος τὸν ἄνθρωπον, ὡς αὐτοὶ καταμαρτυροῦσιν ἑαυτῶν. Ἂν γὰρ ὗς τεκοῦσα δελφάκιον, ἢ κύων διασπαράξῃ σκυλάκιον, ἀθυμοῦσι καὶ ταράττονται, καὶ θεοῖς ἀποτρόπαια θύουσι, καὶ τέρας νομίζουσιν, ὡς

C. 11. Ἐξαμαυροῦται γὰρ] γὰρ mutandum videtur in δέ: ita Amiot. Mez. Reiſk.

D. 1. λέγομεν] Scribendum λέγωμεν. Mez.

D. 3. "Ηρασσεν] Sophoclis Oed. Tyr. 1285. Hoc retinui: at ἐπαίρων, pro ἀπαίρων, ſumſi ex B. C. E. P. et Sophocle: item ex Sophocle φοίνιαι δ' ὁμοῦ—pro vulgato φοίνια δόμω: quæ verba vel librarius addidit, vel iis proxima omiſit.

D. 8. ἐξιστάντος] Corrigendum, ἐξιστάντων, cum Reiſkio.

V. Obſcurantur autem et hæc et multa alia a vitiis: ſicut cum ſylva hortenſibus ſeminibus conſita floret. An hoc dicemus, ne ſeipſum quidem diligere hominem? quia multi ſeipſos jugulant aut præcipites dant, et Œdipus ſibi

Oculos domo funeſta averſos eruit:

et Hegeſias ſua diſputatione multos auditorum permovit ut mortem ſibi conſciſcerent.

Multæ ſunt ſpecies rerum fatalium.

Verum et hæc et iſta, morbi ſunt, affectioneſque animi a ſua deſciſcentis natura: et homines ipſi hic contra ſe dicunt teſtimonium. Si enim porca aut canis a ſe editum fœtum dilaniaverit, animum abjiciunt, perturbantur, ac Diis pro averruncanda calamitate ſacrificant, remque pro oſtento habent: quia ſentiunt a natura animalibus omnibus datum

πᾶσι καὶ κατὰ φύσιν στέργειν τὰ τικτόμενα καὶ τρέφειν E οὐκ ἀναιρεῖν προσῆκον. Οὐ μὴν ἀλλὰ ὥσπερ ἐν τοῖς μετάλλοις πολλῇ συμπεφυρμένον γῇ καὶ καταχεχωσμένον, ὅμως διαστίλβει τὸ χρυσίον, οὕτως ἡ φύσις ἐν αὐτοῖς τοῖς ἡμαρτημένοις ἤθεσι καὶ πάθεσιν ἐκφαίνει τὸ πρὸς τὰ ἔγγονα φιλόστοργον. Οἱ μὲν γὰρ πένητες οὐ τρέφουσι τέκνα, φοβούμενοι μὴ χεῖρον ἢ προσήκει τραφέντα δουλοπρεπῆ καὶ ἀπαίδευτα, καὶ τῶν καλῶν πάντων ἐνδεᾶ γένηται· τὴν γὰρ πενίαν ἔσχατον ἡγούμενοι κακόν, οὐχ ὑπομένουσι μεταδοῦναι τέκνοις ὥσπερ τινὸς χαλεποῦ καὶ μεγάλου νοσήματος.

D. 12. καὶ κατὰ φύσιν] Sic B. Mez. Vulgo, καὶ παρὰ φύσιν.

ut ament ſuos fœtus, et enutriant, non ut interficiant. Enimvero ſicut in metallis aurum, quanquam multa terra permixtum atque tectum, tamen enitet: ſic natura etiam in vitioſis factis atque affectibus amorem prolis declarat. Pauperes enim non alunt liberos, metuentes ne juſto deterius educati, ſerviles, et rudes culturæ, omniumque bonorum inopes fiant: nam paupertatem, quam ultimum malorum cenſent, tanquam gravem et magnum morbum, non ſuſtinent ſuæ proli tradere.

FINIS VOL. II.

THE NEW YORK PUBLIC LIBRARY
REFERENCE DEPARTMENT

This book is under no circumstances to be taken from the Building

form 410